ἐνυπνιάζ-ομαι, 1. *dream*; met., *be deluded,* Ath.*ep.Serap.*1.30(M.26.600A); **2.** *be incontinent during sleep,* Epiph.*haer.*26.13(p.293.7; M.41.353A); ‡Pall.*h.mon.*22(p.82.9; M.34.1172B); Anast.S.*qu.et resp.* 98(M.89.752C); exeg. Judae 8 οὐκ εἶπεν...Ἰούδας...περὶ ~ομένων ἐν σώμασιν'...περὶ τῶν ~ομένων λέγει τῶν λαλούντων ὡς δι' ὀνειράτων τὰ αὐτῶν ῥήματα Epiph.*haer.*26.13(p.293.18ff.; 353B).

***ἐνυπνίασις, ἡ,** *incontinence during sleep,* Epiph.*haer.*26.13(p.293.26; M.41.353C).

***ἐνυπνιασμός, ὁ,** = foreg., Cyr.H.*catech.*6.33; Nil.*epp.*2.216(M.79.312D); Anast.S.*qu.et resp.*8(M.89.389D).

ἐνυπνιαστής, ὁ, *dreamer, visionary,* of monks οἱ ἐ. οἱ τὰς ἐκ τῶν ὀνείρων ἀπάτας πιστοτέρας τῶν εὐαγγελικῶν διδαγμάτων ποιούμενοι Gr.Nyss.*virg.*21(p.337.14; M.46.409B); iron., of Eunomius, id.*Eun.*1 (1 p.139.6; M.45.377C).

ἔνυπνος, *sleeping*; of persons, Geo.Pis.*hex.*1109(M.92.1519A).

***ἐνυπογράφομαι,** *append one's signature to, sign,* c. dat., *V.Chrys.* 97(p.351.15).

ἐνυπόγραφος, *executed and signed,* Leont.N.*v.Jo.Eleem.*3(p.9.13); Agath.Diac.*epilog.*(H.3.1833B).

***ἐνυπόθηκος,** *secured by bail* ἐ. ὁμολογίαν Ath.Scholast.*coll.*1.2 (p.10); Phot.*nomoc.*9.1(M.104.709B).

ἐνυπόκειμαι, 1. *be set out in* θεοῦ...γραφὴ καὶ εἰδοποιία ἐνυποκειμένη τῇ πλακὶ δημιουργία τοῦ κόσμου τυγχάνει Clem.*str.*6.16(M.9.357C; ἐναποκειμένη p.499.18); **2.** *lie upon,* Germ.CP *or.*2(M.98.257A).

ἐνυπόκριτος, *interrogative,* Areth.ap.*cat.Apoc.*13:2(pp.369.29, 371.1).

***ἐνυπομάζιος,** *at the breast* βρέφος ἐ. Gr.Nyss.*v.Gr.Thaum.*(M.46.928B) perh. for ἐν ὑπομάζιον.

***ἐνυπομυχέ-ω,** *lurk in the inmost parts,* met. τὴν ~ουσαν ἁμαρτίαν ‡Chrys.*serm.jej.*1(10.846C).

***ἐνυποστατικός,** *conceived as real* or *concrete, objectified* τὰς Ἑβραϊστὶ καλῶς εἰρημένας λέξεις καὶ Ἑλληνιστὶ καλῶς ἑρμηνευθείσας ...εἰς εἰδωλοποιΐας τε καὶ εἰς μορφὰς καὶ εἰς ἐ. ἀρχὰς...ἀνατυποῦσιν Epiph.*haer.*25.4(p.271.16; M.41.325A).

ἐνυπόστατος, *subsistent, substantial* or simply, *existent*; def. τὸ ἐ. ἤτοι ὑπόστασις δύο σημαίνει. σημαίνει γὰρ τὸ ἁπλῶς ὄν· καθ' ὃ σημαινόμενον λέγομεν καὶ τὰ συμβεβηκότα ἐ., εἰ καὶ ἐν ἑτέροις ἔχουσι τὸ εἶναι. σημαίνει καὶ τὸ καθ' ἑαυτὸ ὄν, ὡς τὰ ἄτομα τῶν οὐσιῶν· ὥστε συμβαίνει τὸ καθ' ἑαυτὸ ἐ. διχῶς λέγεσθαι ἐ. †Leont.B.*sect.*7.2 (M.86.1240Cf.) ∞ †Leont.B.*fr.*(M.86.2009Df.); cf. τὸ...ἐ., τὸ μὴ εἶναι αὐτὸ συμβεβηκὸς δηλοῖ Leont.B.*Nest.et Eut.*1(M.86.1277D); ἀνυπόστατος φύσις τουτέστιν οὐσία, οὐκ ἂν εἴη ποτέ, ἀλλ' ἐ., τουτέστι πρᾶγμα ὑφεστὼς ἐν ἑαυτῷ θεωρούμενον Pamph.H.*panopl.*7.1(p.623); cf.Leont.B.*Nest.et Eut.*1(M.86.1280A); ἐ., ἤτοι ἐν ἰδίᾳ ὑποστάσει ὑπάρχον ‡Cyr.*Trin.*9(6³.13D; M.77.1140C); ἐ. ἐστι, τὸ κατὰ τὴν οὐσίαν κοινόν, ἤγουν τὸ εἶδος, τὸ ἐν τοῖς ὑπ' αὐτὸ ἀτόμοις πραγματικῶς ὑφιστάμενον, καὶ οὐκ ἐπινοίᾳ ψιλῇ θεωρούμενον. ἄλλως, ἢ πάλιν ἐ. ἐστι, τὸ ἄλλῳ διαφόρῳ κατὰ τὴν οὐσίαν εἰς ἑνὸς σύστασιν προσώπου καὶ μιᾶς γένεσιν ὑποστάσεως, συγκείμενόν τε καὶ συνυφιστάμενον, καὶ οὐδαμῶς καθ' αὑτὸ γνωριζόμενον Max.*opusc.*(M.91.149Bf.); τὸ ἐ. κατὰ δύο τρόπους λέγεται, ἢ τὸ κατ' ἀλήθειαν ὑπάρχον, ἢ τὸ ἐν τῇ ὑποστάσει ἰδίωμα, ὡς ἐν τῷ θεῷ καὶ πατρὶ τὸ ἀγέννητον ἐν δὲ τῷ υἱῷ τὸ γεννητόν Anast.S.*hod.*2(M.89.61B); τὸ ἐ. ... ποτὲ μὲν τὴν ἁπλῶς ὕπαρξιν σημαίνει· καθ' ὃ σημαινόμενον, οὐ μόνον τὴν ἁπλῶς οὐσίαν ἐ. λέγομεν, ἀλλὰ καὶ τὸ συμβεβηκός· ὅπερ κυρίως οὐκ ἐ. ἐστι, ἀλλ' ἑτεροϋπόστατον· ποτὲ δὲ καὶ τὴν καθ' ἑαυτὸ ὑπόστασιν, ἤγουν τὸ ἄτομον δηλοῖ· ὅπερ κυρίως οὐκ ἐ., ἀλλ' ὑπόστασίς ἐστί τε καὶ λέγεται. κυρίως...ἐ. ἐστιν, ἢ τὸ καθ' ἑαυτὸ μὲν μὴ ὑφιστάμενον, ἀλλ' ἐν ταῖς ὑποστάσεσι θεωρούμενον...ἢ τὸ σὺν ἄλλῳ διαφόρῳ κατὰ τὴν οὐσίαν εἰς ὅλου τινὸς γένεσιν συντιθέμενον, καὶ μίαν ἀποτελοῦν ὑπόστασιν σύνθετον Jo.D.*dialect.*44 (M.94.616A), latter half ap.Melet.*nat.hom.*31(M.64.1309B); τὸ...ἐ., ποτὲ μὲν τὴν οὐσίαν σημαίνει, ὡς ἐν ὑποστάσεσι θεωρουμένην· ποτὲ δὲ ἕκαστον τῶν εἰς σύνθεσιν μιᾶς ὑποστάσεως συνερχομένων· ὡς ἐπὶ ψυχῆς καὶ σώματος Jo.D.*nat.*6(M.95.120C).

A. 1. *being a hypostasis, having independent existence, substantive* οὐδεμία...ἐνέργεια ἐ. Didym.(‡Bas.)*Eun.*4(1.287B; M.29.689C); οὐκέτι δύο ὑποστάσεις ἐν τῷ ἀνθρώπῳ ἐν μιᾷ συναγόμεναι ὑποστάσει, οὐκέτι ἐ. μόνη ψυχὴ καὶ ἐ. τὸ σῶμα, ἀλλ' εὑρήκαμεν λοιπὸν τέσσαρα Epiph.*anc.*77(p.97.3f.; M.43.161C); εἰ ἄλλο τὸ ἐ., καὶ ἄλλο τὸ ἀνυπόστατον· καὶ θεὸς μὲν ἐκεῖνο, τὸ βούλεσθαι δὲ τοῦτο ‡Just.*qu. Chr.*3.1(M.6.1432D); οὐκ ἐ. τι καὶ ὑπάρχον ἰδίως οἰόμεθά ποτε τὴν οὕτω νοουμένην εἰρήνην, ἀλλ' ἐν ἕξει τῇ τῶν ἀγαπώντων Cyr.*Jo.*10(4.840A); Thdt.*Is.*14:9(p.71.4; 2.267); †Leont.B.*sect.*7.2(M.86.1241Af.); opp. ἀνυπόστατος, *Disp.Phot.*(M.88.548A); Eulog.*fr.dogm.*(M.86.2953Bf.) cit. infra 7; met., *self-contained* ἕν τι γίνεται ὁ σατανᾶς μετὰ τῆς ψυχῆς...πλὴν ἐν ἄλλῃ ὥρᾳ καθ' ἑαυτήν ἐστιν ἡ ψυχὴ ἐ., μεταμελουμένη ἐφ' οἷς ἔπραξε Mac.Aeg.*hom.*16.2(M.34.613C) cf. A.6; **2.** *real, concrete, actual* οὐδὲ ἐ. θεὸς ἄλλος, μὴ γένοιτο Epiph.*haer.*66.68(p.109.15; M.42.137A); ἡ...τοῦ θεοῦ τέχνη ἔκτισεν ἐκ μὴ ὄντων παχύτερα καὶ λεπτότερα καὶ ἀπαλώτερα σώματα ἐ. τῷ θελήματι αὐτοῦ Mac.Aeg. *hom.*4.11(M.34.840D); Chrys.*hom.*9.3 *in 1Cor.*(10.77B); Marc.Er. *opusc.*1.65(M.65.913B); οὐδὲν ἐ. ἔλαβεν Ἰακὼβ ἐν μισθῷ, ἀλλ' ἐλπίδα Proc.G.*Gen.*30:32(M.87.441B); ξύλον ἔτι ἄχρυσον τὴν φύσιν, τὸ τὴν ἐ. φύσιν αὐτοῦ κεχρυσωμένον· καὶ ἀνὴρ ἔτι ἀσίδηρος ἢ μᾶλλον εἰπεῖν ἐκ ψιλοῦ τετριχωμένος τὴν φύσιν, ὁ τὴν φυσικὴν ὑπόστασιν αὐτοῦ σεσιδηρωμένος ὁπλίτης, ἢ ἐν ἀκμῇ λασιούμενος Leont.H.*Nest.*4.36(M.86. 1704D); Pamph.H.*panopl.*16.2(p.643); ὁ κόσμος πρεσβύτερα τῆς ὑπάρξεως αὐτοῦ στοιχεῖα ἔχων ἐ. CCP(543)*anath.*6(p.228; H.3.285A); ἡ...ἐπίκλησις τῆς δοθησομένης ἐ. τε καὶ ἐνυπάρκτου κατὰ...χάριν τοῦ ἁγίου πνεύματος υἱοθεσίας ἐστὶ σύμβολον ‡Bas.*h.myst.*61(p.397.1); opp. φαντασιώδης etc., Chrys.*hom.*4.7 *in Ac.princ.*(3.91D); and // οὐσιώδης κατὰ ἀλήθειαν, Eust.Mon.*ep.*(M.86.909D); οὐκ ἐπὶ φαντασίας ἀλλ' ἐπὶ ἐ. πραγμάτων Eustrat.*stat.anim.*13(p.418); not of evil οὐ γάρ ἐστιν ὑφεστὼς...ἡ πονηρία· οὔτε οὐσίαν αὐτῆς ἐ. παραστῆσαι ἔχομεν Bas.*hom.*9.5(2.78A; M.31.341B); οὐκ ἔστιν ἐκ θεοῦ τὸ κακὸν κατὰ τοὺς λέγοντας ἐ. τὴν κακίαν Didym.*Ps.*5:6(M.39.1169C); Epiph. *haer.*24.6(p.263.6; M.41.316A); Mac.Aeg.*hom.*16.1(613B); **3.** *being the embodiment of,* 'incarnate' τὴν μὲν ψυχὴν...ὀνομάζοντες...ἁμαρτίαν ἐ. ‡Ath.*Apoll.*1.21(M.26.1129B); **4.** *being, existing in an hypostasis, enhypostatic* τὸ ἐ. opp. ὑπόστασις: ἡ μὲν γὰρ ὑπόστασις τὸν τινὰ δηλοῖ, τὸ δὲ ἐ. τὴν οὐσίαν· καὶ ἡ μὲν ὑπόστασις, πρόσωπον ἀφορίζει τοῖς χαρακτηριστικοῖς ἰδιώμασι· τὸ δὲ ἐ., τὸ μὴ εἶναι αὐτὸ συμβεβηκὸς δηλοῖ, ὃν ἐν ἑτέρῳ ἔχει τὸ εἶναι, καὶ οὐκ ἐν ἑαυτῷ θεωρεῖται Leont.B. *Nest.et Eut.*1(M.86.1277Cf.) ∞ Jo.D.*Jacob.*11(M.94.1441B); Leont.H. *Nest.*5.28(M.86.1748D); Pamph.H.*panopl.*7.1(p.623); κατὰ τὴν τῶν ἁγίων παράδοσιν, καθ' ἣν τὸ μὴ ἀνυπόστατον, οὐχ ὑπόστασιν εἶναι τὴν φύσιν ποιεῖ, ἀλλ' ἐ. ... τὸ ἐ. δηλοῖ τὸ ἐνύπαρκτον, ἐνύπαρκτον δέ ἐστι τὸ οὐσιώδους καὶ φυσικῆς μετέχον ὑπάρξεως Max.*opusc.*(M.91.205Af.); ἐν ὑποστάσεσι μὲν ἡ οὐσία θεωρεῖται, διὸ καὶ ἐ. ἐστιν, ἀλλ' οὐχ ὑπόστασις. οὐκ ἀνάγκη τοίνυν τὸ ἐ. ὑπόστασιν λέγεσθαι Jo.D.*nat.*6(M.95.120C); **5.** *subsistent in, established in the very nature, inherent,* Gr.Nyss. *Eun.*8(2 p.181.26; M.45.776A) cit. s. ἐνούσιος; ἐκ τῶν ἐντός σου...δι' ἐ. πραγμάτων εἶποι τὰς οὐσίας, ὅ ἐστιν ὑπαρχούσας, οὐδὲ ἡμεῖς ἀρνηθείημεν ...οὐ κατὰ τοῦτο οὖν φαμεν τὴν ἡμετέραν ἐν Χριστῷ οὐσίαν ἐ. εἶναι, οἷον ὑπόστασιν καθ' ἑαυτὴν χαρακτηριστικὴν καὶ πρόσωπον οὖσαν Eulog.*fr.dogm.*(M.86.2953Bf.).

B. Trin.; **1.** of Persons; *being an hypostasis* or *Person*; **a.** of second Person τὸν μὲν Μωυσῆν ὡς νόμον...λαμβάνειν, Ἰησοῦν [i.e. Joshua] δὲ ὡς λόγον, καὶ τοῦ ἐ. λόγου τύπον Iren.*fr.*19(M.7.1240C); Or.*exp.in Pr.*9:1(M.17.185B); τὴν σοφίαν θεοῦ καὶ τὴν δύναμιν, καὶ τὴν δικαιοσύνην ἐ. Cyr.H.*catech.*4.7; τῆς δόξης αὐτοῦ ἐ. αὔγασμα Didym. *Trin.*1.26(M.39.384C); *ib.*2.2(461D); Epiph.*haer.*69.21(p.171.3; M.42. 236A); *ib.*76.35(p.385.21; 588D) cit. s. διαστολή; ‡Ath.*dial.Trin.*2.2 (M.28.1160C); [Mt.7:24] εἰ...ὁ λόγος λόγους ἔχει, οὐκ ἔστιν ἀνυπόστατος· ἀλλ' ἐ. Isid.Pel.*epp.*3.141(M.78.837C); Cyr.*thes.*8(5¹.61Df.) cit. s. βούλησις; id.*ep.*31(p.72.15; 5².95E); *ib.*1(p.15.9; 8B) cit. s. ἄναρχος; id.*Jo.*5.5(4.527D) cit. s. βουλή; id.*Juln.*7(6².241D); τῆς ἐ. καὶ θεαρχικῆς σοφίας Gr.Agr.*Eccl.*2.12(M.98.837B); Jo.D.*f.o.*1.8(M.94. 816C); of Christ, Or.*adnot.in Dt.*16:19f.(M.17.28B); [1Cor.1:24] δύναμις οὐκ ἀνυπόστατος, ἀλλ' ἐ. Isid.Pel.*epp.*2.143(M.78.585D); ‡Gr. Nyss.*hom.*5.5 *in Jo.*(p.175.22) cit. s. οὐσιώδης; esp. agst. Paul.

Sam., Hymen.*ep.*(p.326.10) cit. s. *ἐνέργεια*; *λόγος...ἀνθρώπου καὶ σοφία καὶ δύναμις καὶ μορφὴ ἀνυπόστατα μέρη τοῦ ἑνὸς ἀνθρώπου θεωρεῖται...ἡ δὲ μορφὴ τοῦ θεοῦ καὶ ὁ λόγος μετ' αὐτοῦ θεὸς καὶ υἱὸς θεοῦ ἐ. λόγος ἐστὶν τοῦ πατρός* ‡Dion.Al.*ep.Paul.Sam.*(p.5); *φάσκει... μὴ εἶναι τὸν υἱὸν τοῦ θεοῦ ἐ. ἀλλὰ ἐν αὐτῷ τῷ θεῷ* Epiph.*haer.*65.1 (p.3.11; M.42.13A); and Marcellus *τὸν λόγον ἐνέργειαν εἶναί φασι* [sc. Marcellans]...*οὐκ οὐσίαν ἐ.* Chrys.*hom.6.1 in Phil.*(11.234D); hence in repudiation *τρία πρόσωπα ἀπερίγραφα καὶ ἐ. καὶ ὁμοούσια* Photinus et al.*ep.*ap.Epiph.*haer.*72.11(p.266.4; 397B); opp. *προφορικός*: *λόγον οὐ προφορικὸν ἀλλὰ λόγον ἐ. ... καὶ ἐν ὑποστάσει γεννηθέντα* Cyr.H. *catech.*11.10; ‡Ath.*dial.Trin.*3.23(M.28.1240A); *οὐκ ἦν προφορικός, ἀλλ' ἐ.· καὶ οὐ μόνον ἐ., ἀλλὰ καὶ θεός* Ammon.*Jo.*1:1(M.85.1392C); *πατὴρ λόγον γεννήσας, οὐ προφορικόν, οὐδ' αὖ ἐνδιάθετον, ἀλλ' οὐσιώδη τε καὶ ἐ.* Zach.Mit.*opif.*(M.85.1116C); **b.** of H. Ghost *τὸ... πνεῦμα τὸ ἅγιον οὐκ ἀπὸ στόματος...πατρὸς ἢ υἱοῦ λαλούμενον...ἀλλ' ἐ.* Cyr.H.*catech.*17.5; Didym.*Trin.*2.1,10(M.39.452B,648A); id.(‡Bas.) *Eun.*5(1.297C,322C; M.29.713B,772C); *πνεῦμα...ἐξ αὐτοῦ προϊόν, ἐ. τε καὶ ζῶν καὶ ἀεὶ ὄν, ὅτι τοῦ ΟΝΤΟΣ ἐστί* Cyr.*Juln.*8(6².275C); Thdt. *affect.*2(p.65.22; 4.757) cit. s. *ἐνούσιος*; ‡Cyr.*Trin.*9(6².13D; M.77. 1140C); **c.** of all three Persons, Photinus et al.*ep.*ap.Epiph.*haer.*72. 11(p.266.4; M.42.397B) cit. s. a; *ἐ. ὁ πατήρ, ἐ. ὁ υἱός, ἐ. τὸ ἅγιον πνεῦμα* Epiph.*haer.*62.3,6(pp.392.2,394.28; M.41.1053B,1057B); cf. *tres hypostases ut tria enhypostata, hoc est, tres subsistentes personas,* Hier.*ep.*15.3(M.*PL.*22.356); Sophr.H.*or.*2.2(M.87.3220A); Jo.D. *trisag.*28(M.95.60D); **2.** of the divine being, *being, existing in hypostases, enhypostatic μονὰς...ἀληθῶς ἡ μονάς· οὐ γάρ ἐστιν ἀρχὴ τῶν μετ' αὐτήν, κατὰ διαστολῆς συστολὴν...ἀλλ' ἐ. ὀντότης ὁμοουσίου τριάδος* Max.*ambig.*(M.91.1036B); Jo.D.*Jacob.*12(M.94.1441C) cit. s. *ἐνούσιος*.

C. Christol.; **1.** *subsisting, having independent existence, being an hypostasis* or *person οὐδεὶς...εἴποι ἄν, ὅτι, ὥσπερ ὁ λόγος τέλειος ὢν καὶ ἐ., οὐ προσέδειτο σαρκός, ἵνα θεὸς τέλειος γένηται, οὕτως οὐδὲ τὸ σῶμα τοῦ λόγου ἔχρῃζεν, ἵνα τέλειος καὶ ἐ. ἄνθρωπος γένηται* Apoll. *quod un.Chr.*10(p.301.4,6; M.28.129B); *τὸ γὰρ αὐτὸ ἓν πρόσωπον αὐτοῦ* [sc. *Χριστοῦ*] *ἐ., ἐν ὑποστάτοις δύο προσώποις* [sc. Father and David] *ὁμοούσιον κατὰ θάτερον λόγον καὶ ἑτεροούσιον αὐτὸν ἀπαγγέλλειν δύναται* Leont.H.*Nest.*2.5(M.86.1544B); **2.** *being, existing in an hypostasis* or *Person, enhypostatic*; **a.** of natures of Christ *τὰς...δύο φύσεις ἐν μιᾷ καὶ τῇ αὐτῇ ὑποστάσει λέγομεν ὑφίστασθαι...οὕτως κατὰ τὴν αὐτὴν καὶ μίαν ὑπόστασιν ἑκατέρας ἐ. οὔσης* Leont.H.*Nest.*2.13 (M.86.1561B); *εἰ τοίνυν ἔστι λέγειν, φαμέν, τρεῖς ὑποστάσεις ἑνουσίους ἐν μιᾷ οὐσίᾳ, ἐνδέχεται δηλονότι καὶ φύσεις λέγειν ἐ. δύο ἐν μιᾷ ὑποστάσει ib.*(1560B); Eust.Mon.*ep.*(M.86.908B); *ἐπὶ τῆς...τοῦ κυρίου οἰκονομίας, ἑνούσιον μέν φαμεν τὴν ὑπόστασιν...ἐ. δὲ ἑκάστην τῶν οὐσιῶν αὐτοῦ* Jo.D.*Jacob.*12(M.94.1441D); id.*nat.*6(M.95.120C); cf. Socr.*h.e.*7.32.19(M.67.812B) cit. s. *ἐνούσιος*; esp. of human nature as *ἐ.* in second Person of Trin. *ὁ θεὸς λόγος...ναὸν ἑαυτῷ τέλειον ἄνθρωπον ἐδημιούργησε, τουτέστιν οὐσίαν, ἐ. τι μέρος λαβὼν τῆς ἐκείνης φύσεως καὶ εἰς τὴν ἰδίαν ὑπόστασιν οὐσιώσας, καὶ οὕτως ἡμῖν ἐξ αὐτῆς προῆλθε, θεὸς ὢν ὁ αὐτὸς φύσει, καὶ ἄνθρωπος φύσει· εἰ οὖν μὴ ὑπόστασιν ἀνέλαβεν, ἀλλ' οὐσίαν ἀνθρωπίνην ἐ.· οὐδὲ γὰρ...πρὸ τῆς ἑνώσεως τὸ ἀνθρώπινον τοῦ κυρίου ἰδιοσυστάτως καὶ καθ' ἑαυτὸ ὑπῆρχεν* Pamph.H.*panopl.*7:3(p.625); Eulog.*fr.dogm.*(M.86.2953C) cit. s. A.7; Anast.S.*hod.*2(M.89.71B); *οὐ γὰρ ἰδιοσυστάτως ὑπέστη ἡ τοῦ θεοῦ λόγου σάρξ, οὐδὲ ἑτέρα ὑπόστασις γέγονε παρὰ τὴν τοῦ θεοῦ λόγου ὑπόστασιν, ἀλλ' ἐν αὐτῇ ὑποστᾶσα, ἐ. μᾶλλον* Jo.D.*f.o.*3.9(M.94.1017B); **b.** of the union *ἡ κατ' οὐσίαν τε καὶ οὐσιώδης καὶ ἐ. ἕνωσις* Leont.B. *Nest.et Eut.*1(M.86.1300A) = id.*fr.*(M.86.2005D); *αὐτοῦ μὲν γὰρ τῇ φύσει τὰ θεῖα, αὐτοῦ δὲ διὰ τὴν ἐ. ἕνωσιν τὰ ἀνθρώπινα, οὐ γὰρ ἐν ἑτέρῳ ἀλλ' ἐν αὐτῷ ἡ ἰδικὴ αὐτοῦ ὑπέστη σάρξ* Eulog.*fr.dogm.*(2953A).

***ἐνυποστάτως**, **1.** *personally, as a Person ἐ. εἶναι τὴν σοφίαν αὐτοῦ* Didym.*Trin.*3.37(M.39.972B); *τὸ πνεῦμα...ἐκ τῆς πατρικῆς ἐ. ἐκλάμψαν πηγῆς ib.*2.1(452A); *ἑνουσίως τε κατὰ τὸ κοινόν, καὶ ἐ. κατὰ τὸ ἰδικόν* Leont.H.*Nest.*7.1(M.86.1760B); (Messalian) *συνοικεῖ τῷ ἀνθρώπῳ ἐ. ὁ σατανᾶς* Jo.D.*haer.*80(M.94.729A); **2.** *in virtue of the person σῶμα...ἔμψυχον λέγεται ἐφ' ᾧ ἐ. τὸ τῆς ψυχῆς φέρεται ὄνομα. σῶμα δὲ ἀνθρώπου σῶμα λέγεται, καὶ οὐ ψυχή· καὶ ψυχὴ...οὐ σῶμα, ἕτερον πρὸς ἕτερον ὄν* ‡Ath.*Apoll.*1.20(M.26.1128B); **3.** *really, substantially ὢν...ἐνταῦθα κατὰ τὴν παροῦσαν ζωήν, διὰ τῆς ἐν πίστει χάριτος, πιστεύομεν μετειληφέναι δωρεῶν τοῦ ἁγίου πνεύματος, τούτων ἐν τῷ μέλλοντι αἰῶνι κατὰ ἀλήθειαν ἐ. αὐτῷ τῷ πράγματι... πιστεύομεν καταλήψεσθαι* Max.*myst.*(M.91.704D).

ἔνυστρον, τό, *fourth stomach of ruminating animals,* Cyr.*ador.*13 (1.464C).

***ἐνυφήκουρας**, prob. f.l. for *ἐν ὕφει κουρᾶς* Proc.G.*1Reg.*6:6(M.87. 1089B).

***ἐνυφιζάνω**, *sink to a lower level among,* Cyr.*ador.*17(1.625D); *ib.* (628B).

ἐνυφίστημι, 1. act. trans., *give subsistence to* something *within* or *in relation to ἵνα...γένηται τὰ πάντα ἐν πᾶσιν...ὁ θεός, πάντα περιλαβὼν καὶ ἐνυποστήσας ἑαυτῷ* Max.*ambig.*(M.91.1092C); Christol. *ὁ λόγος...ἑαυτῷ σάρκα περιβαλὼν αὐτῇ τῇ ἰδίᾳ ὑποστάσει οὐκ ἀνθρώπου ψιλοῦ τὴν ἀνθρωπείαν φύσιν ἐνυπέστησεν* Leont.H.*Nest.*5.28(M.86. 1748D); **2.** act. intrans. and pass., *subsist in εἰ καὶ μὴ ἀΐδιον...ἔχειν ὑπόστασιν τὴν ὑπόχρονον φύσιν δυνατόν, ἀλλὰ ὑπὸ χρόνον κτήσασθαι, καὶ ἐνυποστῆναι τῇ ἀιδίῳ ὑποστάσει τὴν ὑπὸ χρόνον φύσιν, δυνατὸν... οὕτω...καὶ πᾶς ὁ κόσμος γενητὸς ὢν τῷ ἀγενήτῳ κοσμοποιῷ θεῷ ἐνυφέστηκεν ib.*2.23(1585A); *ἡ πρόθεσις τῆς σαρκὸς αὐτῷ προσείληπται, ἐνυποστᾶσα τῷ ἀπαθεῖ αὐτῷ ἡ παθητή ib.*7.6(1768ᵈC).

***ἐνωδυνηρός**, *sad*; comp., Jo.Clim.*scal.*5(M.88.773A).

***ἐνώδυνος, 1.** *suffering pain,* Jo.Clim.*scal.*7(M.88.801C); *ib.*(813B); Thdr.Stud.*epp.*2.109(M.99.1369D); **2.** *painful τὴν ἐ. σαρκὸς ἡδονήν* Andr.Cr.*can.mag.*(M.97.1357A).

***ἐνωδύνως**, *sadly, in sorrow,* Jo.Clim.*scal.*5(M.88.773A,C); v. *ἐνοδύνως*.

ἑνωθ-έω, *unite*; **1.** theol. *τὸ ὑποταγήσεσθαι τῷ πατρὶ τὸν υἱὸν ἀντὶ τοῦ ~ήσεσθαι τῷ θεῷ τὸν λόγον* Eus.*e.th.*3.14(p.171.27; M.24.1028B); **2.** Christol. *τὴν θείαν τοῦ μονογενοῦς ὑπόστασιν ~ησομένην καὶ συμπλακησομένην τῇ ἀνθρωπίνῃ φύσει* ‡Gr.Nyss.*hom.9.2 in Jo.*(p.288.27).

ἐνώμοτος, *confirmed by an oath,* ‡Just.*qu.et resp.*58(M.6.1300B); Cyr.*Lc.*22:61(M.72.928B).

ἐνωμότως, 1. *according to oath,* Dion.Al.ap.Eus.*p.e.*14.25(777C; M.21.1280A); **2.** *on oath,* Soz.*h.e.*2.17.4(M.67.977A); Gel.Cyz.*h.e.* 3.13.17; Heracl.*ep.*(M.92.993B).

ἐνωπαδόν, 1. adv., *face to face, openly,* †Apoll.*met.Ps.*21:28(M. 33.1341A); **2.** prep. c. genit., *in the presence of, ib.*40:13(1369B).

ἐνωπίως, *face to face,* ‡Thdt.*nativ.Jo.Bapt.*(5.88); *ἐ. ἐνωπίῳ λαλοῦσιν* Jo.Clim.*scal.*27(M.88.1100B).

ἐνωραΐζομαι, *glory in*; c. dat. rei, Ath.ap.Leont.et Jo.*sacr.*2(M. 86.2041B); Gr.Nyss.*virg.*2(p.253.24; M.46.321D); id.*hom.4 in Cant.* (M.44.849A); abs., Areth.*Apoc.*6(M.106.540B); in bad sense, Gr. Nyss.*Eun.*12(1 p.259.24; M.45.964A).

ἕνωσις, ἡ, *union, unity,* etym. *ἕ. ... εἴρηται διὰ τὸ εἰς ἓν ὦσαι* Anast.S.*hod.*2(M.89.69C); its different modes *τὸ τῆς ἑ. χρῆμα κατὰ πολλοὺς ἐπιτελεῖται τρόπους...κατὰ σύμβασιν φιλικήν, ἐκ μέσου τιθέντες τὰς διαφοράς...τὰ ἀλλήλοις κολλώμενα ἤγουν συνηγμένα καθ' ἑτέρους τρόπους, ἢ κατὰ παράθεσιν, ἢ μίξιν, ἢ κρᾶσιν* Cyr.*schol.inc.*8 (p.220.13; 5¹.782A,B); *ἕ. μέν ἐστι διεστώτων πραγμάτων κοινωνικὴ συνδρομή...πενταχῶς δὲ λέγεται ἡ ἑ. συγχυτική, ὡς ἡ τοῦ οἴνου καὶ τοῦ ὕδατος· διαιρετική, ὡς ἡ ἀνθρώπου πρὸς ἄνθρωπον· σχετική, ὡς χρυσὸς πρὸς χρυσόν. ἡ δὲ τοῦ Χριστοῦ ἑ. ὑπὲρ πάσας ταύτας καθ' ὑπόστασιν εἴρηται. καθ' ὑπόστασιν δὲ ἑ. ἐστιν ἡ ἀμφύπαρκτος...τῶν δύο φύσεων συνδρομή* Anast.S.*hod.*2(M.89.69C) ∞ ‡Ath.*def.*5(M.28. 544Cf. reading *αὐθύπαρκτος*); *ἡ κατὰ...φυρμὸν γίνεται...ἢ κατὰ κόλλησιν...ἢ κατὰ ἁρμονίαν...ἢ κατὰ σύγχυσιν...ἢ κατὰ ἀνάκρασιν... κατὰ συναλοιφήν...ἡ δὲ κατὰ σύνθεσιν ἑ. ἐστιν ἡ εἰς ἄλληλα τῶν μερῶν χωρὶς ἀφανισμοῦ περιχώρησις...ἤντινα ἑ. τινες σύγκρασιν ἐκάλεσαν, ἤγουν συμφυΐαν...αὕτη δέ ἐστιν ἡ καθ' ὑπόστασιν ἑ., ἡ κατὰ σύνθεσιν... ἔστιν ἑ. καὶ ἡ κατὰ παράθεσιν· ἔοικε δὲ τῇ κατὰ ἁρμονίαν. πάλιν ἑ. λέγεται προσωπικὴ...καὶ...σχετικὴ...ὁ δὲ Νεστόριος ἄλλας ἐπενόει ἑ., κατὰ τὴν ἀξίαν φημί, καὶ ὁμοτιμίαν, καὶ ταυτοβουλίαν, καὶ εὐδοκίαν, καὶ ὁμωνυμίαν* Jo.D.*dialect.*65(M.94.661B–664B); Christol. *τοῦτο γάρ ἐστιν ἑ., τὸ τὰ ἴδια τῶν ἑνωθέντων εἰς ἓν ξυνελθεῖν* Thdot.Anc.*exp.symb.*13 (M.77.1332D); *ἕ. ... δύο τινῶν σύνοδος, καὶ εἰς ταὐτὸν συνέλευσις* Jo.D. *Jacob.*53(M.94.1464C); opp. *ἑνότης*, Max.*schol.d.n.*11.3(M.4.396C).

A. in gen.; **1.** *unity ἐκ πάντων ἕνωσιν εἰσηγεῖται...τῆς...θείας ἑνότητος τὴν ὁμοίωσιν ἐν ἡμῖν καταυγάζεσθαι βουλόμενος* Jo.D.*Eph.* 4:5f.(M.95.840D); **a.** in material sphere *τὸ σῶμα τοῦ ἀνθρώπου πολυμερὲς ὄν...πρὸς πάντα τὰ μέλη ἀδιάρρηκτον ἑ. ἔχον* Arist.*apol.* 13.5; *μνημείῳ...οὐκ ἐκ λογάδων λίθων οἰκοδομηθέντι καὶ τὴν ἕ. οὐ φυσικὴν ἔχοντι, ἀλλ' ἐν μιᾷ καὶ δι' ὅλων ἡνωμένῃ πέτρᾳ λατομητῇ* Or. *Cels.*2.69(p.191.15; M.11.905A); Gr.Nyss.*or.catech.*16(p.71.4; M.45. 52B); **b.** philos., *unity, simplicity,* of essence *κατὰ τὴν τῆς μοναδικῆς οὐσίας ἕ.* Clem.*prot.*9(p.65.29; M.8.200B); not to be found in matter *οὐδὲν γὰρ ἓν τῆς ὕλης καὶ τῶν σωμάτων, ἀλλ' ἕκαστον...διήρηται εἰς πλείονα, τὴν ἕ. ἀπολωλεκός· ἓν γὰρ τὸ ἀγαθόν, πολλὰ δὲ τὰ αἰσχρά* Or. *or.*21.2(p.345.19; M.11.481A); **c.** logical *coherence,* systematic *unity,* e.g. of a school of thought *ἐπειδὰν ἔν τινι τῶν ἀποφάσεων μέρει διαφωνῶσιν* [sc. *οἱ φιλόσοφοι*]...*τῇ μέντοι τοῦ δόγματος ἑ. πάλιν εἰς ἀλλήλους συμπνέουσιν* Const.ap.Eus.*v.C.*2.71(p.69.29; M.20.1044C); **d.** corporate *unity,* of [members of] Church *τὴν ἕ. ἀγαπᾶτε· τοὺς μερισμοὺς φεύγετε* Ign.*Philad.*7.2; *ἐμέρισαν τὴν ἕ. τῆς ἐκκλησίας*

Heges.ap.Eus.*h.e.*4.22.6(M.20.381A); *ὁ...Βίκτωρ...τῆς Ἀσίας πάσης ...τὰς παροικίας ἀποτέμνειν...τῆς κοινῆς ἑ. πειρᾶται* Eus.*h.e.*5.24.9 (M.20.497B); [1Cor.15:28] *συνάφειάν τινα πάντων καὶ ἕ. σημαίνειν, εἰ πάντα μέλλοι ὁ θεὸς ἐν πᾶσιν εἶναι* id.*e.th.*3.15(p.172.5; M.24.1028C); Thds.Imp.*ep. Jo. Ant.*(p.5.3; M.77.1461C); *ἕ. ⟨γενέσθαι⟩ τῆς...ἐκκλησίας συναφθῆναί τε τὰ μέλη τοῖς μέλεσιν* Zeno *henot.*(p.53.11; M.86.2621B); **2.** *union, coming together*; **a.** in gen. *ὡς...ἡ γωνία δύο τοίχων ἕ. γίνεται...οὕτως...ἡ ἁγία ἐκκλησία τῶν δύο λαῶν γέγονεν ἕ. καθ' ἕνα πίστεως λόγον* ‡Ammon.*Mt.*23:42(M.85.1385A,B); *τὴν γοῦν ἕ. τῶν θείων νοημάτων καὶ τῶν ἐπιγείων λόγων κρᾶσιν οὐκ ἀπεικότως ἐκάλεσε* Isid.Pel.*epp.*2.3(M.78.460A); Sophr.H.*mir.Cyr.et Jo.*21(M. 87.3481D); **b.** marriage union *μετὰ γνώμης τοῦ ἐπισκόπου τὴν ἕ. ποιεῖσθαι, ἵνα ὁ γάμος ᾖ κατὰ κύριον καὶ μὴ κατ' ἐπιθυμίαν* Ign.*Polyc.* 5.2; Athenag.*leg.*33.2(M.6.968A); **c.** of body and soul in man, ‡Just. *qu.et resp.*75(M.6.1317A); Nemes.*nat.hom.*3(M.40.592A) et passim; **d.** moral union *αἱ διάφοροι φύσεις...ἕνα καὶ μόνον ἑνώσεως ἔχουσι τρόπον τὴν κατ' ἐνέργειαν* ‡Paul.Sam.*fr.*2(p.339.9); Proc.G.*Lev.*19:28 (M.87.761B); of married persons *ὑπόλειμμα τοίνυν πνεύματος τοῦ ἀνδρὸς τὴν γυναῖκα καλεῖ, καὶ οἱονεὶ μέρος τῆς αὐτοῦ ψυχῆς, διά τε τὴν ἕ., τὴν ὡς ἓν γε φημὶ τῇ κατὰ τὴν ἀγάπην ὁμοψυχίᾳ* Cyr.*Mal.*28(3. 846A); of Christians in a common obedience *ἡ...ἐκ πολλῶν ἕ. ... μία γίνεται συμφωνία ἑνὶ χορευτῇ καὶ διδασκάλῳ τῷ λόγῳ ἑπομένη* Clem. *prot.*9(p.65.3I; M.8.200C); id.*str.*3.13(p.239.5; M.8.1193B); in love, Bas.*ep.*204.1(3.303A; M.32.745A); Chrys.*hom.1.1 in 1Cor.*(10.4B) cit. s. *ἐκκλησία*; Cyr.*Mal.*25(3.841D); as work of Pentecost *ὧδε δὲ ἀποκατάστασις καὶ ἕ. τῶν γνωμῶν* Cyr.H.*catech.*17.17; of pre-existent rational beings with Logos *ὡς ἑνάδα πάντων τούτων γενέσθαι τῇ ταυτότητι τῆς οὐσίας...καὶ τῇ πρὸς τὸν θεὸν λόγον ἑ. τε καὶ γνώσει* CCP(543)*anath.*2(p.228; H.3.284C); **e.** *concord, agreement*, hence *state of being in communion with ἱκανὸν δὲ γνώρισμα τῆς ἑκάστου ὀρθῆς προαιρέσεως ἔσται ἡ πρὸς τοῦτον* [sc. Athanasius] *ἕ.* Constantius Imp.ap.Ath.*apol.sec.*54.5(p.135.14; M.25.348C); *ib.*70.2 (p.148.19; 373B); *πρὸς δὲ τελείαν τῶν...ἐκκλησιῶν ἕ. καὶ κοινὴν ὁμόνοιαν* Constans *typ.*(H.3.825A); **3.** *mixture, commingling*, of mixed chalice *εὐλόγησον δέσποτα τὴν ἁγίαν ἕ. Lit.Chrys.*(p.357.23); of *commixtio ἕ. τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ κυρίου Lit.Jac.*(p.228.25).

B. theol., *unity* of divine Persons, Athenag.*leg.*10.3(M.6.909B) cit. s. *διαίρεσις*; *ib.*12.2(913B); ref. 1Cor.15:28 *τὴν...ὑποταγὴν' τοῦ υἱοῦ ἕ. ἑρμηνεύει τοῦ λόγου, ἐν καὶ ταὐτὸν γενησομένου τῷ πατρὶ καθ' ἃ καὶ πρότερον ἦν* Eus.*e.th.*3.15(p.172.6; M.24.1028C); *τὰ γὰρ ὅμοια πρὸς τὰ ὅμοια πέφυκε τὴν ἕ. ἔχειν...διὰ τοῦτο ἐκεῖνος* [sc. *ὁ λόγος*] *μέν ἐστι...ἓν μετὰ τοῦ ἑαυτοῦ πατρός* Ath.*Ar.*3.20(M.26.365A); *ὃ οὖν ἐστιν ἐνταῦθα μιμητικῶς ἡ εἰκών, τοῦτο ἐκεῖ φυσικῶς ὁ υἱός. καὶ ὥσπερ ἐπὶ τῶν τεχνικῶν κατὰ τὴν μορφὴν ἡ ὁμοίωσις, οὕτως ἐπὶ τῆς θείας καὶ ἀσυνθέτου φύσεως ἐν τῇ κοινωνίᾳ τῆς θεότητός ἐστιν ἡ ἕ.* Bas.*Spir.*45 (3.38C; M.32.149C); *τὸ ἓν ἕκαστον αὐτῶν ἔχει πρὸς τὸ συγκείμενον οὐχ ἧττον ἢ πρὸς ἑαυτό, τῷ ταὐτῷ τῆς οὐσίας καὶ τῆς δυνάμεως. καὶ οὗτος ὁ τῆς ἑ. λόγος* Gr.Naz.*or.*31.16(p.165.12; M.36.152B); *ib.*39.11(348A) cit. s. *διαίρεσις*; *ib.*42.15(476B); *τὴν τοῦ νοητοῦ πρὸς τὸ νοητὸν διὰ τῆς ταυτότητος τῶν θελημάτων ἕ. τε καὶ ἀνάκρασιν* Gr.Nyss.*Eun.*12(1 p.275.20; M.45.981C); *περὶ τοῦ πνεύματος οἴεται* [sc. Eunomius] *ὡς ἀπεξενωμένου τῆς τε πρὸς τὸν υἱὸν καὶ τὸν πατέρα ἑ. ib.*1(1 p.140.31; 380C); *ib.*6(2 p.147.24; 733B) cit. s. *ἐξομοίωσις*; *οὐ...τρεῖς θεοὺς... ἀλλὰ τῆς τριάδος τὴν ἕ. ἐν τῇ κοινωνίᾳ τῶν ὀνομάτων ἐπιγνωστέον* Didym.(‡Bas.)*Eun.*5(3.310D; M.29.744D); *ὅταν ἀκούσωμεν ἕ. πατρὸς καὶ υἱοῦ, τὴν φυσικὴν νοοῦμεν* Ammon.*Jo.*14:23(M.85.1492C); *ἐπὶ τῆς ἑ. τῆς θείας...ἡνωμένον μέν ἐστι τῇ ἐναρχικῇ τριάδι, καὶ κοινὸν ἡ ὑπερούσιος ὕπαρξις* Dion.Ar.*d.n.*2.4(M.3.641A); *ib.*2.11(652A); transcending unity of all creatures *ὅπου γε καὶ τὴν ὑπερούσιον ἕ. ὑπερισρῦσθαί φαμεν, οὐ τῶν ἐν σώμασι μόνον ἑ., ἀλλὰ καὶ τῶν ἐν ψυχαῖς αὐταῖς καὶ ἐν αὐτοῖς νόοις ib.*2.4(641C); *καλῶς οὖν ἡμῖν εἴρηται, ἕ. μὲν ὑποστάσεων ἐν μιᾷ φύσει ἐπὶ τῆς ἁγίας καὶ ὑπερουσίου τριάδος, ἕ. δὲ τῶν φύσεων ἐν μιᾷ ὑποστάσει ἐπὶ τῆς ἁγίας καὶ ἀφράστου σαρκώσεως τοῦ λόγου* Leont.H.*monoph.*18(M.86.1780C,D); Max.*opusc.*(M.91. 148A) cit. s. *διαφορά*; heret. *ἵνα καὶ τὴν προβολὴν ἑκατέρων αὐτῶν δείξῃ, τοῦ τε υἱοῦ καὶ τοῦ λόγου, καὶ τὴν πρὸς ἀλλήλους ἅμα καὶ τὴν πρὸς τὸν πατέρα ἕ.* Val.Gn.ap.Iren.*haer.*1.8.5(M.7.533A).

C. Christol.; **1.** *union* (term denotes both *act of union* in Inc. and the state of *being in union* of two natures in Christ) *οἱ τὸν ἐκ τῆς παρθένου 'Ἐμμανουὴλ κηρύττοντες, τὴν ἕ. τοῦ λόγου τοῦ θεοῦ πρὸς τὸ πλάσμα αὐτοῦ ἐδήλουν* Iren.*haer.*4.33.11(M.7.1080B); *οὕτω τοῦ θεοῦ λόγου ἑνώσει, τῇ καθ' ὑπόστασιν φυσικῇ, ἑνωθέντος τῇ σαρκί* id.*fr.*26 (M.7.1244C) but cf. *haer.*5.17.4(1171Cf.) where Christol. passage is absent; *μονογενῆ...τὴν ἰδίαν ψυχὴν εἶπεν, ὡς...μόνη...εἶχε τοῦ θεοῦ λόγου τὴν ἕ.* Or.*Ps.*21:21(p.477); id.*Cels.*3.41(p.237.8; M.11.973A) cit. infra C.3.a; *αὐτῷ τῷ ἀνθρωπίνῳ σώματι προσθήκη μεγάλη γέγονεν ἐκ τῆς τοῦ λόγου πρὸς αὐτὸ κοινωνίας τε καὶ ἑ.* Ath.*ep.Epict.*9(p.15.8; M. 26.1065B); exeg. Jo.3:13 etc. *νομιστέον λέγεσθαι διὰ τὴν πρὸς τὸν οὐράνιον ἕ.* Gr.Naz.*ep.*101(M.37.181C); *ib.*102(201B); *θείας φύσεως ἕ. τίνα...κατανοήσαντας πρὸς τὸ ἀνθρώπινον* Gr.Nyss.*or.catech.*10 (p.57.2; M.45.41D); *τὸν τῆς ἑ. οὐκ ἐπιγινώσκομεν τρόπον ib.*11(p.57. 13; 44B); id.*Eun.*5(2 p.126.5; M.45.708C); *ib.*(2 p.123.17; 705A); *εἰ... καὶ διττὴ ἡ φύσις, ἀλλ' οὖν ἀδιαίρετος καὶ ἀδιάσπαστος ἡ ἑ.* ‡Chrys.*ep. Caes.*(3.746A); *συνῆλθον αἱ φύσεις, καὶ ἀσύγχυτος ἔμεινεν ἡ ἕ.* Procl. CP *or.laud.BMV* 8(p.107.4; M.65.689B); *ἀνθότου δὲ δὴ παρέντες τὴν ἕ., καίτοι...ἐκ τῶν ἁγίων πατέρων καταβαίνουσιν εἰς ἡμᾶς, συνάφειαν ὀνομάζουσι; καίτοι συγχεῖ μὲν ἡ ἕ. οὐδαμῶς τὰ καθ' ὧν ἂν λέγοιτο, διαδείκνυσι δὲ μᾶλλον τὴν εἰς ἕν τι συνδρομὴν τῶν ἡνῶσθαι νοουμένων* Cyr.*Chr.un.*(5^1.733A); *καθ' ἕ. ἀπερινόητον καὶ ἀσύγχυτον καὶ ἄφραστον* id.*ep.*50(p.91.23; 5^2.159E); in 'formula of concord' *ὁμοούσιον τῷ πατρὶ τὸν αὐτὸν κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα· δύο γὰρ φύσεων ἕ. γέγονεν· δι' ὃ ἕνα Χριστὸν...ὁμολογοῦμεν. κατὰ ταύτην τῆς ἀσυγχύτου ἕ. ἔννοιαν ὁμολογοῦμεν... ib.*39(p.17.14; 1068B); *Symb.Chalc.*(p.129.32; H.2.456C) cit. s. *φύσις*; Leont.H.*Nest.*3.1(M. 86.1604B) cit. s. *υἱότης*; *τὴν τοίνυν ἰδιότητα τοῦ σώματος οὐκ ἐκ τῆς τοῦ λόγου γνωρίζειν ἔστιν ἑ. ἀλλ' ἐκ τῆς τοῦ πνεύματος δυνάμεως...τὴν δὲ ἀναμαρτησίαν...ἡ τοῦ λόγου συμφυὴς ἕ. κατειργάσατο...ὥστε τὴν μὲν σύστασιν καὶ τὴν ἰδιότητα τοῦ σώματος, ἐκ τῆς ἐνεργείας γενέσθαι τοῦ πνεύματος ἔγνωμεν· τὴν δὲ ἕ. οὐκ ἐκ τῆς τοῦ λόγου ψιλῆς ἐνεργείας, ἀλλ' αὐτοῦ τοῦ λόγου οὐσιώδους ἀνακράσεως* Leont.B.*Nest.et Eut.*2(M.86. 1353Af.); *οὐδενὶ...ᾧ πέφυκεν εἶναι διὰ τὴν μίαν οὐσίαν πατρὶ καὶ πνεύματι ταὐτὸν ὁ υἱός, γέγονε ταὐτὸν τῇ σαρκὶ διὰ τὴν ἕ., κἂν πεποίηκεν αὐτὴν ζωοποιὸν ἑνώσει τῇ πρὸς αὐτόν* Max.*ambig.*(M.91.1057C); **2.** the issue, *μετὰ τὴν ἕ.* and kindred expressions; **a.** pre-Chalcedonian: *ἕτερον γάρ ἐστιν ἰδιότης καὶ ἕτερον ἕ. ἕ. δὲ λέγομεν μυστικὴν καὶ ἀσύγχυτον* Marc.Er.*Nest.*30(p.113.4); *οὐκέτι οὖν μετὰ τὴν ἕ. θεὸν πρὸς ἄνθρωπον δύο πράγματα νοήσαντες οἱ πατέρες, εἰκότως 'Ἰησοῦν λέγοντες, τὸν θεὸν λόγον σημαίνουσι, καὶ μετὰ τοῦ θεολόγου φράζοντες λόγον τὸν ὁρώμενον 'Ἰησοῦν ἑρμηνεύουσιν* Thdot.Anc.*exp.symb.*13(M.77.1332C); *ὡς ἕν τι νοῇ...καὶ τὸν...λόγον καὶ τὸν...ληφθέντα ναόν, οὐχ ὅτι τῆς αὐτῆς οὐσίας εἰσίν, ἀλλ' ὅτι μετὰ τὴν...ἕ. ὁ τοῦ διακόπτειν λόγος οὐκ εὐσεβής* Cyr.*Jo.*9(4.747E); id.*ep.*40(p.26.8; 5^2.115D) cit. s. *φύσις*; cf. *ταὐτὸ μὲν πρᾶγμα σημαίνουσι σάρκωσίς τε καὶ ἕ.· μία δὲ ἅρα φύσις πρὸ τῆς ἑ. ἦγουν σαρκώσεως ἦν, μετὰ δέ γε τὴν ἕ. δύο λέγειν προσήκει, τήν τε λαβοῦσαν καὶ τὴν ληφθεῖσαν* Thdt.*eran.*2(4.101A); **b.** CChalc. and after: *ὥσπερ γὰρ μετὰ τὴν ἕ. ... εἷς ἥλιος τὸ φῶς μετὰ τοῦ σώματος λέγεται· οὕτως ἐπὶ τοῦ ἀληθινοῦ φωτός, καὶ τοῦ παναγίου σώματος, οὐκ ἄν τις εἴποι μετὰ τὴν ἕ., τὸν μὲν κεχωρισμένως υἱὸν τὸν θεῖον λόγον, τὸν δὲ υἱὸν τὸν ἄνθρωπον· ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ἑκάτερα νοήσει* Thdt.*rect. conf.*12(M.6.1229C); *μένει ἡ δυὰς καὶ μετὰ τὴν ἕ.* Eust.Mon.*ep.*(M.86. 912C); *εἴ τις λέγει κατὰ χάριν ἢ κατὰ ἐνέργειαν...ἢ σχέσιν ἢ δύναμιν τὴν ἕ. ... ἢ κατὰ εὐδοκίαν...ἢ κατὰ ὁμωνυμίαν...ἀλλ' οὐχ ὁμολογεῖ τὴν ἕ. ... κατὰ σύνθεσιν ἦγουν καθ' ὑπόστασιν γεγενῆσθαι...ἀ. ἕ.* CCP(553) *anath.*4(pp.168f.; H.3.196Aff.); *εἷς...ὁ Χριστὸς...μετὰ τὴν σάρκωσιν... ἀδιαίρετον...λόγου καὶ σαρκὸς δοξάζομεν ἕ., ἀδιαίρετον ὑπὲρ ἕνωσιν ψυχῆς καὶ σώματος, πυρὸς καὶ σιδήρου, πορφύρας βαφῆς καὶ βύσσου* Eulog.*fr.Trin.*4.7(p.371); *οὔτε τὴν αὐτὴν...ἐνέργειαν μετὰ τὴν ἕ. τὴν φυσικὴν καὶ ἀσύγχυτον, τουτέστι τὴν...καθ' ὑπόστασιν ἔχουσιν* Sophr. H.*ep.syn.*(M.87.3172A); CLater.*can.*7, having reference to unity of person, not of nature, Max.*ep.*15(M.91.556B,C) citt. s. *διαφορά*; *ὁ... ὁμολογῶν τὴν καθ' ὑπόστασιν ἕ. κἂν λέγῃ δύο φύσεις ἐπὶ Χριστοῦ μετὰ τὴν ἕ. ἡνωμένας διαιρέτως...τῆς ἀληθείας...οὐ διαμαρτάνει ib.*12 (484A); relation to *διαφορά* discussed, id.*opusc.*(M.91.253C–256B); v. *φύσις*; **c.** in view of Apoll. (with whom *ἕ.* is a favourite word) *διαπαίζειν τὴν ἄκραν ἕ. καὶ λέγειν* [sc. Diod.] *οὐκέτι μένει τὰ ἴδια τοῦ θεοῦ καὶ τὰ ἴδια τῆς σαρκὸς ἐὰν ἕ. ᾖ* Apoll.*fr.*140(p.241.10)ap.Leont.B. *Apoll.*(M.86.1965C); id.*quod un.Chr.*3(p.296.6; M.28.124C) cit. s. *σύνθεσις*; *ἓν...καὶ ταὐτὸν τὸ σῶμα καὶ ὁ θεὸς οὗ τὸ σῶμα, οὐ μεταβληθείσης τῆς σαρκὸς εἰς τὸ ἀσώματον, ἀλλ' ἐχούσης καὶ τὸ ἴδιον τὸ ἐξ ἡμῶν κατὰ τὴν ἐκ παρθένου γέννησιν καὶ τὸ ὑπὲρ ἡμᾶς κατὰ τὴν τοῦ θεοῦ λόγου [σύγκρασιν ἤτοι] ἕ.* id.*fid.inc.*7(p.199.27; M.*PL*.8.877D); *πνεῦμα ὤν, εἰ καὶ σαρξ κατὰ τὴν ἕ. τῆς σαρκὸς ἀποδέδεικται* id.*corp.et div.*6(p.187. 18; M.*PL*.8.873D); *ἐν τῇ πρὸς τὸν θεῷ ὁμοούσιον ἑνώσει ib.*(p.188.15; 874B); *ὁ δὲ καὶ τὰ ἴδια γινώσκων καὶ τὴν ἕ. φυλάσσων οὔτε τὴν φύσιν ψεύσεται οὔτε τὴν ἕ. ἀγνοήσει ib.*17(p.193.1; 875D); *εἰ ὁ λόγος σὰρξ ὀνόμασται διὰ τὴν ἕ., ἔπεται καὶ τὴν σάρκα λόγον ὀνομάζεσθαι διὰ τὴν ἕ.* id. *fr.*145(p.242.14f.)ap.Leont.B.*Apoll.*(1968C); *ib.*161(p.254.26; 1960C); *ib.*140(p.241.7; 1965C); *ib.*148(p.247.1; 1965B); cf.id.*ep.Dion.*8,9 (pp.259f.; M.*PL*.8.934B); **d.** of Thdr. Mops. *ἔσχεν μὲν γὰρ εὐθὺς ἐξ ἀρχῆς ἐν τῇ κατὰ τὴν μήτραν διαπλάσει τὴν πρὸς αὐτὸν* [sc. *τὸν λόγον*] *ἕ.* Thdr.Mops.*fr.inc.*7(p.296.20; M.66.976D); *οὐ φυσικῶς ἐκ τοῦ πατρὸς*

γεγεννημένος, ἔχων μέντοι παρὰ τοὺς λοιποὺς τὴν ὑπεροχήν, ὅτι τῇ πρὸς αὐτὸν ἑ. κέκτηται τὴν υἱότητα *ib.*12.7(p.306.6; 988A); cf. *ib.*7(p.296.5,32; 976C,977B); *ib.*12.2(p.304.4; 985B) cit. s. διαίρεσις; cf. *ib.*8(p.299.18; 981B); ὁ τῆς κατ' οὐσίαν ἑ. ἐπὶ μόνων τῶν ὁμοουσίων ἠλήθευται λόγος... ὁ δὲ τῆς κατ' εὐδοκίαν ἑ. τρόπος ἀσυγχύτους φυλάττων τὰς φύσεις καὶ ἀδιαιρέτους ἓν ἀμφοτέρων τὸ πρόσωπον δείκνυσιν, καὶ μίαν τὴν θέλησιν καὶ μίαν τὴν ἐνέργειαν id.*ep.Domn.*(p.339.1ff.; M.66.1013A); **e.** to Nest. ἕ. φυσική bears a force // ἕ. καθ' ὑπόστασιν and means a union into one φύσις, si donc Dieu le Verbe...est uni dans une union naturelle...en dehors d'elle (de la nature) il n'existe pas, puisque c'est en elle et par elle qu'il est uni et qu'il s'unit...ainsi...le corps et l'âme, Nest.*Heracl.*45(p.34); ἡ δὲ κατὰ τὴν θέλησιν ἕ. καὶ τὴν ἐνέργειαν, ἀτρέπτους αὐτὰς [sc. τὰς φύσεις] τηρεῖ καὶ ἀδιαιρέτους...ἡ καθ' ὑπόστασιν καὶ φύσιν ἕ. ξένον ἐπάγεται πρὸς τὸ τοῦ Χριστοῦ μυστήριον τὸν λόγον...ἡ δὲ κατ' εὐδοκίαν ἕ. μίαν τῶν ἡνωμένων ἀποσώζουσα θέλησιν καὶ ἐνέργειαν ἀντενδεικνύν τι τοῦ μὴ φαινομένου ποιεῖ τὸ φαινόμενον id. *fr.*B 6(p.219.20ff.)ap.*Doct.Patr.*41.9f.(p.305.1,6); τὰ τῶν φύσεων χωρίζοντες ἴδια, τὴν τῆς ἑ. ἀξίαν συνάπτωμεν *ib.*C 5(p.242.15); interpreted as equivalent of συνάφεια, Jo.Ant.*hom.*(p.84.20), Cyr.*ep.* 17 *anath.*3(p.40.30; 5².76B) citt. s. συνάφεια; Cyril has no objection κἂν λέγῃ δύο φύσεις τὴν διαφορὰν σημαίνων τῆς σαρκὸς καὶ τοῦ θεοῦ λόγου...ἀλλ' οὐκέτι τὴν ἕ. ὁμολογεῖ μεθ' ἡμῶν *ib.*44(p.35.12; 5².133A); *ib.*11a(p.171.16; M.77.85C) cit. s. συνάφεια; Leont.B.*Nest.et Eut.*1 (M.86.1297D,1300B); Νεστόριος λέγει δύο φύσεις, οὐκ ἔλεγε δὲ αὐτὰς δέξασθαι ἕνωσιν, ἀλλὰ σχέσιν πολλὴν ἔχειν τὸν ἐκεῖνον πρὸς τὸν υἱόν †Leont.B.*sect.*1(M.86.1200A); cf. Paul the Nestorian ap.Max.*opusc.* (M.91.173Bf.); **f.** of Sev. Ant. καί ἐστι μία φύσις τε καὶ ὑπόστασις ἡ τοῦ λόγου σεσαρκωμένη· καὶ οὐκ ἐκ τούτου περικλειόμεθα, πρὸς τὸ καὶ ἐκ δύο προσώπων λέγειν τὴν ἕ. Sev.Ant.ap.Eust.Mon.*ep.*(M.86.921A); cf. ἡμῶν...οὐχ ὑποστάσεων ἕνωσιν ἀλλὰ φύσεων πρεσβευόντων Leont. B.*arg.Sev.*(M.86.1933D); μήτις ἐγράψατο τὴν ἐν Χαλκηδόνι σύνοδον δύο φύσεις εἰποῦσαν τὸν Χριστόν; μὴ γένοιτο· ἀλλ' ὅτι τὴν καθ' ὑπόστασιν ἕ. καὶ τὴν 'ἐκ δύο' φωνὴν εἰπεῖν παρῃτήσατο Sev.Ant.ap.Eust.Mon. *ep.*(908D); id.ap.Leont.H.*monoph.*(M.86.1848A) cit. s. σύνθεσις; *ib.* (1848C) cit. s. δυάς; ὥστε τὰ δύο τὰ ἐξ ὧν ἡ ἕ. ἐν τῷ συντεθεῖσθαι τῷ νῷ μόνον ἀπ' ἀλλήλων συνθέτως διακρινόμενα id.ap.Eust.Mon.*ep.*(936D); entailing a *communicatio idiomatum* πᾶν γάρ, ὅπερ ὑπάρξαι τῇ σαρκὶ φαμεν, εἴτε τὸ ἰᾶσθαι τοὺς ἐν ἀρρωστίαις...εἴτε τὸ ὑπὲρ φύσιν ἀναστῆναι, διὰ τὴν πρὸς αὐτὸν τὸν λόγον ἕ. αὐτῇ τοῦτο ὑπάρξαι φαμέν id.*fr.*ap. *Doct.Patr.*20.9(p.128.26); Max.*opusc.*(M.91.40A) cit. s. διαίρεσις; *ib.* (41A,B,44B); **g.** of Julianists Γαιανῖται, ἤτοι 'Ιουλιανισταί· οἵτινες λέγουσιν, ἐξ αὐτῆς τῆς ἑ. τὸ τοῦ κυρίου σῶμα κατὰ πάντα τρόπον ἄφθαρτον εἶναι Tim.CP *haer.*(M.86.44B); **3.** in combination with other words, *Schol.* in *Max.opusc.*(M.91.213f.); **a.** ἀνάκρασις and κρᾶσις: τὸ δὲ θνητὸν αὐτοῦ σῶμα καὶ τὴν ἀνθρωπίνην ἐν αὐτῷ ψυχὴν τῇ πρὸς ἐκεῖνον οὐ μόνον κοινωνίᾳ ἀλλὰ καὶ ἑ. καὶ ἀνακράσει τὰ μέγιστά φαμεν προσειληφέναι Or.*Cels.*3.41(p.237.8; M.11.973A); Gr. Nyss.*or.catech.*11(p.57.13,16; M.45.44A,B); Leont.B.*Nest.et Eut.*2(M. 86.1353B) cit. s. C.1; cf.Gr.Nyss.*Eun.*5(2 p.123.17ff.; M.45.705A,B); *ib.*(2 p.117.6f.; 697B); with κρᾶσις, Nemes.*nat.hom.*3(M.40.601B) cit. s. κρᾶσις; cf.*ib.*(605A); **b.** // σύγκρασις, Jo.D.*dialect.*65(M. 94.664A) cit. s.v.; **c.** with σύμβασις v.s.v.; cf. συμβῆναι δέ φαμεν καθ' ἕ. ἀδιάσπαστον...τῇ ἰδίᾳ σαρκὶ τὸν ἐκ θεοῦ λόγον Cyr.*Nest.*1.3(p.22.11; 6¹.15C); **d.** with συνάφεια, rare in orthodox sense, v.s.v.; opp. συνάφεια v.s.v.; **e.** ἕ. κατὰ σύνθεσιν v.s.v.; **f.** with σύνοδος v.s.v.; cf.Cyr.*ep.*44(p.36.8; 5².133E) cit. s. σύνοδος; Sophr.H.*ep.syn.*(M.87. 3165B) cit. s. φυσικός; Max.*ep.*12(M.91.484A) cit. s. k infra; **g.** ἕ. φυσική: δεδόξασται [sc. τὸ σῶμα] τῇ πρὸς ἄκτιστον ἑ. φυσικῇ Apoll. *fr.* 148(p.247.1)ap.Leont.B.*Apoll.*(M.86.1965B); for meaning in Apoll. v. eund.*ep.Dion.*8,9(pp.259f.; M.*PL*.8.934B); τῇ ἀσυγχύτῳ φυσικῇ ἑ. τοῦ λόγου πρὸς τὴν ἰδίαν αὐτοῦ γενομένῃ σάρκα ‡Ath.*Apoll.*1.10(M.26. 1109B); cf. ἰδία οὐχ ὁμοούσιος οὖσα ἡ σὰρξ τῆς τοῦ λόγου θεότητος... ἀλλ' ἰδία κατὰ φύσιν γενομένη, καὶ ἀδιαίρετος κατὰ ἕ. *ib.*1.12(1113B); variously explained συνῆφθαί φασιν αὐτὸν τῷ ἐκ θεοῦ πατρὸς φύντι λόγῳ κατὰ μόνην τὴν ἀξίαν...οὐ καθ' ἕ. φυσικήν, τουτέστιν ἀληθῆ...οὕτω γάρ πού φησιν καὶ ἡ θεία γραφή [Eph.2:3] τὸ φύσει ἀντὶ τοῦ ἀληθῶς λαμβάνουσα Cyr.*expl.xii cap.*3(p.19.2f.; 6¹.149D); id.*apol.orient.*3 (p.40.20; 6¹.167B); id.*ep.*17 *anath.*3(p.40.30; 5².76B) cit. s. συνάφεια; φυσικὴ λέγεσθαι παρ' ἡμῶν ἡ ἕ., τὴν οὐκ ἀληθῆ καὶ σχετικὴν ἐκβάλλουσα ...ἀλλ' οὐχ ὑποτίθησιν ἀνάγκαις καὶ πλεονεξίαις φυσικαῖς τὸν ἀπαθῆ καὶ ἐλεύθερον τοῦ θεοῦ λόγον id.*apol.Thdt.*3(p.120.2; 6¹.213C); *ib.*(p.118. 24ff.; 212C); λέγεται [sc. ἕ.]...φυσική, ἡ ὡς κατὰ λόγον φύσεως οὖσα τῷδέ τινι...λέγεται φυσικὴ καὶ ἡ ὡς φύσεών τινων ἁπλῶς ἢ φύσεως οὖσα καὶ οὐ συμβεβηκότων...φυσικὴν μὲν οὖν φαμεν ἡμεῖς τὴν ἕ. ἐπὶ Χριστοῦ, ὡς φύσεων ἡνωμένων κατ' αὐτόν...καὶ ὑποστατικὴν δέ φαμεν τὴν ἕ. ἐπὶ Χριστοῦ· ἀνάπαλιν μέντοι τῷ σημαινομένῳ ἡμῖν κατὰ τὴν φυσικήν· οὐ γὰρ ὡς ὑποστάσεων, ἀλλ' ὡς τοῦ λόγου οὖσαν τῆς ὑποστάσεως αὐτοῦ Leont.H.*Nest.*1.50(M.86.1512cff.); ἑτέρα...λέγεται φυσικὴ ἕ., ἡ κατὰ τὸ φυσικὸν εἶδος τῶν διαφόρων ὑποστάσεων ὁμοίωσις ...ἑτέρα δέ ἐστι φυσικὴ ἕ., ἡ διαφόρων φύσεων εἰς φύσεως γέννησιν καινοτέρας συνέλευσις...ἥτις καὶ λέγεται δημιουργική. ἄλλη δὲ λέγεται φυσικὴ ἕ., ἡ καθ' ὑπόστασιν μίαν πλειόνων φύσεων συνδρομὴ καὶ εἰς φύσιν μίαν ...καὶ τοῦ πυρὸς καὶ σιδήρου ἕ. φυσικὴ λεγομένη, ὡς κατὰ τὰς φύσεις αὐτῶν καὶ οὐ κατά τινα συμβεβηκότα αὐτοῖς οὖσα ἕ. αὐτῶν *ib.*1.22 (1488Df.); οὐδεμία...πρόφασις ἔνεστιν, ὡς ὑπέστη ποτὲ καθ' ἑαυτὴν [sc. σὰρξ Χριστοῦ] καὶ...οὕτως τῷ λόγῳ καὶ θεῷ πρὸς ἕ. φυσικὴν συνελήλυθε. τὰ γὰρ ἀνὰ μέρος ὄντα, καὶ ἀπ' ἀλλήλων ἐν χωρισμῷ θεωρούμενα, οὐδέποτε φυσικὴν ἢ τὴν καθ' ὑπόστασιν ἕ. δέχεται. ὅπου δὲ ἕ. φυσικὴ μὴ προέρχεται, μηδ' ἡ καθ' ὑπόστασιν γίνεται σύνθεσις Sophr.H.*or.*2.46 (M.87.3280A); Max.*ep.*15(M.91.556C); as understood by Nest. v. 3.e supra; used by Thdt. of union of soul and body in man, Thdt. *eran.*2(4.77) so understood as forming one nature τὴν καθ' ὑπόστασιν ἕ. εἰσάγει [sc. Cyr.] καὶ σύνοδον καθ' ἕ. φυσικήν, κρᾶσίν τινα καὶ σύγχυσιν διὰ τούτων τῶν ὀνομάτων γεγενῆσθαι διδάσκων id.*ep.*151(4. 1292); and as implying physical necessity εἰ τοίνυν φυσικὴ γέγονεν... ἡ ἕ., ὑπ' ἀνάγκης τινὸς βιαζόμενος, ἀλλ' οὐ φιλανθρωπίᾳ κεχρημένος ὁ θεὸς λόγος συνῄφθη τῇ τοῦ δούλου μορφῇ Thdt.ap.Cyr.*apol.Thdt.*3 (p.117.4; 6¹.210D); **h.** ἕ. οἰκονομική v. s. οἰκονομικός; **i.** οὐσιώδης ἕ. and ἡ κατ' οὐσίαν ἕ.; in Apoll. denotes a union into one οὐσία: τὸ δὲ ἀχωρίστως θεῷ συναφθὲν καὶ ταὐτὸν ἐκείνῳ διὰ τὴν ἕ. τὴν οὐσιώδη γενόμενον Apoll.*fr.*12(p.208.6)ap.Leont.B.*Apoll.*(M.86.1964A) cf. s. οὐσία; in this sense, but not in Christol. context οὐσιώδης...ἕ. ἐστιν, ἡ τὰς διαφόρους κατ' ἀριθμὸν καὶ πολλὰς ὑποστάσεις εἰς μίαν καὶ τὴν αὐτὴν οὐσίαν συνάγουσα Max.*opusc.*(M.91.149D); opp. moral or accidental, *involving essence, substantial, real,* rejected by Eunomius, cf.Nemes.*nat.hom.*3(M.40.605A) cit. s. ἑνόω; and by Thdr. Mops.*ep.Domn.*(p.339.1ff.; M.66.1013A) cit. supra 2.d; οἱ τὴν ἕ. μὴ κατ' οὐσίαν, ἀλλὰ κατ' ἐνέργειαν, ἢ εὐδοκίαν, ἢ ἄλλην...σχέσιν δογματίσαντες Leont.B.*Nest.et Eut.*1(M.86.1300B); opp. κατὰ γνώμην, *ib.* (1297D); *ib.*(1300A) cit. s. ἑνυπόστατος; *ib.*2(1352D); *ib.*3(1380B) = id.*fr.* (M.86.2009B); id.*arg.Sev.*(M.86.1941A); Pamph.H.*panopl.*6.5(p.618) cit. s. ἐπίνοια; ‡Gr.Nyss.*hom.1.15 in Jo.*(p.98.12); *ib.2.4*(p.112.24); v. s. οὐσιώδης, οὐδιωδῶς; **j.** other expressions ἕ. πνευματική, Epiph. *haer.*69.67(p.215.28; M.42.309D); ἕ. ὑποστατική, v. ὑποστατικός; **k.** ἕ. καθ' ὑπόστασιν: ἐὰν δὲ τὴν καθ' ὑπόστασιν ἕ. ... παραιτώμεθα ...ἐμπίπτομεν εἰς τὸ δύο λέγειν υἱούς Cyr.*ep.*4(p.28.7; 5².24C); CCP (553)*anath.*4(p.169; H.3.196B) cit. supra s. 2.b; ἑνανθρωπῆσαι τὴν καθ' ὑπόστασιν ἕ. *CIG* 8961.15; rejected by Nestorius, Nest.*fr.*B 6 (pp.219.20,220.1)ap.*Doct.Patr.*41.9f.(p.305.1,6) cit. supra 2.e; and by Theodoret περιττὴ τοίνυν ἡ καθ' ὑπόστασιν ἕ. ἣν ἀντὶ κράσεως ἡμῖν... προβάλλεται· ἀρκεῖ δὲ λέγειν τὴν ἕ. Thdt.ap.Cyr.*apol.Thdt.*2(p.115. 1ff.; 6¹.208E); *ib.*(p.114.11ff.; 208Bf.); explained and defined τοῖς ἐκείνου [sc. Νεστορίου] μαχόμενοι τὴν καθ' ὑπόστασιν ἕ. γενέσθαι φαμέν, τοῦ καθ' ὑπόστασιν οὐδὲν ἕτερον ὑποφαίνοντος πλὴν ὅτι μόνον ἡ τοῦ λόγου φύσις ἢ γοῦν ὑπόστασις ὅ ἐστιν...ὁ λόγος...ἀνθρωπείᾳ φύσει κατὰ ἀλήθειαν ἑνωθεὶς τροπῆς τινος δίχα καὶ συγχύσεως...εἷς νοεῖται καὶ ἔστι Χριστός, ὁ αὐτὸς θεὸς καὶ ἄνθρωπος Cyr.*ib.*(p.115.12ff.; 209B); why favoured by Cyril, †Leont.B.*sect.*8(M.86.1152Bf.); ἐκ τῆς θείας φύσεως καὶ τῆς ἀνθρωπίνης, τῆς ἑ. καθ' ὑπόστασιν γενομένης, εἷς Χριστὸς ἀπετελέσθη...οὐκ ἀνάχυσίν τινα τὴν εἰς ἀλλήλους τῶν φύσεων πεπρᾶχθαί φαμεν CCP(553)*anath.*8(p.170; H.3.197B); ἡ δὲ καθ' ὑπόστασιν ἕ. δηλοῖ, ὅτι ὁ θεὸς λόγος...οὐ προϋποστάντι ἀνθρώπῳ ἡνώθη, ἀλλ' ἐν τῇ γαστρὶ τῆς...παρθένου ἐδημιούργησεν ἑαυτῷ ἐξ αὐτῆς ἐν τῇ ἰδίᾳ ὑποστάσει σάρκα ἐμψυχωμένην...ὅπερ ἐστὶ φύσις ἀνθρωπίνη Justn.*conf.*(p.74.24; M.86.997B); καθ' ὑπόστασιν μὲν οὖν ἕ. ἐστι...ἡ τῶν ἑτέρων οὐσιῶν εἰς μίαν ὑπόστασιν σύνοδος, θατέρου τῶν κατ' αὐτὴν συγκειμένων, πρὸς τὸν ἕτερον τὴν φυσικὴν ἰδιότητα ἀνόθευτόν τε καὶ ἀμετάβλητον ἔχουσα καὶ ἀδιαίρετον Max.*ep.*12(M.91. 484A); ‡Cyr.*Trin.*18(6³.24B; M.77.1157A); Jo.D.*dialect.*65(M.94. 664A); *ib.*66(665–9); as test of orthodoxy εἴ τις λέγει κατὰ χάριν, ἢ κατ' ἐνέργειαν, ἢ κατ' ἀξίαν...ἢ σχέσιν, ἢ δύναμιν, τὴν ἕ. τοῦ θεοῦ λόγου πρὸς ἄνθρωπον γεγενῆσθαι...ἢ εἴ τις λέγει κατ' εὐδοκίαν τὴν ἕ. ... ὡς ἀρεσθέντος τοῦ θεοῦ λόγου τῷ ἀνθρώπῳ...οὐχὶ καθ' ὑπόστασιν τοῦ θεοῦ λόγου πρὸς τὴν σάρκα...τὴν ἕ. ὁμολογεῖ καὶ διὰ τοῦτο μίαν αὐτοῦ τὴν ὑπόστασιν σύνθετον, ὁ τοιοῦτος ἀ. ἕ. Justn.*conf.anath.*4(p.90. 30ff.; M.86.1015A,B); CLater.*can.*8 cit. s. σύνθεσις; contrasted with ἕ. σχετική, Max.*ep.*12(484A,B); ref. BMV ἡ...νυμφὼν τῆς καθ' ὑπόστασιν ἑ. τῶν φύσεων Χριστοῦ Mod.*dorm.*3(M.86.3288A); **4.** *union* of ἐνέργειαι in Christ τὴν...τῶν φυσικῶν ἐνεργειῶν...συμφυΐαν καὶ ἕ. Max.*opusc.*(M.91.101A); id.*ambig.*(M.91.1052C).

D. spiritual *union*; **1.** of Christ with Church ᾄδω τὰς ἐκκλησίας, ἐν αἷς ἕ. εὔχομαι σαρκὸς καὶ πνεύματος 'Ιησοῦ Χριστοῦ Ign.*Magn.*1.2;

οὐ δύναται οὖν κεφαλὴ χωρὶς γεννηθῆναι ἄνευ μελῶν, τοῦ θεοῦ ἑνωσιν ἐπαγγελλομένου, ὅ ἐστιν αὐτός id.*Trall.*11.2; and of Christians with one another, modelled on that between Christ and Father and effected by obedience to bishop, id.*Magn.*13.2; bishop being focus of union, id.*Philad.*8.1; ref. Eph.5:32 *τὸ μέγα μυστήριον εἶναι λέγει τῆς τοῦ Χριστοῦ πρὸς τὴν ἐκκλησίαν ἑ.* Gr.Nyss.*hom.4 in Cant.*(M.44.836D); *κεφαλὴ τῆς ἐκκλησίας ὁ Χριστὸς...λαβεῖν δὲ ἕ. ἀκριβῆ...καὶ γὰρ ἡ ἕ. ἀσφαλεστέρα* Chrys.*hom.26.3 in 1Cor.*(10.231B); id.*hom.1.4 in Eph.*(11.8E); perfected only in next life, Max.*myst.*21(M.91.696D) cit. s. *συναγωγή*; of members with one another *τοὺς τοσούτῳ τῷ πλήθει τῶν τόπων διῃρημένους τῇ διὰ τῆς ἀγάπης ἑ. καθορᾷν εἰς μίαν μελῶν ἁρμονίαν ἐν σώματι Χριστοῦ δεδέσθαι* Bas.*ep.*70(3.163E; M.32.433C); Chrys.*hom.30.2 in 1Cor.*(10.270E); which is effected by faith, id.*hom.15.3 in Jo.*(8.88E); *τηρεῖσθαι γεμὴν ἐν τῇ καθ' ὁμόνοιάν τε καὶ ταυτοβουλίαν ἑ. βούλεται τοὺς μαθητὰς ἀνακιρναμένους ὥσπερ ἀλλήλοις ψυχῇ καὶ πνεύματι καὶ τῷ τῆς εἰρήνης καὶ φιλαλληλίας θεσμῷ...ὡς μέχρι τοσούτου προελθεῖν τὴν ἕ., ὥστε καὶ εἰκόνα τῆς φυσικῆς ἑνότητος, τῆς ἐν πατρὶ καὶ υἱῷ νοουμένης* Cyr.*Jo.*11.9(4.972A,B); **2.** eucharistic, Ign.*Philad.*4.1 cit. s. *εὐχαριστία*; ‡Bas.*h. myst.*63(p.397.25) cit. s. *κοινωνία*; leading to immortality *διὰ τοῦτο κατέμιξεν ἑαυτὸν τῇ ἐπικήρῳ φύσει, ἵνα τῇ τῆς θεότητος κοινωνίᾳ συναποθεωθῇ τὸ ἀνθρώπινον, τούτου χάριν πᾶσι τοῖς πεπιστευκόσι τῇ οἰκονομίᾳ τῆς χάριτος ἑαυτὸν ἐνσπείρει διὰ τῆς σαρκός, ἧς ἡ σύστασις ἐξ οἴνου τε καὶ ἄρτου ἐστί, τοῖς σώμασι τῶν πεπιστευκότων κατακιρνάμενος, ὡς ἂν τῇ πρὸς τὸ ἀθάνατον ἑ. καὶ ὁ ἄνθρωπος τῆς ἀφθαρσίας μέτοχος γένοιτο* Gr.Nyss.*or.catech.*37(p.152.5; M.45.97B); signifying mystic union *ἐπιτεθέντων τῷ θυσιαστηρίῳ τῶν συμβόλων...πάρεστιν ...ἡ τῶν ἁγίων ἀπογραφή, τὸ συνεζευγμένον αὐτῶν ἀδιαιρέτως ἐμφαίνουσα τῆς πρὸς αὐτὸν ἑ.* Dion.Ar.*e.h.*3.3.9(M.3.437C); cf.*ib.*3.3.13(444C); *Lit.Jac.*(*NBP* 10² p.109) cit. s. *σύγκρασις*; **3.** mystical; **a.** typified by matrimonial union, †Bas.Anc.*virg.*50(3.633E; M.30.768C); **b.** its essence, prayer, v. *εὐχή, προσευχή*; 'deification', Dion.Ar.*e.h.*1.3 (M.3.376A); **c.** means to it, on side of God *οὐ γὰρ ἱκανὸς ὁ νόμος συνάψαι θεῷ τελείως τε καὶ καθαρῶς· πρόσιμεν δὲ αὐτῷ δι' υἱοῦ, καὶ τῶν δι' αὐτοῦ θεσπισμάτων, τουτέστι τῶν εὐαγγελικῶν, ἃ καὶ πνευματικὴν ἔχει τὴν ἕ. ἤτοι συνάφειαν* Cyr.*Os.*28(3.52D); *εὐπρέπεια τοῖς νεάζουσι τῇ καινοποιῷ τοῦ πνεύματος χάριτι, ἡ τοῦ νοῦ ἐστι πρὸς θεὸν ἄτμητος ἕ.* ‡Proc.G.*Pr.*20:29(M.87.1429A); on side of man: prayer and recollection, Dion.Ar.*d.n.*3.1(M.3.680B) ∞ Ant.Mon.*hom.*106 (M.89.1756B); Jo.D.*hom.*1.10(M.96.561B) cit. s. *ἐκδημία*; following Christ *Χριστῷ...συνακολουθοῦντες κερδαίνομεν τὴν συνάφειαν τὴν πρὸς θεόν, καὶ τὴν ἕ. τὴν σωτήριον καθ' ὁμοίωσιν αὐτοῦ, καθ' ὁμοίωσιν τῆς θείας ἑ.* [sc. within Trin.] †Ath.*fr.*(M.26.1244C); immaterial knowledge *αἱ ψυχαὶ...προβαίνουσιν...διὰ τῆς ἀύλου καὶ ἀμεροῦς νοήσεως ἐπὶ τὴν ὑπὲρ νόησιν ἕ.* Dion.Ar.*d.n.*11.2(949D); *ἡ θειοτάτη τοῦ θεοῦ γνῶσις, ἡ δι' ἀγνωσίας γινωσκομένη, κατὰ τὴν ὑπὲρ νοῦν ἕ. ib.*7.3 (872B); *οὐ μόνον μαθών, ἀλλὰ καὶ παθὼν τὰ θεῖα· κἀκ τῆς πρὸς αὐτὰ συμπαθείας...πρὸς τὴν ἀδίδακτον αὐτῶν καὶ μυστικὴν ἀποτελεσθεὶς ἕ. καὶ πίστιν ib.*2.9(648B); charity *ἡ ἐρωτικὴ κίνησις τοῦ ἀγαθοῦ προϋπάρχουσα ἐν τῷ ἀγαθῷ...αὖθις ἐπὶ τὸ αὐτὸ ἐπιστρέφει...ὅπερ δηλοῖ τὴν ἡμῶν ἀεικίνητον ἔφεσιν πρὸς τὸ θεῖον καὶ ἕ. ἡ γὰρ πρὸς θεὸν ἀγαπητικὴ ἕ., πάσης ἐξῄρηται καὶ ὑπέρκειται ἑ.* Max.*cap.*5.89(M.90. 1385C–1388A); cf.id.*schol.d.n.*4.14(M,4.268A); **d.** effects; illumination, Cyr.*Ps.*17:9(M.69.821D); *αἱ νοεραὶ δυνάμεις, ὅταν ἡ ψυχὴ θεοειδὴς γινομένη, δι' ἑ. ἀγνώστου ταῖς τοῦ ἀπροσίτου φωτὸς ἀκτῖσιν ἐπιβάλλῃ, ταῖς ἀνομμάτοις ἐπιβολαῖς* Dion.Ar.*d.n.*4.11(M.3.708D); **e.** diabolic attempts to disturb it, Andr.Caes.*Apoc.*72(M.106.456C) cit. s. *σπέρμα*; **4.** angelic *σκοπὸς οὖν ἱεραρχίας ἐστίν, ἡ πρὸς θεόν, ὡς ἐφικτόν, ἀφομοίωσίς τε καὶ ἕ.* Dion.Ar.*c.h.*3.2(M.3.165A); *ib.*9.2(260B); *ἀγγελοπρεπεῖς ἑ.* id.*d.n.*1.5(M.3.593B); ref. fallen angels *ἀποστάντες δὲ* [sc. *ἄγγελοι*] *κατὰ τὴν γενομένην νέαν γραφὴν τῆς τοῦ θεοῦ ἑ.* Or. *princ.*1.8.1(p.97.12); **5.** of blessed in heaven *ὅταν ἄφθαρτοι καὶ ἀθάνατοι γενώμεθα...μετέχοντες...τῆς ὑπὲρ νοῦν ἑ.* Dion.Ar.*d.n.*1.4(592C); **6.** Gnost., in baptismal formula *εἰς ὄνομα ἀγνώστου πατρὸς...εἰς ἕ. καὶ ἀπολύτρωσιν καὶ κοινωνίαν τῶν δυνάμεων* Iren.*haer.*1.21.3(M.7. 661A); *ἐγειρόμεθα οὖν ἡμεῖς, ἰσάγγελοι τοῖς ἄρρεσιν ἀποκατασταθέντες, τοῖς μέλεσι τὰ μέλη, εἰς ἕ.* Clem.*exc.Thdot.*22(p.114.5; M.9.669A).

E. Valent. aeon, Iren.*haer.*1.1.2(M.7.449A); Epiph.*haer.*31.2 (p.386.5; M.41.477A).

ἐνωτίζομαι, *give ear (to), listen attentively (to)*; c. acc. rei or abs., *T.Jos.*1.2; Arist.*apol.*17.1(not.); *τὸ 'ἐνωτίζου'* (Is.1:2) *ἀπὸ τῶν ὀργάνων τῆς ἀκοῆς τῶν ὤτων προσηγόρευσεν, τὰ σαρκικὰ τοῖς προσανέχουσι τοῖς αἰσθητοῖς ἀπονείμας* Clem.*str.*4.26(p.323.17; M.8.1377B); def., Chrys.*exp.in Ps.*48(5.203E); Cyr.*Is.*4.1(2.555D); opp. *ἀκούω,* †Bas.*Is.*23(1.397C; M.30.164B); Proc.G.*Gen.*4:23–24(M.87.256B).

ἐνωτικός, *serving to unite; unifying*; **1.** ref. created things *δύο... ἀρχικὰς δυνάμεις, φιλίαν τε καὶ νεῖκος, ὧν ἡ μέν ἐστιν ἑ., τὸ δὲ διαιρετικόν* ‡Just.*coh.Gr.*4(M.6.249A); of tendency of all created things to unite in God *πάντα...ἀδιαιρέτως ἡνωμένα...οὐδὲ ἀπαμβλύνοντά τι τῆς ἑ. ἀκριβείας καὶ καθαρότητος* Dion.Ar.*d.n.*11.2(M.3.949C); of knowledge, *ib.*7.4(872C) = Max.*cap.*5.91(M.90.1388A) cit. s. *γνῶσις*; Max.*ambig.*(M.91.1223D); of love *τὸν ἔρωτα εἴτε θεῖον εἴτε...νοερὸν... εἴτε φυσικὸν...ἑ. τινα* id.*cap.*5.90(M.90.1388A); Clem.*str.*2.2 v. s. *ἐννοητικός*; **2.** ref. God; **a.** of God *τὴν ἑ. φύσιν* Serap.*Man.*34(p.51; M.18.1129C); *τὴν θείαν...εἰρήνην...ἡ πάντων ἑ.* Dion.Ar.*d.n.*11.1(M.3. 948D); *ἡ τοῦ νοητοῦ φωτὸς παρουσία, συναγωγὸς καὶ ἑ. τῶν φωτιζομένων ἐστί ib.*4.6(701B) = Max.*cap.*5.82(M.90.1384A); **b.** of relation between divine Persons *ὅσας γὰρ ἂν ἑνώσεις εἴπῃς τοῦ κτιστοῦ πρὸς τὸ ἄκτιστον, οὐκ οἶμαι εἶναι ταύτας ἑνωτικωτέρας τῆς σὺν ἀλλήλοις ὑπάρξεως τῶν ὁμοφυῶν καὶ ἀύλων ὑποστάσεων τοῦ θεοῦ* Anast.S.*hod.* 20(M.89.273C); **3.** Christol. *τρεῖς...αἱ...δόξαι περὶ τῆς ἑνώσεως τῶν Χριστῷ φύσεων κατεβλήθησαν· διαιρετική, συγχυτική, καὶ ἡ κυρίως ἑ. λεγομένη* Leont.B.*arg.Sev.*(M.86.1940C); **4.** partic., the *Henoticon* of Zeno, †Leont.B.*sect.*5.2(M.86.1228D); Evagr.*h.e.*3.12,14 tit.(pp.110. 13,111.1; M.86.2620A,B); *ἀκέφαλοι...τῷ ἑ. Ζήνωνος...μὴ ἀρεσθέντες* Tim.CP *haer.*(M.86.45A); *τὸ ἑ. γράμμα* Paul.CP *fr.ep.Jac.*(H.3. 1245B); Thdr.Pharan.*fr.*(H.3.1245E).

***ἐνώτιος,** *of ear-rings,* Gr.Nyss.*v.Mos.*(M.44.396C); ‡Proc.G.*Pr.* 11:22(M.87.1332A).

ἐνώτισις, ἡ, *observation, attention,* ‡Proc.G.*Pr.*11:22(M.87.1332A).

ἕξ, *six*; **1.** as number of perfection, Or.*Jo.*28.1(p.389.1; M.14. 680B) cit. s. *τέλειος*; *ib.*10.39(23; p.216.28; 384A); *θεῖος ὁ ὕμνος τυγχάνων, τῷ δὲ καὶ πράξεις δηλοῦν τοῦ σωτῆρος καὶ θεωρίαν αὐτῶν μεγίστην, ἐν ξς' τέτακται ἀριθμῷ, τελείῳ τυγχάνοντι καὶ ἐν μονάσι καὶ ἐν δεκάσι* id.*sel.in Ps.*66:2(M.12.1504B); **2.** as number of Creation, ref. Jo.2:6 *ἓξ ὑδρίαι εὐλόγως εἰσὶ τοῖς ἐν κόσμῳ καθαριζομένοις, γεγενημένῳ ἐν ἓξ ἡμέραις, ἀριθμῷ τελείῳ* id.*princ.*4.2.5(p.315.1; M.11. 368A); cf.Epiph.*exp.fid.*4(p.500.14; M.42.780C); *τὸν ς' ἀριθμὸν...τὴν ὕλην, τουτέστιν τὸ πλάσμα* Heracleon ap.Or.*Jo.*10.38(22; p.214.32; M.14.380B); *ἔοικεν οὖν ὁ μὲν ἓξ ἀριθμὸς ἐργαστικός τις εἶναι καὶ ἐπίπονος, ὁ δὲ ἑπτὰ περιέχειν ἀνάπαυσιν* Or.*comm.in Mt.*14.5(p.283.4; M.13.1193A); Max.*qu.Thal.*49(M.90.456D).

***ἐξαγγελεύς, ὁ,** *messenger,* Cyr.*Is.*5.2(2.776A); *υἱὸς ὡς ἑ.* id.*thes.*25 (5¹.240C); Andr.Caes.*Apoc.*58(M.106.401C).

ἐξαγγελία, ἡ, 1. *report, announcement,* Just.*dial.*114.2(M.6. 740A); **2.** *confession* of sins, Ephr.3.406B; *οἱ τὰς ἑ. δεχόμενοι* Sophr. H.*conf.*(M.87.3365B); *Const.Stud.*22(M.99.1712B).

ἐξαγγέλλ-ω, *confess φορτικὸν...ὡς ἐν θεάτρῳ ὑπὸ μάρτυρι τῷ πλήθει τῆς ἐκκλησίας, τὰς ἁμαρτίας ∼ειν* Soz.*h.e.*7.16.2(M.67.1460A); †Jo.Jej.*poenit.*(M.88.1896C,1912A); usu. abs., *make confession μὴ θέλοντα ὁμολογῆσαι...μὴ ἔχοντα συνήθειαν τοῦ ∼ειν* Dor.*doct.*5.3 (M.88.1680B); Sophr.H.*conf.*(M.87.3368A); *ἐνδέχεται εἰς μοναχὸν ἱερωσύνην μὴ ἔχοντα ∼ειν ἡμᾶς* ‡Jo.D.*conf.*11(M.95.296A); *ἐάν τις ἔχῃ ἀνεξάγγελτόν τι, ἢ καὶ ἄνευ τῶν ὡρισμένων ∼ῃ τινί* Thdr.Stud.*poen.*1. 25(M.99.1736C).

***ἐξάγγελμα, τό,** *message,* Sophr.H.*or.*7(M.87.3329D).

***ἐξαγγελόω,** *make angelic,* ‡Chrys.*pasch.*6.4(p.167.4; 8.270C).

ἐξαγγελσις, ἡ, *expression,* Max.*schol.c.h.*2.1(M.4.36B).

ἐξαγγελτικός, *expressive,* Gr.Nyss.*hom.13 in Cant.*(M.44.1056A); *εἶναι ἀγγέλους ὥσπερ ἑ. τῆς θείας σιγῆς* Dion.Ar.*d.n.*4.2(M.3.696B); Max.*schol.c.h.*4.2(M.4.53D); of Son *ἑ. τῶν παρ' αὐτοῦ* [sc. *πατρός*] *λαλουμένων* Cyr.*thes.*19(5¹.189D); neut. as subst. *λόγος δὲ ὅτι οὕτως ἔχει πρὸς τὸν πατέρα ὡς πρὸς νοῦν λόγος...διὰ...τὸ ἑ.* Gr.Naz.*or.*30.20 (p.139.6; M.36.129A).

ἐξαγιάζω, *test,* Pall.*v.Chrys.*4(p.27.28; M.47.18).

***ἐξάγκωνα,** *with hands behind* one's *back ἄλλους...ἑ. δήσαντες* Thphn.*chron.*p.316(M.108.768B).

***ἐξαγνίζω,** *dedicate,* Gr.Naz.*carm.*2.1.11.196(M.37.1043).

ἐξαγοράζ-ω, 1. *buy, bribe* a person, *A.Thom.*A 32(p.149.17); Leont.N.*v.Jo.Eleem.*4(p.10.13); **2.** *buy back, redeem,* Arist.*apol.*11.3; *ἐννόησόν μοί τινα οἰκίαν ἔχοντα λαμπράν, εἶτά τινας ἐπεισερχομένους ὥστε αὐτὸν ἀνελεῖν, κἀκεῖνον πολλὰ διδόντα...τότε λέγομεν ὅτι ἐξηγόρασεν ἑαυτόν* Chrys.*hom.19.1 in Eph.*(11.134C); fig., Jo.Mal.*chron.* 10 p.233(M.97.360C); of Christ *ὁ τὰς ἀσθενείας ἡμῶν φέρων...ἵνα ἐξαγοράσῃ ἡμᾶς...ὡς καὶ ἀπὸ τῆς κατάρας τοῦ νόμου* Or.*schol.in Cant.* 2:17(M.17.268A); Gr.Nyss.*Eun.*4(2 p.98.19; M.45.676B); *πωλεῖται... ἀλλ' ∼ει κόσμον...τοῦ ἰδίου αἵματος* Gr.Naz.*or.*29.20(p.105.7; M.36. 101A); med. with act. sense *ἀληθῶς σάρκα καὶ αἷμα ἐσχηκώς, δι' ὧν ἡμᾶς ἐξηγοράσατο* Iren.*haer.*5.1.2(M.7.1122C); **3.** med., *buy up* time, ref. Eph.5:16, Or.*comm.in Eph.*5:16(p.564); *οὐκ ἔστιν ὑμέτερος ὁ καιρός· νῦν πάροικοί ἐστε...μὴ ζητεῖτε τιμάς...πάντα φέρετε, καὶ τούτῳ τὸν καιρὸν ∼εσθε* Chrys.*hom.19.1 in Eph.*(11.134B); *ὁ ∼όμενος τὸν*

B. of the four gospels; **1.** traditionally accepted by Church *ἐν τοῖς παραδεδομένοις ἡμῖν τέτταρσιν εὐ.* Clem.*str.*3.13(p.238.27; M.8.1193A); *περὶ τῶν τεσσάρων εὐ., ἃ καὶ μόνα ἀναντίρρητά ἐστιν ἐν τῇ ὑπὸ τὸν οὐρανὸν ἐκκλησίᾳ τοῦ θεοῦ* Or.*comm.in Mt.*1(p.3.2; M.13.829A); id.*hom.1 in Lc.*(p.5; M.17.312B); *τὰς δηλωθείσας τῆς καινῆς διαθήκης γραφάς...ἐν πρώτοις τὴν ἁγίαν τῶν εὐ. τετρακτύν* Eus.*h.e.* 3.25.1(M.20.268D); *εὐ. τέσσαρα, κατὰ Ματθαῖον, κατὰ Μάρκον, κατὰ Λουκᾶν, κατὰ Ἰωάννην* Ath.*ep.fest.*39.7(M.26.1437A); ‡Ath.*synops.* 76(M.28.432C); *τῆς δὲ καινῆς διαθήκης τὰ τέσσαρα μόνα εὐ.· τὰ δὲ λοιπὰ ψευδεπίγραφα καὶ βλαβερὰ τυγχάνει* Cyr.H.*catech.*4.36; **2.** their agreement; **a.** explained *ἐπειδὴ τέσσαρα κλίματα τοῦ κόσμου ἐν ᾧ ἐσμεν εἰσί, καὶ τέσσαρα καθολικὰ πνεύματα, κατέσπαρται δὲ ἡ ἐκκλησία ἐπὶ πάσης τῆς γῆς, στῦλος δὲ καὶ στήριγμα ἐκκλησίας τὸ εὐ., καὶ πνεῦμα ζωῆς· εἰκότως τέσσαρας ἔχειν αὐτὴν στύλους...ἐξ ὧν φανερόν, ὅτι ὁ...λόγος...ἔδωκεν ἡμῖν τετράμορφον τὸ εὐ., ἑνὶ δὲ πνεύματι συνεχόμενον* Iren.*haer.*3.11.8(M.7.885A,B); *ὡς εἷς ἐστιν ὁν εὐαγγελίζονται πλείονες, οὕτως ἓν ἐστι τῇ δυνάμει τὸ ὑπὸ τῶν πολλῶν εὐ. ἀναγεγραμμένον καὶ τὸ ἀληθῶς διὰ τεσσάρων ἓν ἐστιν εὐ.* Or.*Jo.*5.7 (p.104.30,31; M.14.193D); *ib.*10.3(2; p.172.21; 309A); *οὐκέτ' ἂν δόξαι διαφωνεῖν ἀλλήλοις τὰ εὐ. τῷ τὸ μὲν κατὰ Ἰωάννην τὰ πρῶτα τῶν τοῦ Χριστοῦ πράξεων περιέχειν, τὰ δὲ λοιπὰ τὴν ἐπὶ τέλει τοῦ χρόνου αὐτῷ γεγενημένην ἱστορίαν* Eus.*h.e.*3.24.13(M.20.268A); cf.*ib.*3.24.12 (268A); *οὐδεμία σκολιότης οὐδ' ἐναντιότης ἐν τοῖς ἁγίοις εὐ. οὐδὲ παρὰ τοῖς εὐαγγελισταῖς εὑρίσκεται, ἀλλὰ πάντα σαφῆ· χρόνων δέ εἰσι διαστάσεις* Epiph.*haer.*51.15(p.270.8; M.41.917D); *ib.*51.6ff.(p.252. 19ff.; 896Dff.); Chrys.*comm.in Gal.*1:7(10.667E); Thdt.*Gal.*1:6–7 (3.362); **b.** defended, Iren.*haer.*3.11.9(M.7.890A,B); *εἰ μὲν οὖν πιστεύεις τοῖς εὐ., καὶ τοῦτο κἀκεῖνο λέγουσι πίστευσον. εἰ δὲ μή, ἀτοπώτατον ποιεῖς, τὸ μὲν ἐγκρίνων, τὸ δὲ εἰσβάλλων* Isid.Pel.*epp.*4.31 (M.78.1084B); ref. Marcion's treatment of gospels, cf. *rejiciens evangelium imo vero seipsum abscindens ab evangelio, partem gloriatur se habere evangelium,* Iren.*haer.*3.11.9(M.7.890B); *τῶν δὲ εὐ. ἢ τοῦ ἀποστόλου τὰ ἀρέσκοντα αὐτῷ αἱρεῖται* Hipp.*haer.*7.38(p.224. 7; M.16.3346A); *ἀθετοῦντα αὐτοῦ τὴν ἐκ Μαρίας γένεσιν κατὰ τὴν θείαν αὐτοῦ φύσιν, ἀποφήνασθαι ὡς ἄρα οὐκ ἐγεννήθη ἐκ Μαρίας, καὶ διὰ τοῦτο τετολμηκέναι περιγράψαι τούτους τοὺς τόπους ἀπὸ τοῦ εὐ.* Or.*Jo.*10.6(4; p.176.12; M.14.316B); ref. harmonies of the gospels: Tatian's, Eus.*h.e.*4.29.6(M.20.401A) cit. s. *συνάφεια*; *λέγεται δὲ τὸ διὰ τεσσάρων εὐ. ὑπ' αὐτοῦ γεγενῆσθαι, ὅπερ κατὰ Ἑβραίους τινὲς καλοῦσι* Epiph.*haer.*46.1(p.205.1; M.41.840B); *οὗτος καὶ τὸ διὰ τεσσάρων καλούμενον συντέθεικεν εὐ., τάς τε γενεαλογίας περικόψας, καὶ τὰ ἄλλα ὅσα ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα γεγεννημένον τὸν κύριον δείκνυσιν. ἐχρήσαντο δὲ τούτῳ, οὐ μόνοι οἱ τῆς ἐκείνου συμμορίας, ἀλλὰ καὶ οἱ τοῖς ἀποστολικοῖς ἑπόμενοι δόγμασι, τὴν τῆς συνθήκης κακουργίαν οὐκ ἐγνωκότες, ἀλλ' ἁπλούστερον ὡς συντόμῳ τῷ βιβλίῳ χρησάμενοι. εὗρον δὲ κἀγὼ πλείους ἢ διακοσίας βίβλους τοιαύτας ἐν ταῖς παρ' ἡμῖν ἐκκλησίαις τετιμημένας, καὶ πάσας συναγαγὼν ἀπεθέμην, καὶ τὰ τῶν τεττάρων εὐαγγελιστῶν ἀντεισήγαγον εὐ.* Thdt. *haer.*1.20(4.312); by Ammonius *Ἀμμώνιος...ὁ Ἀλεξανδρεὺς...τὸ διὰ τεσσάρων ἡμῖν καταλέλοιπεν εὐ.* Eus.*ep.Carp.*(M.22.1276C); **3.** individual details; **a.** Mt.: alone accepted by Ebionites, cf.Iren. *haer.*3.11.7(M.7.884B); *δέχονται...τὸ κατὰ Ματθαῖον εὐ. ... τούτῳ γὰρ καὶ αὐτοί, ὡς καὶ οἱ κατὰ Κήρινθον καὶ Μήρινθον χρῶνται μόνῳ. καλοῦσι δὲ αὐτὸ κατὰ Ἑβραίους* Epiph.*haer.*30.3(p.337.10; M.41. 409B); but cf. *ἐν τῷ...παρ' αὐτοῖς εὐ. κατὰ Ματθαῖον ὀνομαζομένῳ, οὐχ ὅλῳ δὲ πληρεστάτῳ, ἀλλὰ νενοθευμένῳ καὶ ἠκρωτηριασμένῳ ib.*30. 13(p.349.2; 428C); Thdt.*haer.*2.1(4.328); originally composed in Hebrew, Iren.*haer.*3.1.1(844B); Or.*comm.in Mt.*1(p.3; M.13.829A); Eus.*h.e.*3.24.6(M.20.265A); Cyr.H.*catech.*14.15; Epiph.*haer.*30.3 (p.338.3; M.41.409B); *ib.*51.5(p.253.16; 896A); Chrys.*hom.1.3 in Mt.* (7.7B); cf. *Ματθαῖος μὲν οὖν Ἑβραΐδι διαλέκτῳ τὰ λόγια συνετάξατο* Papias *fr.*15; brought to 'India' by Bartholomew, Eus.*h.e.*5.10.3 (M.20.456B); written eight years after Ascension, ‡Jo.D.*ep.Thphl.*3 (M.95.349A); **b.** Mc.: *ἔλεγεν...τοῦ Πέτρου δημοσίᾳ ἐν Ῥώμῃ κηρύξαντος τὸν λόγον, καὶ πνεύματι τὸ εὐ. ἐξειπόντος, τοὺς παρόντας, πολλοὺς ὄντας, παρακαλέσαι τὸν Μάρκον, ὡς ἂν ἀκολουθήσαντα αὐτῷ πόρρωθεν καὶ μεμνημένον τῶν λεχθέντων, ἀναγράψαι τὰ εἰρημένα· ποιήσαντα δέ, τὸ εὐ. μεταδοῦναι τοῖς δεομένοις αὐτοῦ· ὅπερ ἐπιγνόντα τὸν Πέτρον προτρεπτικῶς μήτε κωλῦσαι μήτε προτρέψασθαι* Clem.*fr.*8(p.197.25; M.9.749C); *δεύτερον δὲ τὸ κατὰ Μάρκον* [sc. *εὐ.*] *ὡς Πέτρος ὑφηγήσατο αὐτῷ, ποιήσαντα* Or.*comm.in Mt.*1(p.3; M.13.829A); Eus.*h.e.*2.15.1 (M.20.172B); Epiph.*haer.*51.6(p.256.4; M.41.900A); cf.Papias *fr.*15; written ten years after Ascension, ‡Jo.D.*ep.Thphl.*3(M.95.349A); **c.** Lc.: *ὁ Λουκᾶς...ὁ ἀκόλουθος Παύλου τὸ ὑπ' ἐκείνου κηρυσσομένου εὐ. ἐν βιβλίῳ κατέθετο* Iren.*haer.*3.1.1(M.7.845A); *τρίτον* [sc. *εὐ.*] *τὸ κατὰ Λουκᾶν, τὸ ὑπὸ Παύλου ἐπαινόμενον εὐ., τοῖς ἀπὸ τῶν ἐθνῶν πεποιηκότα* Or.*comm.in Mt.*1(p.3; M.13.829A); Eus.*h.e.*3.24.15 (M.20.268B); cf.Epiph.*haer.*51.7; cf. *Λουκᾶς...ἐν τοῖς περὶ τὴν Ἀχαΐαν τὸ πᾶν τοῦτο συνεγράψατο εὐ. Proem.in Ev.Lc.*(*SB Pr.Akad.*Phil.-hist.Kl.1928,p.322); written fifteen years after Ascension, ‡Jo.D. *ep.Thphl.*3(M.95.349A); a revised version made by Marcion, Iren. *haer.*3.11.7(M.7.884B); Thdt.*haer.*1.24(4.316); **d.** Jo.: *ἔλεγεν...τὸν μέντοι Ἰωάννην ἔσχατον, συνιδόντα ὅτι τὰ σωματικὰ ἐν τοῖς εὐ. δεδήλωται, προτραπέντα ὑπὸ τῶν γνωρίμων, πνεύματι θεοφορηθέντα πνευματικὸν ποιῆσαι εὐ.* Clem.*fr.*8(p.197.29; M.9.749C); a supplement to Lc., Epiph.*haer.*51.12(p.264.2; M.41.909B); written thirty-two years after Ascension in reign of Domitian, ‡Jo.D.*ep.Thphl.*3(M.95.349A); accepted by Valentinians, cf.Iren.*haer.*3.11.7(M.7.884C); rejected by Alogoi, Epiph.*haer.*51.3(p.250.23; M.41.892B); translated into Hebrew, *ib.*30.12(p.348.29; M.41.428B); cf.*ib.*30.3(p.338.5; 409C); its superiority to other three, Or.*comm.in Mt.*1(p.3; M.13.829A); *ἀπαρχὴν τῶν εὐ. εἶναι...τὸ κατὰ Ἰωάννην* id.*Jo.*1.4(6; p.7.34; M.14. 29C); *οὐκ ἐν τοῖς προοιμίοις δὲ μόνον, ἀλλὰ καὶ διὰ παντὸς τοῦ εὐ., τῶν ἄλλων ἐστὶν ὑψηλότερος* Chrys.*hom.1.3 in Mt.*(7.7A); **4.** their symbolism; **a.** in gen., ref. Apoc.4:7 *ὁποία ἡ τῶν ζώων μορφή, τοιοῦτος καὶ ὁ χαρακτὴρ τοῦ εὐ. τετράμορφα γὰρ τὰ ζῶα, τετράμορφον καὶ τὸ εὐ. καὶ ἡ πραγματεία τοῦ κυρίου* Iren.*haer.*3.11.8(M.7.889B); ref. Jud.9:8–15 *διὰ τοῦτο καὶ εὐ. τέσσαρα παραδέδοται, τετράκις εὐαγγελισαμένου τοῦ θεοῦ τὴν ἀνθρωπότητα καὶ παιδαγωγήσαντος τέσσαρσι νόμοις, ὧν οἱ καιροὶ σαφῶς ἀπὸ τῆς διαφορότητος δηλοῦνται* [*διὰ*] *τῶν καρπῶν* Meth.*symp.*10.2(p.124.1; M.18.196B); ref. Ezech.47:1–5 *ἐπιστῆσαι δὲ προσήκει, ὡς τετράκις ἐμέτρησε, καὶ τοῖς θείοις εὐ. ἰσάριθμον τὸ μέτρον προσήνεγκεν. ἡγοῦμαι δὲ τὸ τέταρτον μέτρον τοῦ θεσπεσίου Ἰωάννου παραδηλοῦν τὸ εὐ., θεολογίαν ἔχον ἄβατον ἀνθρώποις καὶ ἀνυπέρβατον* Thdt.*Ezech.*47:3–5(2.1040); *γῆς οὖν καὶ δικαιοσύνης μυστικῶς λόγον ἐπέχει, τὸ κατὰ Ματθαῖον εὐ., ὡς φυσικώτερον τὸν λόγον ποιούμενον· ὕδατος δὲ καὶ σωφροσύνης τὸ κατὰ Μάρκον, ὡς ἐκ τοῦ βαπτίσματος Ἰωάννου καὶ τῆς κηρυττομένης ὑπ' αὐτοῦ μετανοίας, καθ' ἣν ἡ σωφροσύνη συνέστηκεν, ἀρχόμενον· ἀέρος δὲ καὶ ἀνδρείας τὸ κατὰ Λουκᾶν, ὡς περιοδικώτερον καὶ πλείοσιν ἱστορίαις πυκνούμενον· αἰθέρος δὲ καὶ φρονήσεως τὸ κατὰ Ἰωάννην, ὡς πάντων ἀνώτατον, καὶ ἁπλῶς μυστικῶς τὴν περὶ θεοῦ πίστιν εἰσάγον, καὶ ἔννοιαν* Max.*ambig.*(M.91.1245C); *φασὶ δὲ καὶ ἄλλως σύμβολον εἶναι τὴν τῶν ἁγίων εὐ. τετράδα, πίστεως, καὶ πρακτικῆς καὶ φυσικῆς καὶ θεολογικῆς φιλοσοφίας ib.*(1245D); *Ματθαῖος ἑρμηνεύεται μέλι· Μάρκος, οἶνος· Λουκᾶς, γάλα· Ἰωάννης, ἔλαιον. τὰ τέσσαρα εὐ. εἰσί, κατὰ τὰ τέσσαρα πνεύματα καθολικά, ἀπηλιώτην, ζέφυρον, νότον καὶ βορρᾶν. αὐτὰ γάρ εἰσι πρὸς σύστασιν τοῦ παντός. καθολικὰ δὲ λέγονται, διὰ τὰ ἀντιπνέοντα ὀκτώ* ‡Germ.CP *contempl.*(M.98.413B); **b.** Mt. symbolized by a man, Iren.*haer.*3.11.8(M.7.888A); ‡Ath.*synops.*76(M.28.432D); **c.** Mc. symbolized by an eagle, Iren.*haer.*3.11.8(M.7.888B); Andr. Caes.*Apoc.*4:7(M.106.257A); by a calf, ‡Ath.*synops.*76(M.28.432D); **d.** Lc. symbolized by a calf, Iren.*haer.*3.11.8(M.7.887B); by a lion, ‡Ath.*synops.*76(M.28.432D); **e.** Jo. symbolized by a lion, Iren.*haer.* 3.11.8(M.7.887A); by an eagle, ‡Ath.*synops.*76(M.28.432D); **5.** inspiration *ἀκριβῶς πιστεύομεν ἀναγεγράφθαι συνεργοῦντος καὶ τοῦ ἁγίου πνεύματος τὰ εὐ.* Or.*comm.in Mt.*16.12(p.510.16; M.13.1409B); **6.** interpretation *ἀπὸ δὲ τοῦ εὐ. λαμβάνειν δεῖ τάχα μέν τι καὶ βαθύτερον τάχα δέ τι καὶ ἁπλούστερον, ὅτι χρὴ μὴ ξενίζεσθαι ταῖς περὶ τῶν τροφῶν καὶ ἐνδυμάτων τὴν ψυχὴν φρουτίσιν* id.*Cels.*7.24(p.176.6; M.11.1456C); id.*comm.in Mt.*10.1(p.2.7; M.13.837B); *ib.*12.11(p.88. 11; 1004A); cf.id.*hom.7.5 in Lev.*(p.387.22; M.12.487B); private interpretations condemned, cf.id.*hom.2.1 in Ezech.*(p.342.16f.; M.13. 683B); **7.** as means of salvation *ὁ σωτὴρ...διδάξας...τοὺς παρόντας διὰ τῆς γλώσσης, σώσας δὲ τὴν οἰκουμένην διὰ τῶν γεγραμμένων εὐ.* Pall.*v.Chrys.*12(p.72.24; M.47.41).

C. of apocryphal gospels; **1.** 'of Hebrews', Clem.*str.*2.9(p.137.4; M.8.981A); Or.*Jo.*2.12(6; p.67.19; M.14.132C); *ἕτερα δὲ πλεῖστα γράφει* [sc. Heges.] *ἔκ τε τοῦ καθ' Ἑβραίους εὐ.* Eus.*h.e.*4.22.8(M.20. 384A); used by Ebionites, *ib.*3.27.4(M.20.273B); Thdt.*haer.*2.1(4. 328); identified with altered version of Mt., Epiph.*haer.*30.13 (p.349.2; M.41.428C) cit. supra B.3.a; v. *Ἑβραῖος*; **2.** 'of Peter' *τὸ... ὀνόματι Πέτρου εὐ.* Serap.Ant.ap.Eus.*h.e.*6.12.6(M.20.545B); where heret. character discussed, Or.*comm.in Mt.*10.17(p.21.28; M.13. 876C); *τὸ κατ' αὐτὸν ὠνομασμένον εὐ. τό τε λεγόμενον αὐτοῦ κήρυγμα... οὐδ' ὅλως ἐν καθολικοῖς ἴσμεν παραδεδομένα, ὅτι μήτε ἀρχαίων μήτε μὴν καθ' ἡμᾶς τις ἐκκλησιαστικὸς συγγραφεὺς ταῖς ἐξ αὐτῶν συνεχρήσατο μαρτυρίαις* Eus.*h.e.*3.3.2(217A); *ib.*3.25.6(269B); *οἱ δὲ Ναζωραῖοι*

...τῷ καλουμένῳ κατὰ Πέτρον εὐ. κεχρημένοι Thdt.*haer.*2.2(4.329); **3.** 'of Thomas', Or.*hom.*1 *in Lc.*(p.5:14; M.17.312B); Eus.*h.e.*3.25.6 (M.20.269B); ‡Ath.*synops.*76(M.28.432B); ἔγραψαν καὶ Μανιχαῖοι κατὰ Θωμᾶν εὐ., ὅπερ εὐωδίᾳ τῆς εὐαγγελικῆς ἐπωνυμίας ἐπικεχρωσμένον, διαφθείρει δὲ τὰς ψυχὰς τῶν ἁπλουστέρων Cyr.H.*catech.*4.36; *ib.*6.31; †Leont.B.*sect.*3(M.86.1213C); Jo.D.*imag.*3.16(M.94.1301D); **4.** 'of Matthias', Or.*hom.*1 *in Lc.*(p.5.14; M.17.312B); Eus.*h.e.*3.25.6 (M.20.269B); **5.** 'of Philip' οἱ...Λευῖται...προφέρουσι...εἰς ὄνομα Φιλίππου τοῦ ἁγίου μαθητοῦ εὐ. πεπλασμένον Epiph.*haer.*26.13(p.292. 14; M.41.352D); Manichean, †Leont.B.*sect.*3(M.86.1213C); **6.** 'of Judas', composed by Cainites, Iren.*haer.*1.31.1(M.7.704B); Epiph. *haer.*38.1(p.63.13; M.41.656B); Thdt.*haer.*1.15(4.309); **7.** 'of the Twelve', Or.*hom.*1 *in Lc.*(p.5.3; M.17.312B); **8.** Syriac, Eus.*h.e.* 4.22.8(M.20.384A); **9.** 'of the Egyptians', Clem.*str.*3.9(p.225.3; M.8. 1165B); Or.*hom.*1 *in Lc.*(p.5.2; M.17.312B); Epiph.*haer.*62.2(p.391. 6; M.41.1052D); **10.** 'of Eve', *ib.*26.2(p.277.17; 333C); **11.** 'of perfection' ἐπίπλαστον εἰσάγουσιν [sc. Gnostics] ἀγώγιμόν τι ποίημα...εὐ. τελειώσεως τοῦτο φάσκοντες, καὶ ἀληθῶς οὐκ εὐ. τοῦτο, ἀλλὰ πένθος τῆς τελειώσεως *ib.*(p.277.15f.; M.41.333C); **12.** of Basilides ἐτόλμησε καὶ Βασιλείδης γράψαι κατὰ Βασιλείδην εὐ. Or.*hom.*1 *in Lc.*(p.5.6; M.17.312B); **13.** of Manes μίαν καλουμένην εὐ., οὐ Χριστοῦ πράξεις περιέχουσαν ἀλλ' ἁπλῶς μόνον τὴν προσηγορίαν Cyr.H.*catech.*6.22; Socr.*h.e.*1.22.5(M.67.136C); **14.** unidentified λέγει γὰρ ὁ κύριος ἐν τῷ εὐ. 'εἰ τὸ μικρὸν οὐκ ἐτηρήσατε, τὸ μέγα τίς ὑμῖν δώσει;' *2Clem.*8.5; τὰ ὑπομνήματα αὐτοῦ περιέχουσιν αὐτοῖς λέγεται εὐ.· 'εὑρίσκωμεν πόθεν ἐστίν, καὶ τοὺς γονεῖς αὐτοῦ σὺν αὐτῷ, καὶ πῶς θεός ἐστιν οὗτος' *Dial.Tim.et Aquil.*80 r°.

D. in more gen. sense, usu. not referring to written gospel; **1.** described ἔστι τοίνυν τὸ εὐ. λόγος περιέχων ἀπαγγελίαν πραγμάτων κατὰ τὸ εὔλογον διὰ τὸ ὠφελεῖν εὐφραινόντων τὸν ἀκούοντα, ἐπὰν παραδέξηται τὸ ἀπαγγελλόμενον· οὐδὲν δὲ ἧττον ὁ τοιοῦτος λόγος εὐ. ἐστιν, ἂν καὶ πρὸς τὴν σχέσιν τοῦ ἀκούοντος ἐξετάζηται. ἢ εὐ. ἐστι λόγος περιέχων ἀγαθοῦ τῷ πιστεύοντι παρουσίαν ἢ λόγος ἐπαγγελλόμενος παρεῖναι ἀγαθὸν τὸ προσδοκώμενον Or.*Jo.*1.5(7; p.9.25ff.; M. 14.32Cf.); τί βούλεται τοῦτο δηλοῦν ὅ φαμεν εὐ. ... τοῦτο δὴ πᾶσιν ἀνθρώποις τὴν παρουσίαν τῶν ἀνωτάτω καὶ μεγίστων ἀγαθῶν, πάλαι μὲν προηγορευμένων νεωστὶ δὲ τοῖς πᾶσιν ἐπιλαμψάντων, εὐαγγελίζεται Eus.*p.e.*1.1(2A; M.21.24A); εἰ τοίνυν τις ὁριζόμενος εἴποι τὸ εὐ. εἶναι τοῦ ἐξ ἀναστάσεως βίου προδιατύπωσιν, οὐκ ἄν μοι δοκει τοῦ προσήκοντος ἁμαρτεῖν Bas.*Spir.*35(3.30E; M.32.131A); τί ἐστιν εὐ.; τοῦ θεοῦ λόγου κυρίου Ἰησοῦ Χριστοῦ παρουσία, πρὸς σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων σαρκωθέντος, ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς ἀειπαρθένου ‡Ath.*comm.essent.*50(M.28.77A); τὰ...εὐ. ὧν ὁ Χριστὸς ἐποίησε καὶ εἶπεν ἱστορία τίς ἐστιν Chrys.*hom.*1.5 *in Ac.*(9.9B); **2.** contents πασῶν τῶν γραφῶν...πρωτογέννημα μὲν τὸν Μωϋσέως νόμον, ἀπαρχὴν δὲ τὸ εὐ. Or.*Jo.*1.2(4; p.6.13; M.14.28A); of Mt. εὐ. δὲ αὐτοῦ τὴν πραγματείαν εἰκότως ἐκάλεσε. καὶ γὰρ κολάσεως ἀναίρεσιν, καὶ ἁμαρτημάτων λύσιν, καὶ δικαιοσύνην, καὶ ἁγιασμόν, καὶ ἀπολύτρωσιν, καὶ υἱοθεσίαν, καὶ κληρονομίαν τῶν οὐρανῶν, καὶ συγγένειαν πρὸς τὸν υἱὸν τοῦ θεοῦ, πᾶσιν ἦλθεν ἀπαγγέλλων·...τί ποτ' οὖν τῶν εὐ. τούτων ἴσον γένοιτ' ἄν; θεὸς ἐπὶ γῆς, ἄνθρωπος ἐν οὐρανῷ Chrys.*hom.*1.2 *in Mt.*(7.4Af.); ἔστι δὲ εὐ. ἑρμηνεία τοῦ πράγματος· εὐαγγελίζεται γὰρ ἡμᾶς τὴν...τοῦ σωτῆρος οἰκονομίαν, ὅτι ὁ θεὸς ἐν ἀνθρώποις ἐγένετο διὰ φιλανθρωπίαν, οὐ τὴν προαιώνιον ἀξίαν προαποθέμενος, ἀλλὰ τὴν σωτήριον οἰκονομίαν ἐνδυσάμενος Sever.*sigill.*1(M. 63.532); ἀνακηρύττει πᾶσι τὰ ὄντως εὐ., θεὸν ἴλεω τοῖς ἐπὶ γῆς ἐξ οἰκείας ὄντα καὶ φυσικῆς ἀγαθότητος, αὐτὸν ὡς ἡμᾶς εὐτόνως ἀφικέσθαι διὰ φιλανθρωπίαν ἀξιώσαντα, καὶ τῇ πρὸς αὐτὸν ἑνώσει δίκην πυρὸς ἀφομοιῶσαι τὰ ἑνωθέντα Dion.Ar.*e.h.*2.2.1(M.3.393A); εὐ. δὲ τὸ κήρυγμα προσηγόρευσεν, ὡς πολλῶν ἀγαθῶν ὑπισχνούμενον χορηγίαν. εὐαγγελίζεται γὰρ τὰς τοῦ θεοῦ καταλλαγάς, τὴν τοῦ διαβόλου κατάλυσιν, τῶν ἁμαρτημάτων τὴν ἄφεσιν, τοῦ θανάτου τὴν παῦλαν, τῶν νεκρῶν τὴν ἀνάστασιν, τὴν ζωὴν τὴν αἰωνιον, τὴν βασιλείαν τῶν οὐρανῶν Thdt. *Rom.*1:1(3.13); id.*Ezech.*39:29(2.1019); **3.** in some sense identified with Christ προσφυγὼν τῷ εὐ. ὡς σαρκὶ Ἰησοῦ Ign.*Philad.*5.1; τῆς ἀληθείας τὸ φῶς, ὁ λόγος...εὐ. γενόμενος Clem.*prot.*2(p.10.8; M.8. 65C); ὁ...σωτὴρ...τὸ εὐ. σωματοποιηθῆναι θελήσας Or.*Jo.*1.6(8; p.11. 5; M.14.33D); αὐτός ἐστιν τὸ εὐ. τῆς σωτηρίας ἡμῶν Cyr.*Arcad.*(p.115. 20; 5².122B); **4.** its essence ἐξαίρετον δέ τι ἔχει τὸ εὐ., τὴν παρουσίαν τοῦ σωτῆρος...τὸ πάθος αὐτοῦ καὶ τὴν ἀνάστασιν Ign.*Philad.*9.2; cf. *haec quidem sunt principia evangelii, unum deum fabricatorem hujus universitatis,* Iren.*haer.*3.1.1(M.7.884A); τὴν τοῦ εὐ. ὑπόθεσιν, ὅτι δόσις ἐστὶν αἰωνίου ζωῆς Clem.*q.d.s.*6(p.164.6; M.9.612A); τῶν γὰρ εὐ. τὸ κεφάλαιον ἐντεῦθεν ἔχει τὴν ἀρχήν, ἀπὸ τοῦ τὸν θεὸν γενέσθαι ἄνθρωπον, καὶ σταυρωθῆναι, καὶ ἀναστῆναι Chrys.*hom.*38.1 *in 1Cor.* (10.351B); οὐδὲν...ἄλλο ἐστὶ τὸ κήρυγμα, ἀλλ' ἢ σωτηρίας εὐ., ὅτι τοὺς ἀξίους ἀπόλλυσθαι οὐκέτι ἀπόλλυσιν id.*hom.*2.1 *in Eph.*(11.10E); τὸ εὐ. ... τοῦτ' ἔστιν ἡ ἀνάστασις Sever.*1Thess.*2:4(p.329.8); Thdr. Mops.*1Cor.*15:1(p.193.24; M.66.892B); Cyr.*1Cor.*15:1(p.297.3; M.74. 893B); Thdt.*1Cor.*15:11(3.267); ὁ...τοῦ εὐ. σκοπὸς τῶν ἀνθρώπων ἡ σωτηρία *ib.*9:23(3.224); Jo.D.*1Cor.*15:1(M.95.688D); **5.** its beginning, cf. infra 14.b.i; ἀρχὴ τοῦ κόσμου τὸ ὕδωρ· καὶ ἀρχὴ τοῦ εὐ. ὁ Ἰορδάνης Cyr.H.*catech.*3.5; ὁ δὲ Μάρκος ἀρχὴν τοῦ εὐ. τὸ Ἰωάννου πεποίηκε κήρυγμα Bas.*Eun.*2.15(1.250B; M.29.601A); **6.** as gospel of God, cf. *evangelium patris evangelium filii est,* Or.*comm.in Rom.*1.3(M.14. 847A); Chrys.*hom.*2.2 *in Rom.*(9.438E); **7.** its preachers; **a.** Jo. Bapt., Or.*hom.*21 *in Lc.*(p.136.17); **b.** apostles τοὺς ἰδίους ἀποστόλους τοὺς μέλλοντας κηρύσσειν τὸ εὐ. αὐτοῦ ἐξελέξατο *Barn.*5.7; cf.Iren. *haer.*3.1.1(M.7.844A); *A.Paul.et Thecl.*40(p.266.9); Clem.*paed.*2.8 (p.194.16; M.8.465C); cf. *neque enim gentes...credere poterant evangelis, nisi per gratiam quae apostolis fuerat data, per quam praedicantibus apostolis in fidem obedire dicitur,* Or.*comm.in Rom.*1.7(M.14. 853A); Ath.*Ar.*1.2(M.26.16B); πλουσία καὶ ἄφθονος ἡ χάρις ἐκκέχυται ἐπὶ τοὺς κήρυκας τοῦ εὐ., οὓς καὶ χείλη Χριστοῦ ὠνόμασεν ἡ γραφή Bas.*hom.in Ps.*44(1.162D; M.29.397A); **c.** priests τοῦτον...πλήρωσον τῆς τοῦ ἁγίου σου πνεύματος δωρεᾶς ἵνα γένηται ἄξιος...κηρύσσειν τὸ εὐ. τῆς βασιλείας σου *Euchol.*(p.243); **d.** qualities of its preachers, cf. *sacrificale opus esse annuntiare evangelium...qui evangelium sacrificat et verbum dei annuntiat, curare omnimodis debet, ne qua in praedicando macula, ne quod in docendo vitium, ne qua in magisterio culpa nascatur,* Or.*comm.in Rom.*10.11(M.14.1268B); **8.** extent of its preaching τὸ εὐ. τῆς βασιλείας ἀπὸ τῶν ἡμετέρων τόπων ἀρξάμενον εἰς πᾶσαν ἐξῆλθε τὴν οἰκουμένην Bas.*ep.*243.3(3.374E; M.32.908B); *ib.* 165(256C; M.640A); Chrys.*hom.*75.2 *in Mt.*(7.725E); **9.** gospel as a way of life τὸ εὐ. εἰ μὴ βούλοιτό τις ἕπεσθαι, ἔξον μὲν αὐτῷ ἐστιν, ἀσύμφερον δέ Iren.*haer.*4.37.4(cf.M.7.1101C); κατὰ τὸ εὐ. τελείως βιώσαντας καὶ γνωστικῶς Clem.*str.*6.12(p.485.9; M.9.328A); Or. *comm.in Mt.*17.4(p.588.30; M.13.1484C); id.*mart.*12(p.11.26; M.11. 577C); Eus.*h.e.*2.17.15(M.20.180B); Bas.*ep.*22(3.99A; M.32.288B); πάντες ἄνθρωποι ἀπαιτηθησόμεθα τὴν πρὸς τὸ εὐ. ὑπακοήν, μοναχοί τε καὶ οἱ ἐν συζυγίαις id.*renunt.*2(2.203C; M.31.629A); **10.** as storehouse of teaching, Hipp.*Dan.*4.20.3; cf. *secundum evangelii leges,* Or. *comm.in Rom.*2.13(M.14.912B); ὁμοούσιόν ἐστι [sc. τὸ πνεῦμα] πατρὸς καὶ υἱοῦ, καὶ ἐκ πατρὸς μὲν ἐκπορεύεται κατὰ τὴν τῶν εὐ. διδασκαλίαν Thdt.*Rom.*8:11(3.84); **11.** its spiritual and literal sense τὸ σωματικὸν κηρύττειν εὐ. Or.*Jo.*1.7(9; p.13.5; M.14.37B); *ib.*1.8(10; p.13.12f.; 37C) cit. s. αἰσθητός; **12.** as eternal ὥσπερ ἔστι 'νόμος σκιὰν' περιέχων 'τῶν μελλόντων ἀγαθῶν' ὑπὸ τοῦ κατὰ ἀλήθειαν καταγγελλομένου νόμου δηλουμένων, οὕτω καὶ εὐ. σκιὰν μυστηρίων Χριστοῦ διδάσκει τὸ νομιζόμενον ὑπὸ πάντων τῶν ἐντυγχανόντων νοεῖσθαι. ὃ δέ φησιν Ἰωάννης 'εὐ. αἰώνιον' οἰκείως ἂν λεχθησόμενον πνευματικόν *ib.*1.7(9; p.12.11f.; M.14.36D); cf. *utrum simpliciter accipi debeat evangelium per scripturas prophetica a deo repromissum; an ad distinctionem alterius evangelii quod aeternum dicit Joannes in Apocalypsi,* Or. *comm.in Rom.*1.4(M.14.847B); *si ergo cum apparuit nobis hominibus, non sine evangelio apparuit, consequentia videtur ostendere quod etiam angelico ordini non sine evangelio apparuerit, illo fortassis quod aeternum evangelium a Joanne memoratum supra edocuimus, ib.*(848A); *ib.*1.14(861A); cf. τὸ δὲ αἰώνιον εὐ., τὸ ἐξ αἰῶνος τοῦτο παρὰ τῷ θεῷ προωρίσθαι Andr.Caes.*Apoc.*40(M.106.344D); **13.** in Gnost. theory ἦλθε τὸ εὐ. εἰς τὸν κόσμον καὶ διῆλθε διὰ πάσης ἀρχῆς καὶ ἐξουσίας ⟨καὶ⟩ κυριότητος ⟨καὶ⟩ παντὸς ὀνόματος ὀνομαζομένου Hipp. *haer.*7.25(p.203.18; M.16.3314B); ἦλθεν...τὸ εὐ. πρῶτον ἀπὸ τῆς υἱότητος *ib.*7.26(p.204.1; 3314C); ἔδει λοιπὸν καὶ ἐπὶ τὴν ἑβδομάδα ἐλθεῖν τὸ εὐ. *ib.*(p.204.19; 3315A); εὐ. ἐστι κατ' αὐτοὺς ἡ τῶν ὑπερκοσμίων γνῶσις *ib.*7.27(p.207.4; 3319A); **14.** relationship to OT; **a.** in gen. πρὸ τοῦ εὐ., ὃ γέγονε διὰ τὴν Χριστοῦ ἐπιδημίαν, οὐδὲν τῶν πάλαι εὐ. ἦν. τὸ δὲ εὐ., ὅπερ ἐστὶ διαθήκη καινή, ἀποστῆσαν ἡμᾶς παλαιότητος τοῦ γράμματος τὴν μηδέποτε παλαιουμένην καινότητα τοῦ πνεύματος, οἰκείαν τῆς καινῆς διαθήκης τυγχάνουσαν, ἐν πάσαις ἀνακειμένην γραφαῖς τῷ φωτὶ τῆς γνώσεως ἀνέλαμψεν. ἐχρῆν δὲ τὸ ποιητικὸν τοῦ καὶ ἐν τῇ παλαιᾷ διαθήκῃ νομιζομένου εὐαγγελίου εὐαγγέλιον ἐξαιρέτως καλεῖσθαι 'εὐ.' Or.*Jo.*1.6(7; p.11.18ff.; M.14. 36B); ἡ παλαιὰ μὲν οὐκ εὐ., οὐ δεικνύουσα 'τὸν ἐρχόμενον' ἀλλὰ προκηρύσσουσα *ib.*1.3(5 p.7.4; 28C); **b.** to Law; **1.** as fulfilment τὰ τοῦ εὐ. δόγματα ὑπὸ τοῦ νόμου προεκηρύχθη Mel.*pass.*39 p.6.30; τί δὲ ἄτοπον τὸ ἀρχὴν τοῦ ἡμετέρου δόγματος, τουτέστι τοῦ εὐ., εἶναι τὸν νόμον;...ὁ Μάρκος φησίν· 'ἀρχὴ τοῦ εὐ. Ἰησοῦ Χριστοῦ κτλ. ...' δεικνὺς ὅτι· ἡ τοῦ εὐ. ἀρχὴ τῶν Ἰουδαϊκῶν γραμμάτων ἤρτηται Or. *Cels.*2.4(p.131.9f.; M.11.801B); ὡς μὲν πρὸς τὴν μάθησιν, οὐδὲν διέστηκε τὰ εὐ. τοῦ νόμου· ὡς δὲ πρὸς τὴν ἐπαγγελίαν καὶ ἀπόδοσιν, διέστηκε. τί γάρ ἐστι ὁ νόμος; εὐ. προκατηγγελμένον· τί δὲ τὸ εὐ.;

νόμος πεπληρωμένος ‡Just.*qu.et resp.*101(M.6.1345D); **ii.** one God being author of both, cf.Iren.*haer.*4.12.3(M.7.1005B); Clem.*str.*2.23(p.193.23; M.8.1096D); Or.*hom.*5 *in Lev.*(p.333.24; M.12.421C); cf. id.*Tit.*(M.14.1303C); cf. *haereticis..., qui...dividunt unitatem deitatis, et qui legem ab evangeliis separant,* id.*comm.in Rom.*2.14(M.14.916D); *πόθεν τῷ Μαρκίωνι καὶ Μανιχαίῳ τὸ εὐ., ἀρνουμένοις τὸν νόμον;* Ath.*ep.Aeg.Lib.*4(M.25.544C); **iii.** both needed, Or.*comm.in Mt.*14.18(p.328.11; M.13.1233A); **iv.** difference between them *νομικοῦ μὲν τελείωσις γνωστικὴ εὐαγγελίου πρόσληψις, ἵνα γένηται ὁ κατὰ νόμον τέλειος...ἐν εὐ. δὲ ἤδη προκόπτει ὁ γνωστικός, οὐ βαθμῷ χρησάμενος τῷ νόμῳ μόνον, συνιεὶς δὲ αὐτὸν καὶ νοήσας ὡς παρέδωκε τοῖς ἀποστόλοις ὁ τὰς διαθήκας δεδωκὼς κύριος* Clem.*str.*4.21(p.305.25,28; M.8.1340Cf.); *οὗτος* [sc. one who marries twice] *οὐχ ἁμαρτάνει μὲν κατὰ διαθήκην (οὐ γὰρ κεκώλυται πρὸς τοῦ νόμου), οὐ πληροῖ δὲ τῆς κατὰ τὸ εὐ. πολιτείας τὴν...τελειότητα ib.*3.12(p.233.28; 1184A); *ib.*7.12 (p.54.12; M.9.504B); *περισσεία δὲ τῆς τοῦ νόμου δικαιοσύνης ἡ τοῦ εὐ. ἐστὶν ὑψηλότης* Isid.Pel.*epp.*1.79(M.78.237B); *ib.*3.53(765Df.); Max.*ambig.*(M.91.1244D); gospel as image of truth *ὁ μὲν γὰρ νόμος τῆς εἰκόνος ἐστὶ τόπος καὶ σκιά, τουτέστι τοῦ εὐ., ἡ δὲ εἰκών, τὸ εὐ., αὐτῆς τῆς ἀληθείας* Meth.*symp.*9.2(p.115.27; M.18.180C); *ib.*9.3(p.118.3; 185A); as law *τῶν γὰρ πρώτων ἀδυνατησάντων σῶσαι νομοθετημάτων τὸν ἄνθρωπον...ἡ κατὰ τὸ εὐ. ἔσωσε μόνη νομοθεσία πάντας ib.*10.3 (p.125.3; 197A); id.*res.*2.8(p.345.3; M.18.308B); gospel not exclusive *ὁ...νόμος ἐνὶ ἐκηρύττετο ἔθνει· τὸ δὲ εὐ. εἰς πέρατα τῆς οἰκουμένης διαδέδοται* Jo.D.*Rom.*1:5(M.95.444C); **v.** as opp. Law *εἰ δὲ γελοῖος, ἡλίου λάμποντος, ὁ λύχνον ἑαυτῷ παραφαίνων, πολλῷ γελοιότερος ὁ εὐ. κηρυσσομένου, τῇ σκιᾷ τῇ νομικῇ παραμένων* †Bas.*Is.*76(1.433A; M.30.245C); *ὅρα γοῦν ὁ Παῦλος πῶς τὴν περιτομὴν ἀνατροπὴν τοῦ εὐ. καλεῖ...καίτοι ἡ περιτομὴ παρὰ θεοῦ δεδομένη ἦν, ἀλλ' ὅμως ἐπειδὴ ἐλυμαίνετο τῷ εὐ. οὐκ ἐν καιρῷ τελουμένη, πάντα ἔπραττεν ὁ Παῦλος, ὥστε αὐτὴν περικόψαι* Chrys.*comm.in Gal.*1:7(10.669B,D); **c.** to prophets; **i.** as fulfilment, Ign.*Philad.*9.2; *ib.*5.2; *τὴν μίαν τὴν ἐκ προφητείας εἰς εὐ. τετελειωμένην δι' ἑνὸς καὶ τοῦ αὐτοῦ κυρίου... σωτηρίαν* Clem.*str.*2.6(p.128.28; M.8.964D); *ὁ...θεὸς τὸ εὐ. ἑαυτοῦ προεπηγγείλατο διὰ τῶν προφητῶν* Or.*Jo.*2.10(6; p.64.20; M.14.125B); id.*fr.*48 *in Jo.*(p.523.16); Eus.*d.e.*3 proem.(p.95.15; M.22.165A); *οὐ γὰρ ἀφ' οὗ ἐφάνη Χριστός, τὸ εὐ. ἤρξατο· ἀλλ' ἐρριζώθη μὲν ἐν ταῖς βίβλοις τῶν προφητῶν, ἐβλάστησε δὲ ἐν τῷ κηρύγματι τῶν ἀποστόλων* ‡Chrys.*leg.*1(6.403D); *σοφία, λόγος, καὶ δύναμις, ὁ ἐν προφήταις ῥηθεὶς καὶ προκηρυχθείς, ἐν εὐ. δὲ φανερωθείς* ‡Germ.CP *contempl.*(M.98.413A); **ii.** prophets as part of gospel, Or.*Jo.*1.15 (14; p.19.13; M.14.48C); **iii.** containing same faith, CArim.*ep.Const.*1(p.237.8; M.25.696C); **iv.** superior to prophets *πᾶσα μὲν ἡ τῶν εὐ. φωνή, μεγαλοφυεστέρα τῶν λοιπῶν τοῦ πνεύματος διδαγμάτων, καθ' ὅτι ἐν ἐκείνοις μὲν διὰ τῶν δούλων ἡμῖν ἐλάλησε τῶν προφητῶν, ἐν δὲ τοῖς εὐ. αὐτοπροσώπως διελέχθη ἡμῖν ὁ δεσπότης* Bas.*hom.*16.1 (2.134A; M.31.472B); *οὐ γὰρ ἦλθέ τι σκυθρωπὸν ἀπαγγέλλων, ὥσπερ οἱ προφῆται κατηγορίας καὶ ἐγκλήματα καὶ ἐπιτιμήσεις, ἀλλ' εὐ., καὶ εὐ. θεοῦ, μενόντων καὶ ἀκινήτων ἀγαθῶν θησαυροὺς μυρίους* Chrys.*hom.1.1 in Rom.*(9.431B); **d.** to both Law and prophets: all preach one God, Clem.*str.*3.2(p.199.18; M.8.1109A); *ib.*3.11(p.228.3; 1172B); Or.*comm.in Mt.*10.10(p.11.26; M.13.857C); id.*fr.*24 *in Lc.*(p.244); Alex. Al.*ep.Alex.*12(p.27.3; M.18.565A); and are necessary, cf.Or.*comm. in Rom.*1.15(M.14.861B,C).

E. exeg.: Rom.2:16 *φασὶν δὲ ὡς ἄρα τοῦ κατ' αὐτὸν εὐ.* [sc. Lc.] *μνημονεύειν ὁ Παῦλος εἴωθεν, ὁπηνίκα ὡς περὶ ἰδίου τινὸς εὐ. γράφων ἔλεγεν 'κατὰ τὸ εὐ. μου'* Eus.*h.e.*3.4.7(M.20.220C); 1Cor.9:12 *τῷ εὐ. ... τουτέστιν τῇ κατηχήσει ὑμῶν* Chrys.*hom.21.4 in 1Cor.*(10.185D); 1Cor.9:23 *ἵνα δυνηθῶ κοινωνῆσαι τοῖς ἐν τῷ εὐ. πεπιστευκόσιν ib.22.3* (10.196B); 2Cor.4:4 *ἔγνων τινὰς...φάσκοντας κεκαλυμμένον εἶναι τὸ εὐ. οὐ τοῖς πάντη ἀπίστοις· οὐδὲ γὰρ κεκαλυμμένου αὐτοῦ ἦ γυμνοῦ πεῖραν ἔχουσιν. ἔλεγον δὲ οὗτοι ἀπολλυμένους εἶναι ἐν οἷς κεκάλυπται τὸ εὐ., τοὺς παραδεξαμένους μὲν αὐτό, μὴ μὴν ἄνευ καλύμματος προσβαλόντας αὐτῷ* Didym.*2Cor.*4:3-4(p.24.6); *κἂν ᾖ κεκαλυμμένον τὸ εὐ., τοῖς ἀπίστοις κεκάλυπται, οὐχ ὡς ἐν τῷ νόμῳ ἀπὸ παντὸς Ἰσραὴλ ἐπεκάλυπτο ἡ δόξα τοῦ προσώπου Μωϋσέως* Sever.*2Cor.*4:3 (p.287.22); 2Cor.8:18 *τινὲς τὸν Λουκᾶν φασι, τινὲς τὸν Βαρνάβαν· καὶ γὰρ τὸ ἄγραφον κήρυγμα τὸ εὐ. ἐστιν* Jo.D.*2Cor.*8:18(M.95.749B); Eph.6:15 *τὸ γὰρ εὐ., εἰρήνης ἐστίν...ἂν τῷ διαβόλῳ πολεμῶμεν, εἰρηνεύομεν τῷ θεῷ* Chrys.*hom.24.1 in Eph.*(11.180A); Phil.1:5 *κοινωνίαν δὲ τοῦ εὐ. τὴν πίστιν ἐκάλεσε* Thdt.*Phil.*1:5(3.446); Phil. 1:7, Chrys.*hom.div.*7.2(12.357D); *βεβαίωσιν δὲ τοῦ εὐ. τὰ παθήματα προσηγόρευσεν* Thdt.*Phil.*1:7(3.446); Phil.1:13 *προκοπὴν γὰρ τοῦ εὐ. τὸ πλῆθος τῶν πιστευόντων ἐκάλεσε ib.*1:13(3.448); Col.1:5 *τὸ εὐ. δὲ τοῦ παρόντος εἰς ὑμᾶς, φησίν, οὖκ ἐστι ψεῦδος, ἵνα παροφθῇ* Sever. *Col.*1:5(p.316.23); Col.1:23 *τίς δέ ἐστιν ἡ ἐλπὶς τοῦ εὐ., ἀλλ' ἢ ὁ Χριστός;* Chrys.*hom.4.1 in Col.*(11.352A); *ἐλπίδα δὲ τοῦ εὐ. τὴν ἀνάστασιν καλεῖ καὶ τὴν ζωὴν τὴν ἀθάνατον καὶ τὴν τῶν οὐρανῶν βασιλείαν* Thdt.*Col.*1:23(3.480); 1Tim.1:11 *εὐ. δὲ δόξης αὐτὸ καλεῖ, δι' οὐδὲν ἕτερον, ἀλλ' ἢ πρὸς τοὺς αἰσχυνομένους ἐπὶ τοῖς διωγμοῖς, καὶ ἐπὶ τῷ πάθει τοῦ Χριστοῦ* Chrys.*hom.2.2 in 1Tim.*(11.558B); *εὐ. δὲ δόξης, τὸ κήρυγμα κέκληκεν, ἐπειδὴ τὴν μέλλουσαν δόξαν ἐπαγγέλλεται τοῖς πιστεύουσιν* Thdt.*1Tim.*1:11(3.642); Jo.D.*1Tim.* 1:11(M.95.1001B); 2Tim.2:8 *πανταχοῦ τοῦτο τίθησι τῶν ἐπιστολῶν λέγων 'κατὰ τὸ εὐ. μου', ἐπειδὴ αὐτῷ πείθεσθαι ἐχρῆν, καὶ ἐπειδὴ καὶ ἕτεροι ἦσαν εὐαγγελιζόμενοι ἕτερα* Chrys.*hom.4.2 in 2Tim.*(11. 680E).

F. *gospel-lection, Gospel for the day*; **1.** in gen. *εἰσῆλθεν εἰς τὴν ἐκκλησίαν καὶ συνέβη τότε τὸ εὐ. ἀναγινώσκεσθαι* Ath.*v.Anton.*2(M. 26.841C); *μετὰ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν καὶ τοῦ εὐ.* *Const.App.*2.39.6; Jo.Mosch.*prat.*32(M.87.2880C); *τὴν τῆς προφωνῆς ἑβδομάδα ἐν ᾗ ἀναγινώσκεται τὸ ἱερὸν εὐ. τοῦ τελώνου καὶ τοῦ Φαρισαίου* *Catech.Stud.*8(M.99.1697D); *εὐ. τε ἐκφωνεῖν ἐπὶ ὄρθρου* Thdr.Stud. *epp.*2.214(M.99.1652B); *εὐχὴ πρὸ τοῦ εὐ.* *Lit.Jac.*(p.170.23); *Lit. Chrys.*(p.314.27); *ἔπειτα ὁ διάκονος· σοφία· ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου εὐ. ὁ ἱερεύς· εἰρήνη πᾶσι, καὶ εὐθὺς ἐπιφέρει· ἐκ τοῦ κατὰ τόνδε ἁγίου εὐ. τὸ ἀνάγνωσμα. καὶ ὁ λαός, δόξα σοι, κύριε, δόξα σοι· ὁ διάκονος· προσχῶμεν, καὶ ἀναγινώσκει ὁ ἱερεὺς τὸ εὐ.* *Euchol.*(p.6); congregation advised to read Gospel carefully at home before service, Chrys.*hom.11.1 in Jo.*(8.62B); **2.** all standing while it is read, *Const.App.*2.57.8(cf.Philost.*h.e.*3.5); *ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου εὐ.* *Lit.Jac.*(p.172.20); bishop standing, Isid.Pel.*epp.*1.136(M.78.272D); except in Alexandria, Soz.*h.e.*7.19.6(M.67.1477A); **3.** its exposition *ὁ διδάσκαλος ἑρμηνεύσει τὸ εὐ. ὅταν λειτουργῇ ὁ ἀρχιερεύς* *Euchol.* (p.224); **4.** its symbolism *τὸ δὲ ἅγιον εὐ. γενικῶς μὲν σύμβολόν ἐστι τῆς συντελείας τοῦ αἰῶνος τούτου· ἰδικῶς δέ, τῶν μὲν πιστευσάντων δηλοῖ τὸν παντελῆ τῆς ἀρχαίας πλάνης ἀφανισμόν* Max.*myst.*24(M.91. 708A); cf.*ib.*13,14(692Bf.); *τὸ εὐ. ἐστιν ἡ παρουσία τοῦ υἱοῦ τοῦ θεοῦ, καθ' ἣν ὡράθη ἡμῖν, οὐκέτι διὰ νεφελῶν καὶ αἰνιγμάτων λαλῶν ἡμῖν ὥς ποτε τῷ Μώσῃ...ἀλλ' ἐμφανῶς ὡς ἄνθρωπος ἀληθῶς ἐφάνη* ‡Germ. CP *contempl.*(M.98.412D).

G. *gospel-book*; **1.** in gen. *βαστάσας τὸ εὐ. καὶ τοῦ Δαυὶδ τὸ ψαλτήριον A.Mt.*25(p.252.7); Gr.Nyss.*Eun.*2(2 p.304.20; M.45.476C); CLaod.*can.*16; **2.** in private possession *οἱ ἀντὶ τῶν εὐ. τὰς κιθάρας καὶ τὰς λύρας ἐπὶ τῶν οἴκων φυλάσσοντες* †Bas.*Is.*157(2.490D; M.30. 376C); *ἐκέκτητό τις τῶν ἀδελφῶν εὐ. μόνον, καὶ τοῦτο πωλήσας ἔδωκεν εἰς τροφὴν τοῖς πεινῶσιν* Evagr.Pont.*cap.pract.*B 97(M.40. 1249D); miniature copies worn round the neck by women and children *αἱ γυναῖκες καὶ τὰ μικρὰ παιδία ἀντὶ φυλακῆς μεγάλης εὐαγγέλια ἐξαρτῶσι τοῦ τραχήλου, καὶ πανταχοῦ περιφέρουσιν, ὅπου περ ἂν ἀπίωσιν* Chrys.*stat.*19.4(2.197E); id.*hom.72.2 in Mt.*(7.703B); Isid.Pel.*epp.*2.150(M.78.604B); copy hung beside bed, Chrys.*hom. 43.4 in 1Cor.*(10.405E); **3.** used in swearing oaths, Chrys.*stat.*15.5 (2.159A); *ib.*(2.159B); *εἰς τὰ εὐ. παρορκήσας* Pall.*v.Chrys.*11(p.64.6; M.47.36); *φέρε τὸ εὐ. καὶ ὄμοσόν μοι ἐν αὐτῷ* id.*h.Laus.*38(p.118.21; M.34.1193B); *βαστάζων τὸ ἅγιον εὐ. ... ἐπωμόσατο αὐτοῖς ὁ βασιλεὺς λέγων 'μὰ τὴν δύναμιν ταύτην'* *Chron.Pasch.*p.338(M.92.880B); **4.** placed on throne at councils *ἡ ἁγία σύνοδος συναγήγερτο,... σύνεδρον δὲ ὥσπερ καὶ κεφαλὴν ἐποιεῖτο Χριστόν· ἔκειτο γὰρ ἐν ἁγίῳ θρόνῳ τὸ σεπτὸν εὐ.* Cyr.*apol.Thds.*(p.83.25; 6[1].251C); *τὸ θεῖον προτεθεικὸς εὐ.* Thdt.*h.e.*5.3.15(3.1019); CChalc.*act.*13(*ACO* 2.1.3 p.54. 1f.; H.2.560D); CCP(681)*act.*3(H.3.1068C); **5.** placed on head of bishop at his consecration *τῶν δὲ διακόνων τὰ θεῖα εὐ. ἐπὶ τῆς τοῦ χειροτονουμένου κεφαλῆς ἀνεπτυγμένα κατεχόντων* *Const.App.*8.4.6; Pall.*v.Chrys.*16(p.93.13; M.47.53); rubrics describing procedure *ὁ διάκονος...εἰσέρχεται μετὰ τοῦ εὐ. μόνος εἰς τὸ ἅγιον θυσιαστήριον* *Euchol.*(p.252); *εἷς δὲ τῶν ἀρχιερέων, ἤγουν ὁ πρῶτος, λαμβάνει τὸ ἅγιον εὐ., καὶ τοῦτο ἀνανεώσας τίθησιν αὐτὸ ἐξάπινα ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, ἐπὶ προσώπου κρατοῦντες αὐτὸ οἱ ἕτεροι ἀρχιερεῖς ἔνθεν κἀκεῖθεν ...οἱ δὲ ἀρχιερεῖς κρατοῦντες τὸ εὐ. καὶ ὁ χειροτόνων ἀρχιερεὺς κάμνει ἐπὶ τῆς κεφαλῆς τοῦ χειροτονουμένου σταυροὺς τρεῖς ἐπευλογῶν αὐτόν* *ib.*(p.256); *καὶ μετὰ τὸ ἀμὴν ἐφαίρει τὸ εὐ. ὁ πατριάρχης καὶ ἀποτίθησιν αὐτὸ ἐν τῇ ἁγίᾳ τραπέζῃ ib.*(p.252); reason for custom *ἵνα μάθῃ ὁ χειροτονούμενος ὅτι τὴν ἀληθινὴν τοῦ εὐ. τιάραν λαμβάνει, καὶ ἵνα μάθῃ ὅτι εἰ καὶ πάντων ἐστὶ κεφαλή, ἀλλ' ὑπὸ τούτους πράττει τοὺς νόμους, πάντων κρατῶν, καὶ τῷ νόμῳ κρατούμενος, πάντα λογοθετῶν, καὶ ὑπὸ τοῦ λόγου νομοθετούμενος* ‡Chrys.*leg.*4(6.410B); *τὸ...ἔχειν τὸν ἀρχιερέα τὸ εὐ., σημεῖόν ἐστι τὸ ἐπ' ἐξουσίαν εἶναι ib.*(6.410C); **6.** liturg. ceremonies; at Little Entrance folld. by a litany, *Lit.Jac.*(p.172. 24); cf. *ἔρχεται ὁ διάκονος εἰς τὸ μέσον καὶ στὰς ἔμπροσθεν τοῦ ἱερέως ἀνυψοῖ μικρὸν τὰς χεῖρας καὶ δεικνύων τὸ ἅγιον εὐ. λέγει μεγαλοφώνως· σοφία· ὀρθοί. εἶτα προσκυνήσας αὐτός τε καὶ ὁ ἱερεὺς κατόπισθεν αὐτοῦ*

εἰσέρχονται εἰς τὸ ἅγιον βῆμα καὶ ὁ μὲν διάκονος ἀποτίθησι τὸ ἅγιον εὐ. ἐν τῇ ἁγίᾳ τραπέζῃ *Lit.Chrys.*(p.368.23,26; M.63.909); ὁ δὲ διάκονος ...προσκυνήσας μετ' εὐλαβείας τὸ ἅγιον εὐ. αἴρει αὐτὸ καὶ ἐξελθὼν διὰ τῶν ἁγίων θυρῶν, προπορευομένων αὐτῷ λαμπάδων, ἔρχεται καὶ ἵσταται ἐν τῷ ἄμβωνι ἢ ἐν τῷ τεταγμένῳ τόπῳ *ib.*(p.372.22; M.910); omitted in liturgy of presanctified, Thdr.Stud.*praesanct.*(M.99.1688C); it is kissed, cf. ἀσπάζονται τὸ ἅγιον εὐ. καὶ τὴν ἁγίαν τράπεζαν *Lit.Chrys.*(p.354.38); cf. ὁ διάκονος...ἀσπάζεται τὸ εὐ. εἰ πάρεστιν *ib.*(p.368.20; M.909); γίνεται ὁ ἀσπασμὸς τοῦ ἁγίου εὐ. παρὰ τῶν ἀδελφῶν συνήθως *Euchol.*(p.6); symbolism ἡνίκα γὰρ...ὁ ἀληθινὸς ποιμὴν παραγένηται διὰ τῆς τῶν εὐ. τῶν προσκυνητῶν ἀναπτύξεως, καὶ ὑπανίσταται καὶ ἀποτίθεται τὸ σχῆμα τῆς μιμήσεως ὁ ἐπίσκοπος, αὐτὸν δηλῶν παρεῖναι τὸν κύριον Isid.Pel.*epp.*1.136(M.78.272D); ‡Bas.*h.myst.*33(p.265.12) cit. s. εἴσοδος; *ib.*43(p.388.9); βαστάζει δὲ ὁ διάκονος τὸ ἅγιον εὐ. ὡς θείαν κέλευσιν τοῦ βασιλέως τοῖς στρατηγοῖς τοῦ πιστοῦ λαοῦ προσάγων αὐτῷ ‡Sophr.H.*liturg.*14(M.87.3993D); cf.Cyr.*apol.Thds.* cit. supra 4; **7.** treatment; touched with washed hands, Chrys.*stat.*7.5(2.90B); venerated τί δέ σοι δοκεῖ τὸ εὐ. ἅγιον καλούμενον οὐχὶ καὶ προσκυνητὸν ὑπάρχειν; Thdr.Stud.*antirr.*2.24(M.99.376A).

εὐαγγέλιος, *of good news* τὴν εὐ. καὶ ἡγεμόνιον ἐπιστήσας τοῦ λόγου δύναμιν Clem.*paed.*1.7(p.124.16; M.8.320B); *of the gospels* εὐ. φωνή Thphl.Ant.*Autol.*3.13(M.6.1140B); Clem.*paed.*1.8(p.131.13; 336A); εὐ. ... μαθήματα ‡Just.*qu.et resp.*101(M.6.1345A).

***εὐαγγελισμός, ὁ, 1.** *glad tidings, preaching of the gospel* μαρτυροῦσιν αἱ θεῖαι γραφαὶ τοῖς ὑπὸ τῶν ἀποστόλων εὐ. καὶ τῷ ὑπὸ τοῦ σωτῆρος ἡμῶν Or.*Jo.*1.8(10; p.13.25; M.14.37D); ὁ περὶ τῆς ἀναστάσεως εὐ. Cyr.H.*catech.*14.1; τὸν μὲν εἰς ὑμᾶς, φησίν, εὐ. ... διὰ τῆς ἐκείνων ἀπαλλοτριώσεως ἔδει γενέσθαι, καὶ διὰ τοῦτο ἠλλοτριώθησαν Apoll.*Rom.*11:28(p.75.6); ὁ εὐ. τοῦ προδρόμου ἐν τῷ ᾅδῃ Eus. Al.*serm.*1(M.86.512A); τὸν τῆς πνευματικῆς χαρμοσύνης εὐ. Thdot. Anc.*hom.BMV et Sym.*1(M.77.1392A); ὅταν ἴδητέ με ἐκ νεκρῶν ἀνιστάμενον...τότε γνώσεσθε...τὸν ἡμέτερον εὐ. Cosm.Ind.*top.*3(M.88. 145A); τῶν ποιμένων τὸν ὑπὸ τοῦ ἀγγέλου μετὰ χαρᾶς εὐ. *ib.*(165B); ὁ λευκὸς ἵππος σύμβολον εὐ. τυγχάνει Oecum.*Apoc.*6:2(p.84); Areth. *Apoc.*14(M.106.588B); ἄλλος δὲ εὐ. ποιεῖται, διὰ λόγων ἢ γραμμάτων, ὡς Φίλιππος μὲν διὰ λόγων, οἱ δὲ γράψαντες τὰ εὐαγγέλια, διὰ γραμμάτων Jo.D.*Eph.*4:11(M.95.841D); met., of God σὺ γὰρ εἶ ὁ εὐ. καὶ φωτισμός *Lit.Jac.*(p.172.17); **2.** *annunciation*; **a.** of Gabriel to BMV; **i.** in gen. τοῦ Γαβριὴλ πρὸς αὐτὴν...τὸν εὐ. Or.*hom.7 in Lc.* (p.46.7); χειραγωγῶν αὐτὴν πρὸς τὸ πιστεῦσαι τῷ εὐ. Chrys.*hom.49.3 in Gen.*(4.494D); τοῦ εὐ. τῆς θεοτόκου ‡Ath.*annunt.*7(M.28.925C); *Chron. Pasch.*p.12(M.92.92C); Jo.Nic.*nativ.*(M.96.1444A); Germ.CP *or.*5(M. 98.321D); **ii.** its date and season ἣν οὖν τὸ τηνικαῦτα ,εφα' ἔτος...τῶν ἀπὸ Ἀδὰμ ἀριθμουμένων ἐτῶν. ἐν τούτῳ γὰρ ὅτε εὐ. γέγονε τῆς παρθένου...ἔτος δὲ ἦν ἡλίου τὸ ιγ', σελήνης τὸ ι', ἡμέρα δὲ τῆς ἑβδομάδος τοῦ...εὐ. β' Max.*comput.*(M.19.1249B); τοῦ Νεσάν, ἐν ᾧ γέγονεν ὁ εὐ. Jo.Nic.*nativ.*(M.96.1444B); **iii.** its importance πάντων ἡμῖν τῶν ἀγαθῶν ἀρχὴ γέγονε ὁ εὐ. τῆς...Μαρίας ‡Gr.Thaum.*annunt.*2(M.10. 1161A); **iv.** as subject of an icon, ‡Jo.D.*Const.*3(M.95.313D); **b.** of Gabriel to Zacharias, *Chron.Pasch.*p.12(M.92.92B); ἐγένετο ὁ εὐ. τῷ Ζαχαρίᾳ Jo.Nic.*nativ.*(M.96.1444A); **c.** festival of Annunciation; **i.** in gen. προτρέψωμεν καὶ ὑμᾶς τὴν τοῦ εὐ. ἡμέραν ἑορτάζειν Abr. Eph.*annunt.*2(p.443.17); *Chron.Pasch.*p.196(M.92.484B); Thdr.Stud. *epp.*1.3(M.99.917C); **ii.** as subject of sermons ἐν τῇ μεγάλῃ ἡμέρᾳ τοῦ εὐ. οὐδεὶς φαίνεται ἐξ αὐτῶν [sc. Ath., Bas., Gr., Chrys., Cyr., Procl. CP] λόγον συντεταχὼς καθ' ἣν ὀφείλει ἀνυπερθέτως τοῦτο γίνεσθαι Abr.Eph.*annunt.*1(p.442.17); **iii.** date ἡμῖν ἀνεφύη μείζων ἡ ζήτησις, καὶ ὑπέκρουσέ τις τῶν θερμοτέρων, εἰ ἐν τῷ πλάτει, λέγων, τοῦ μηνὸς γεγονέναι φησὶν οὗτος τὸν ἀσπασμόν, ἤτοι τὸν εὐ., τίς ἡ ἀποκλήρωσις τῇ σήμερον αὐτὸν ἐπιτελεῖσθαι, τουτέστι τῇ εἰκάδι πέμπτῃ, καὶ μὴ ἐν ἄλλῃ τοῦ μηνὸς ἡμέρᾳ; Anast.Ant.*serm.*2.4(M.89. 1380C); cf. ταύτην ἄγομεν ἑορτὴν καὶ πανήγυριν τῆς...παρθένου εὐ., παντὸς δὲ τοῦ κόσμου γενέσιον [sc. because, as the Creation began on 20 March at the vernal equinox, man was created on 25 March] *ib.*3.8(M.89.1384D); τινες...περὶ...τὰς ἄλλας ἑορτὰς τὰς τελουμένας ἐν αὐτῇ [sc. τῇ ἐκκλησίᾳ] σφόδρα πεπλάνηνται, οἷον...τὸν εὐ. τῆς... Μαρίας ὃν καὶ αὐτὸν ἀνεπιλήπτως ἐπιτελεῖ ἡ τοῦ θεοῦ ἐκκλησία τῇ εἰκάδι πέμπτῃ τοῦ κατὰ Ῥωμαίους Μαρτίου μηνός *Chron.Pasch.*p.11 (M.92.89A); *ib.*p.198(M.92.488C); **iv.** ref. rules about fasting τὸ δὲ ὀψάριον ἐσθίομεν ἐν...τῇ ἡμέρᾳ τοῦ εὐ. ... εἰ δὲ μέσον ἐν τῇ μεγάλῃ ἑβδομάδι τύχῃ ὁ εὐ., οὐκ ἐσθίομεν ὀψάριον, ἀλλὰ μόνον ἔλαιον καὶ οἶνον Anast.*temp.*(p.280); οἱ δὲ μοναχοὶ ὀψάριον μὴ ἐσθιέτωσαν τὴν ἁγίαν τεσσαρακοστήν· εἰ μὴ μόνον τοῦ εὐ. *Nomoc.*255; ἐὰν δὲ τύχῃ ὁ εὐ. γίνεται...ἀδιακρίτως μετέχειν ἐκ πάντων *ib.*434; **v.** liturgy used ἐν πάσαις τῆς ἁγίας τεσσαρακοστῆς τῶν νηστειῶν ἡμέραις, παρεκτὸς σαββάτου καὶ κυριακῆς καὶ τῆς ἁγίας τοῦ εὐ. ἡμέρας, γινέσθω ἡ τῶν προηγιασμένων ἱερὰ λειτουργία CTrull.*can.*52; τῇ δὲ ἑορτῇ τοῦ εὐ., εἰ θεοτόκος ἔσται ὁ ναός, γενέσθω προσκομιδή, καὶ λειτουργείτω ἡ λειτουργία τοῦ Χρυσοστόμου *Nomoc.*526; **vi.** its importance πρώτην δὲ [sc. ἑορτήν] πάντων, τὸν εὐ. τῆς ἁγίας θεοτόκου ‡Gr.Thaum.*annunt.* 2(M.10.1156B); μία τῶν δεσποτικῶν πρώτη καὶ πάνσεπτος ἑορτή, κατὰ τὴν τῶν πραγμάτων τάξιν καὶ σύνταξιν τῶν ὑποκειμένων ἐν τοῖς κατὰ Χριστὸν κηρύγμασιν ὑπάρχουσα τοῦ θείου εὐ. κλητὴ ἁγία ἡμέρα, περὶ τῆς ἐξ οὐρανοῦ καταβάσεως τοῦ υἱοῦ τοῦ θεοῦ κατασκευάζει τὸ κήρυγμα ‡Ath.*annunt.*1(M.28.917C); εὐ. πάρεστι, καὶ τῶν δεσποτικῶν ἑορτῶν ἐστιν ἡ πρώτη Thdr.Stud.*catech.parv.*64(p.152); τοῦ εὐ. τὴν ἑορτὴν τὸ σέβας ἀπονέμειν· ὅτι σεβασμία πασῶν τῶν ἑορτῶν *Nomoc.*2; **3.** *evangelization* πρὸς εὐαγγελισμὸν τῆς ἐκκλησίας Thdot.Anc.*hom.BMV et Sym.*2(M.77.1392B).

εὐαγγελιστής, ὁ, 1. *bringer of good tidings,* Chrys.*hom.32.1 in Mt.*(7.365E); **2.** *preacher of the gospel, evangelist*; **a.** of God ὁ αὐτὸς νομοθέτης ἅμα καὶ εὐ. Clem.*str.*3.12(p.234.19; M.8.1184C); **b.** of Christ ὁ τῶν νεκρῶν εὐ. καὶ τῶν ψυχῶν λυτρωτής Hipp.*cant.Mos.* (p.83.5; M.10.609D); **c.** of angels οὐκ ἔδει τοὺς...ἀγγέλους ἐστερῆσθαι τοῦ καὶ αὐτοὺς εἶναι εὐ.; Or.*Jo.*1.12(13; p.17.25; M.14.45B); **d.** of men χαρακτηριζομένου τοῦ εὐ. καὶ ἐν προτρεπτικῷ λόγῳ τῷ εἰς πιστοποίησιν τῶν περὶ Ἰησοῦ *ib.*1.3(5; p.7.8f.; 28D); ἦσαν εἰς ἔτι τότε πλείους εὐ. τοῦ λόγου, ἔνθεον ζῆλον ἀποστολικοῦ μιμήματος συνεισφέρειν ἐπ' αὐξήσει καὶ οἰκοδομῇ τοῦ θείου λόγου προμηθούμενοι· ὧν εἷς γενόμενος καὶ ὁ Πάνταινος Eus.*h.e.*5.10.2(M.20.456A); 'εἰς εὐαγγέλιον τοῦ θεοῦ' οὐκ ἄρα μόνος Ματθαῖος εὐ. οὐδὲ Μάρκος, ὥσπερ οὐδὲ οὗτος μόνος ἀπόστολος, ἀλλὰ καὶ ἐκεῖνοι, εἰ καὶ κατ' ἐξαίρετον ὁ μὲν τοῦτο, οἱ δὲ ἐκεῖνο λέγονται εἶναι Chrys.*hom.1.1 in Rom.*(9.430E); οὐκέτι...ὡς Ἰουδαίοις προφητεύων τοῖς τὴν Παλαιστίνην οἰκοῦσι διαλέγεται, ἀλλ' ὥσπερ τις ἀπόστολος καὶ εὐ. πρὸς ἅπασαν τὴν τῶν ἀνθρώπων φύσιν ἀποτείνει τὸν λόγον id.*exp.in Ps.*48:1(5.203C); Παῦλον πότε μὲν διώκτην, πότε δὲ εὐ. ‡Ath.*dial.Trin.*1.12(M.28.1136C); exeg. Eph.4:11 'τρίτον εὐ.'· οἱ μὴ περιὸντες πανταχοῦ, ἀλλ' εὐαγγελιζόμενοι μόνον, ὡς Πρίσκιλλα καὶ Ἀκύλας ... ἢ εὐ. φησι τοὺς τὸ εὐαγγέλιον γράψαντας Chrys.*hom.11.2 in Eph.*(11.83C); ἦσαν δὲ καὶ εὐ., ἐν οἷς ἦν καὶ ὁ μακάριος Φίλιππος, εἷς τῶν ἑπτά. ... ποιμένας δὲ καὶ διδασκάλους... μετὰ τοὺς εὐ. τέθεικεν, ἐπειδὴ ἐκεῖνοι περιὸντες ἐκήρυττον Thdt.*Eph.* 4:11(3.424); exeg. 2Tim.4:5 ἔργον ἐπετέλουν εὐ., τοῖς ἔτι πάμπαν ἀνηκόοις τοῦ τῆς πίστεως λόγου κηρύττειν φιλοτιμούμενοι καὶ τὴν τῶν θείων εὐ. παραδιδόναι γραφήν Eus.*h.e.*3.37.2(M.20.293A); ἄρα τοῦτο ἔργον εὐ., τὸ κακοπαθεῖν, καὶ παρ' ἑαυτοῦ καὶ παρὰ τῶν ἔξωθεν Chrys. *hom.9.2 in 2Tim.*(11.716C); 'ἔργον ποίησον εὐ.' φέρε μεθ' ἡδονῆς τοὺς ὑπὲρ τῆς εὐσεβείας κινδύνους Thdt.*2Tim.*4:5(3.692); **e.** esp. of the four evangelists: Matthew, ‡Hipp.*consumm.*41(p.305.38; M.10. 944A); Or.*fr.7 in Lc.*(p.235); *A.Mt.*31(p.261.23); with Mark, *A. Thadd.*1(p.273.11); Mark, *Const.App.*7.46.5; Luke, Marcell.*ep.* ap.Epiph.*haer.*72.2(p.257.32; M.42.385C); Ath.*syn.*4(p.233.19; M.26. 688A); Bas.*Eun.*1.15(1.227B; M.29.545B); John, Eus.*p.e.*11.18 (840A; M.21.900A); ‡Eust.*Laz.*1(p.26.8); freq. without name ὁ εὐ. Or.*hom.7 in Lc.*(p.46.9) etc.; ref. agreement of evangelists ἐπίστησον δὲ...ὡς τάς γε ἐναλλαγὰς τῶν γεγραμμένων καὶ τὰς διαφωνίας διαλύεσθαι παρὰ τὸν τῆς ἀναγωγῆς τρόπον, ἑκάστου τῶν εὐ. διαγράφοντος διαφόρους τοῦ λόγου ἐνεργείας ἐν διαφόροις ἤθεσι ψυχῶν οὐ τὰ αὐτὰ ἀλλά τινα παραπλήσια ἐπιτελούσας Or.*Jo.*10.31(18; p.205.8; M.14. 364B); *ib.*10.8(6; p.128.17; 320B); οὐδὲ...τοὺς εὐ. φαίημεν ἂν ὑπεναντία ποιεῖν ἀλλήλοις, ὅτι οἱ μὲν τῷ σαρκικῷ τοῦ Χριστοῦ πλέον ἐνησχολήθησαν, οἱ δὲ τῇ θεολογίᾳ προσέβησαν· καὶ οἱ μὲν ἐκ τῶν καθ' ἡμᾶς, οἱ δὲ ἐκ τῶν ὑπὲρ ἡμᾶς ἐποιήσαντο τὴν ἀρχήν Gr.Naz.*or.*43.69(M.36. 589C); οὐχὶ ἑκάστῳ ἐμέρισεν ὁ θεός, ἵνα οἱ τέσσαρες εὐ. ὀφείλοντες κηρῦξαι εὕρωσιν ἕκαστος τί ἐργάσωνται, καὶ τὰ μὲν συμφώνως καὶ ἴσως κηρύξωσιν, ἵνα δείξωσιν ὅτι ἐκ τῆς αὐτῆς πηγῆς ὥρμηνται, τὰ δὲ ἑκάστῳ παραλειφθέντα ἄλλος διηγήσηται, ὡς ἔλαβε παρὰ τοῦ πνεύματος μέρος τῆς ἀναλογίας Epiph.*haer.*51.6(p.254.23; M.41.896D); οὐκ ἤρκει εἷς εὐ. πάντα εἰπεῖν; ἤρκει μέν· ἀλλὰ κἂν τέσσαρες ὦσιν οἱ γράφοντες, μήτε ἐν τοῖς αὐτοῖς τόποις...μεγίστη τῆς ἀληθείας ἀπόδειξις τοῦτο γίνεται Chrys.*hom.1.2 in Mt.*(7.5B); **3.** *reader* of Epistle and Gospel, cf. εὐλόγησον δέσποτα τὸν εὐ. τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ *Lit.Chrys.*(p.372.10).

***εὐαγγελίστρια, ἡ,** *bearer of the good news, evangelist* (fem.), of the Canaanite woman εὐ. γίνεται Chrys.*dimiss.Chan.*4(3.435D); of the Samaritan woman, id.*hom.div.*7.1(12.356C); of Thecla, Bas.Sel. *v.Thecl.*1(M.85.517B); of the women in Lc.23:55,56, *Hymn.*(*AGC* p.95).

εὐάγγελος, 1. *bringing good news,* Nonn.*par.Jo.*6:8(M.43.793B); **2.** *who reads the Gospel* at church services εὐ. ἀνὰ βίβλον ἑρτάζων διανίσσεται Paul.Sil.*ambo.*247(M.86.2261A).

εὐαγέως, εὐαγῶς, *holily, purely, lawfully,* Nonn.*par.Jo.*14:21(M.

43.896C); Gr.Nyss.*Eun.*12(1 p.301.8; M.45.1012D); εὐαγῶς Epiph. *haer.*21.1(p.238.5; εὐαγώγως M.41.285B); Synes.*calv.*6(p.202.9; M.66.1177D); Dion.Ar.*e.h.*3.3.1(M.3.428B).

εὐαγής, 1. *unpolluted* sexually, of BMV ἡ εὐ. τὸν κατὰ τῶν ἀναγῶν φυλάττει ὁρισμὸν τὸν τετταράκοντα ἡμέρων ‡Meth.*Sym.et Ann.*3(M.18.353B); **2.** *holy, pure*; **a.** of things, Nonn.*par.Jo.*4:20 (M.43.777A); Evagr.*h.e.*1.16(p.26.3; M.86.2465B); *ib.*1.17(p.26.23; 2468D); of buildings, Const.ap.Eus.*v.C.*2.40(p.58.22; M.20.1017B); Evagr.*h.e.*1.20(p.29.23; M.86.2477A); Jo.Mosch.*prat.*197(M.87.3084A); **b.** of persons, Dion.Ar.*e.h.*7.3.2(M.3.556C); *MAMA* 3.197 (Corycus, saec. v); Marc.Diac.*v.Porph.*75; **c.** of abstracts εὐ. ... θρησκείας Isid.Pel.*epp.*4.144(M.78.1225B); λειτουργίας Thdt.*h.rel.*4 (3.1159); τῆς οὐκ εὐ. χειροτονίας Philost.*h.e.*2.11(M.65.476A); ἁγιότητα Marcian.Imp.*const.Chalc.*(p.119.3; H.2.66IB); *ib.*(p.119.9; 661C).

***εὐάγω,** *guide well* ἐπὶ τὸ ἄληπτόν τε καὶ ἀόριστον εὐαχθήσεται ἡμῶν ἡ διάνοια Gr.Nyss.*hom.13 in Cant.*(M.44.1052B) perh. better written *divisim.*

εὐαγώγως, v. εὐαγέως.

εὐαγῶς, v. εὐαγέως.

[*]εὐαερής, *well-aired,* Chrys.*hom.56.3 in Jo.*(8.330C).

εὐάζω, *celebrate* εὐ. ... πάσχα Nonn.*par.Jo.*2:23(M.43.765A).

εὐαισθησία, ἡ, *keen perception,* Clem.*paed.*1.12(p.149.30; M.8.369B); Isid.Pel.*epp.*3.154(M.78.845B); opp. ἀναισθησία, Nil.*epp.*3.136 (M.79.448A).

εὐαισθητέω, *have keen perception, quick sensibility*; of an animal behaving like humans, Pall.*h.Laus.*20(M.34.1060D); Jo.Disc.*v. Epiph.*19(M.41.48A).

εὐαισθήτως, *with keen perception* or *feeling* τὸ χαίρειν ἐδωρήσατο τοῖς εὐ. πενθήσασιν Bas.*hom.*8.3(2.65B; M.31.312B); *ib.*8.5(66E; M. 316B); τοῖς εὐ. δεχομένοις τοὺς λόγους Thdr.Stud.*epp.*1.48(M.99. 1084B); εὐ. ἔχω, c. genit., *have keen perceptions* of, Clem.*str.*6.11 (p.477.11; M.9.312B).

εὐάκουστος, *easily heard,* Heges.ap.Eus.*h.e.*2.23.11(M.20.200B).

***εὐακροάτης, ὁ,** *attentive listener,* Leont.B.*parasc.*(M.86.1997B).

***εὐαλκής,** *sturdy,* Clem.*str.*1.23(p.94.3; M.8.896B).

εὐαλλοίωτος, *easily changed,* Dion.Ar.*c.h.*13.3(M.3.301B); Max. *schol.c.h.*15.8(M.4.113B).

***εὐάμορφος,** v. ***εὐάφορμος.**

εὐάμπελος, *suitable for growing vines,* Cyr.*ador.*5(1.151C).

εὐανάλωτος, *thoroughly impregnable,* Gr.Nyss.*Eun.*12(1 p.238.29; M.45.936D).

εὐανάτρεπτος, *easily upset, unstable,* †Bas.*Is.*82(1.436A; M.30. 253A); Cyr.*Is.*3.5(2.515C); id.*Soph.*23(3.605A); id.*Jo.*9(4.776A); *easily set aside, repealed* εὐ. ... ὅρον τοῦ ψευδοσυλλόγου CNic.(787)*act.* 6(H.4.325B).

***εὐανάφορος,** *acceptable*; of sacrifice, *Const.App.*7.30.2.

εὐανδρία, ἡ, *high courage*; as Christian virtue, Cyr.*Chr.un.*(5[1]. 754E); id.*Lc.*9:27(p.79.9; M.72.652D); εἰς πνευματικὴν εὐ. ἀλείφει τοὺς ἀγαπῶντας αὐτόν *ib.*12:4(724D); τοῦ θεοῦ οἱ κραταιοί, τουτέστιν οἱ πνευματικὴν ἔχοντες εὐ. id.*Ps.*46:10(M.69.1057C).

εὐάντητος, 1. *easy to withstand,* Cyr.*Juln.*7(6[2].221A); met. οὐκ εὐ. ...ἀρχήν id.*Os.*28(3.53E; Aubert om.); σύνεσις id.*Is.*5.2(2.771B); **2.** *accessible, approachable* νοῦς id.*hom.pasch.*27(5[2].322B); τὸν πατέρα id. *Abac.*35(3.550B); σέλας Paul.Sil.*Soph.*1002(M.86.2157A).

εὐάντυξ, *well-vaulted,* Paul.Sil.*Soph.*254(M.86.2129B).

***εὐαξίωτος,** *ready to pay attention*; of God, ‡Chrys.*prov.*4(2. 767D).

εὐαπάλλακτος, 1. *easily dispelled,* Bas.*ep.*2.6(3.75A; M.32.233A); **2.** *untrammelled, unencumbered,* Cyr.*Zach.*35(3.711C); **3.** *easily dispelling,* c. genit., Isid.Pel.*epp.*1.53(M.78.216B); abs., of an argument, *easily refuting,* Gr.Nyss.*Eun.*12(2 p.291.31; M.45.905A).

εὐαπαλλάκτως, *with easy riddance, summarily,* Chrys.*hom. 23.4 in 2Cor.*(10.601E); Cyr.*ador.*7(1.239E); Max.*schol.d.n.*13.3(M.4. 413B).

εὐαπάντητος, *approachable, courteous*; of persons, Clem.*str.*7.7 (p.34.8; M.9.465A); Thdr.Stud.*epp.*2.149(M.99.1465A); τὸ εὐ. *ib.*2.124 (1405A); of things said, *acceptable, ib.*1.48(1084B).

εὐαπάτητος, *easily deceiving* εὐ. λόγον Ammon.*Ac.*17:7(M.85. 1561D).

εὐαπόβλητος, *easily lost, easily discarded,* Didym.*Trin.*3.10(M.39. 856C); Cyr.*Jo.*4.1(4.341E); εὐ. ... τὰ ἐν τῷδε τῷ βίῳ id.*hom.pasch.* 24(5[2].295B); Jo.D.*dialect.*51(M.94.636A).

εὐαπόδεικτος, *easily demonstrated,* Hipp.*haer.*10.33(p.291.2; M. 16.3451A); ‡Ath.*Apoll.*1.10(M.26.1112A); Pall.*v.Chrys.*20(p.133.25; M.47.74).

***εὐαποδεξία, ἡ,** *kindly reception,* Thdr.Stud.*epp.*2.54(M.99. 1265C).

εὐαπολόγητος, 1. *able to make a good defence,* Epiph.*haer.*64.71 (p.519.17; M.41.1196D); neut. as subst., ‡Jo.D.*Artem.*48(M.96. 1296D); **2.** *easily excused*; of a person, Jo.Clim.*scal.*25(M.88. 996C).

***εὐαπόπλυτος,** *easily washed out*; of dyes, †Bas.*Is.*44(1.414C; M.30.204A); ‡Chrys.*hom.suppl.*5(M.64.461A).

***εὐαπόπτυστος,** *easily despised,* Hesych.H.*qu.ev.*1(M.93.1393B).

εὐαρεστέω, 1. *be well pleasing,* c. dat.; of Christ to God, Ign. *Magn.*8.2; Just.*dial.*92.6(M.6.697A); of man to God, *1Clem.*62.2; Polyc.*ep.*5.2; Just.*dial.*15.1(508A); Iren.*haer.*2.33.5(M.7.834A); *satisfy* Law, Herm.*sim.*8.3.5; will of flesh, Or.*fr.8 in Jo.*(p.490.11); abs., *1Clem.*62.2; Chrys.*hom.29.4 in 1Cor.*(10.646C); Marc.Er. *opusc.*3.11(M.65.981A); **2.** *be well pleased, satisfied* εὐηρέστησεν τὴν βουλὴν τοῦ θεοῦ καταγγεῖλαι Hipp.*Dan.*4.6.2; πρὸς τὴν πενίαν εὐ. ‡Just.*ep.Zen.et Ser.*5(M.6.1188C).

εὐαρέστησις, ἡ, 1. state of *being well pleasing,* esp. to God εἰς εὐ. τῷ ὀνόματι αὐτοῦ *1Clem.*64; κατὰ τὴν πρὸς θεὸν εὐ., ὡς Ἄβελ, ὡς Νῶε Clem.*str.*2.9(p.136.8; M.8.980A); Bas.*reg.br.*157(2.467E; M.31. 1185A); c. genit. εὐ. τοῦ θεοῦ Jo.Mosch.*prat.*171(M.87.3040B); plur. νηστείᾳ τε καὶ ξηροφαγίᾳ...καὶ ταῖς ἄλλαις...ἀγαθαῖς θεῷ εὐ. Epiph. *haer.*70.14(p.247.23; M.42.372A); abs. τὸ χρῖσμα τῆς εὐ. Clem.*str.*4.18 (p.299.19; M.8.1325A); *ib.*7.3(p.15.14; M.9.425B); τῆς κυρίως εὐ. ἤτοι ἐν τῇ τάξει τῶν ἁγίων ἢ ἐν τῷ τόπῳ τῶν ἁγίων τυγχανούσης Or.*Jo.* 2.17(11; p.74.6; M.14.144C); Cyr.H.*catech.*5.10; esp. of Noah, Gr. Naz.*or.*28.18(p.48.18; M.36.49A); of Enoch, Chrys.*hom.22.2 in Heb.*(12.205C); Cosm.Ind.*top.*5(M.88.232A); of Christ ἡμῖν ὑποτύπωσιν τελείας εὐ. Max.*ep.*27(M.91.620B); plur., Clem.*str.*3.12(p.235. 1; M.8.1185B); **2.** state of *being well pleased, satisfaction*; in gen., Hipp.*haer.*5.26(p.127.27; M.16.3195B); *ib.*(p.129.2; 3198B); of God εὐφραίνεται ἄφατόν τινα εὐ. καὶ εὐφροσύνην καὶ χαράν Or.*Jo.*32.28(18; p.473.33; M.14.820A); ‡Ath.*qu.Ant.*132(M.28.681A); *Lit.Jac.*(p.192. 20); cf.*Lit.Chrys.*(p.371.33).

εὐαρεστία, ἡ, = foreg. **1,** *Hom.Clem.*9.22; Nil.*epp.*3.332(M.79. 364A).

εὐαρεστικός, *well-pleasing* (to God), ‡Proc.G.*Pr.*29:25(M.87. 1521B).

εὐάρεστος, 1. *well-pleasing, acceptable,* usu. to God; **a.** of things τὰ καλὰ καὶ εὐ. ἐνώπιον αὐτοῦ *1Clem.*21.1; Ign.*Smyrn.*9.1; εὐχαὶ καὶ εὐχαριστίαι...εὐ. Just.*dial.*117.2(M.6.745C); πρὸς θεὸν ἡ διακονία εὐ. *Const.App.*2.58.6; superl. τὰ εὐαρέστατά σοι Ephr.1.65C; **b.** of persons εὐ. ... δοῦλος τοῦ θεοῦ Herm.*mand.*12.3.1; δίκαιοι καὶ εὐ. τῷ θεῷ ἐλπίζομεν φανῆναι Just.*dial.*92.4(M.6.696B); Clem.*str.*7.12(p.51. 25; M.9.500B); τὰς πρὸ τοῦ κατακλυσμοῦ ψυχάς, εὐ. τῷ θεῷ γεγενημένας, τουτέστι τὰς ἀμφὶ τὸν Ἄβελ καὶ τὸν Σήθ καὶ τὸν Ἐνώχ Meth.*symp.*7.4(p.75.11; M.18.129C); Νῶε καὶ Ἐνὼχ...εὐ. γινόμενοι τῷ θεῷ Ath.*decr.*5(p.4.12; M.25.424A); of Caleb, id.*ep.Serap.*1.8 (M.26.549C); of Christ οὐδ' ὅτι πιστεύων, εὐ. γέγονεν, ἀλλ' ὅτι υἱὸς ὢν τοῦ ἀληθινοῦ θεοῦ, πιστὸς ἐστι id.*Ar.*2.6(M.26.160B); **c.** neut. as subst., Clem.*str.*3.9(p.226.24; M.8.1169A); *ib.*6.15(p.493.24; M. 9.345C); **2.** *well-pleased, satisfied,* ‡Just.*ep.Zen.et Ser.*5(M.6. 1188C).

εὐαρέστως, *so as to be well pleasing, acceptably,* Just.*dial.*45.4 (M.6.573A); Clem.*str.*3.12(p.234.2; M.8.1148B); *Const.App.*1.10.4; *ib.*8.18.3; to God, Bas.*jud.*8(2.223B; M.31.676B); id.*reg.br.*303(2. 522E; M.31.1297B); Chrys.*hom.30.6 in Gen.*(4.304C).

***εὐάρετος,** prob. f.l. for ἐνάρετος, †Thdt.*Ps.fr.*(5.1234).

***εὐάριθμος,** *easy to enumerate,* Evagr.*h.e.*4.28(p.176.19; M.86. 2752A); *ib.*4.40(p.191.24; 2784D); *ib.*5.9(p.206.9; 2812A).

***εὐαρμόνιος,** *very harmonious,* Jo.VI H.*v.Jo.D.*27(M.94.468C; perh. error for ἐναρμόνιος).

εὐάρμοστος, 1. *well fitted together,* Hipp.*haer.*4.28(p.56.7; M.16. 3091C); Ath.*Ar.*2.76(M.26.308C); hence **2.** *well-adapted, suitable,* of man εὐ. ὄργανον Meth.*symp.*3.7(p.34.24; M.18.72B); Isid.Pel.*epp.*1. 108(M.78.256B); ἄνθρωπος...ἀνθρώποις εὐ. *ib.*1.364(389A); in gen. ἡ φιλανθρωπία τοῖς δεσπόταις εὐ. Clem.*paed.*3.11(p.277.6; M.8.649C); Gr.Nyss.*hom.7 in Cant.*(M.44.925B); οἶκον...εὐ. μεγέθους Gr.Mag. *dial.*(tr.Zach.)3.4(M.*PL.*77.223C); **3.** *well-tuned, harmonious*; of character, Bas.*hom.in Ps.*1(1.91D; M.29.213C).

εὐαρμόστως, *in a manner suitable* to, Clem.*paed.*3.7(p.259.8; M. 8.609B); Gel.Cyz.*h.e.*2.17.28(M.85.1272B); **c.** ἔχω, Eun.*apol.*25(M.30. 861B).

εὐαρχία, ἡ, *good government,* Didym.*Trin.*2.26(M.39.768B); Isid. Pel.*epp.*1.208(M.78.313D); *ib.*2.101(545A).

εὐαυξής, *well-grown,* neut. as subst., met. τὸ μεγαλοπρεπὲς ἅμα

μαθητής, ὁ, 1. *learner, pupil* τοῦτο γὰρ μαθητοῦ, τὸ μὴ περιεργάζεσθαι τὰ τοῦ διδασκάλου, ἀλλ' ἀκούειν καὶ πείθεσθαι, καὶ τὸν προσήκοντα καιρὸν ἀναμένειν τῆς λύσεως Chrys.*hom.46.2 in Jo.*(8.272A); ἐπὶ μὲν τῆς γῆς τὸ πᾶν τοῦ γεωργοῦ γίνεται· ...ἐπὶ δὲ ταύτης τῆς γῆς τῆς πνευματικῆς...οὐ τῶν διδασκάλων ἐστὶ τὸ πᾶν, ἀλλ' εἰ μὴ τὸ πλέον, τὸ γοῦν ἥμισυ καὶ τῶν μ. id.*hom.3.3 in 2Thess.*(11.526B); in Church καθάπερ γὰρ ἐπὶ τῶν στρατοπέδων οὐ πάντες εἰς ἓν εἶδος στρατεύονται, ἀλλ' ἐν διαφόροις τάγμασιν· οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ, ὁ μὲν εἰς διδασκάλου τάξιν, ὁ δὲ εἰς μ., ὁ δὲ εἰς ἰδιώτου id.*hom.5.1 in 1Tim.*(11. 575C); ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, οὐδὲ μαθητῶν τάξιν ἐπέχετε id.*hom.11.1 in Heb.*(12.92B); ἐν τῷ τῶν μ. καταλόγῳ ταχθείς Thdt.*1Tim.*3:6(3.655); **2.** *disciple;* **a.** Christ's: the twelve, opp. the many, ref. Jo.6:66 τῶν γνησίων 'Ιησοῦ μ. Or.*hom.17.4 in Jer.* (p.148.13; M.13.460B); cf. πεπιστευκότων μὲν αὐτῷ καὶ μαθητευθέντων πως, οὐ μὴν ἤδη ἀληθῶς χρηματισάντων μ. τοῦ 'Ιησοῦ id.*Jo.*20.13 (p.343.10; M.14.601A); οὐχὶ δὲ οἱ πολλοὶ τῶν πεπιστευκότων εἰς αὐτὸν μένουσιν ἐν τῷ λόγῳ αὐτοῦ, οὐδὲ οἱ πολλοὶ ἀληθῶς αὐτοῦ μ. γίνονται *ib.* 19.11(3; p.310.26; 545C); S. John εἰ καὶ ἀνακείμενος οὗν πρότερον μὲν ἦν ἐν τῷ κόλπῳ τοῦ 'Ιησοῦ, ὕστερον δὲ ἀνέπεσεν ἐπὶ τὸ στῆθος τοῦ 'Ιησοῦ, διὰ τοῦ δευτέρου...χαρακτηρίζεται...ὁ τοῦ 'Ιησοῦ γνήσιος μ. *ib.*32.21(13; p.463.34; 801D); the seventy, *A.Phil.*108(p.41.14); *Const.App.*2.55.2; Joseph of Arimathaea μ. ὤν· οὐ τῶν δώδεκα, ἀλλὰ τῶν ἑβδομήκοντα ἴσως Chrys.*hom.85.3 in Jo.*(8.508C); the five hundred, ref. 1Cor.15:6, Or.*fr.85 in Lc.*24:15(p.274); the evangelists ταῦτα ἀναγραφῆς ἀξιωθέντα ὑπὸ τῶν ἁγίων μ. αὐτοῦ id.*Jo.*20. 36(29; p.375.22; M.14.657A); certain Christians in sub-apostolic age Ἀριστίων καὶ ὁ πρεσβύτερος 'Ιωάννης, τοῦ κυρίου μ. Papias*fr.*2; plur., = apostles παρὰ τῶν τοῦ Χριστοῦ μ. ... ἐκηρύχθη [sc. τὰ ἀποστολικὰ κηρύγματα] Meth.*creat.*1(p.493.17; M.18.332B); cf. ἀνελήλυθας ἀπὸ τῆς θαλάσσης ὑποπεσὼν τοῖς δικτύοις τῶν μ. 'Ιησοῦ Or.*hom. 16.1 in Jer.*(p.132.24; M.13.140A); but dist. from apostles οὐκ ἀπῆλθε πρὸς τοὺς ἀποστόλους, ἀλλὰ τοῖς μ. ἐπειρᾶτο κολλᾶσθαι, ἅτε οὐ διδάσκαλος ὢν ἀλλὰ μ. Chrys.*hom.21.1 in Ac.*(9.168E); μ. δὲ καλεῖ καὶ τοὺς μὴ τελοῦντας εἰς τὸν χορὸν τῶν δώδεκα· διότι μ. πάντες ἐκαλοῦντο τότε διὰ τὴν πολλὴν ἀρετήν· ἦν γὰρ ἡ εἰκὼν τῶν μ. δήλη *ib.21.3*(9.172B); one who attains full discipleship by martyrdom ἐλπίζοντα τῇ προσευχῇ ὑμῶν ἐπιτυχεῖν ἐν 'Ρώμῃ θηριομαχῆσαι, ἵνα διὰ τοῦ ἐπιτυχεῖν δυνηθῶ μ. εἶναι Ign.*Eph.*1.2; νῦν ἄρχομαι μ. εἶναι id. *Rom.*5.3; μήπω...ἐφαψάμενος...τῆς τελείας τοῦ μ. τάξεως *M.Ign.Ant.* 1; ἐκοσμήθησαν τῷ μάρτυρες εἶναι Χριστοῦ πολλοὶ τῶν γνησίων Χριστοῦ μ. Or.*Jo.*2.34(p.92.14; M.14.176A); Christians in general μ. ποιμένος ἀγνοῦ Aberc.*epitaph.*3; ἄμπελός ἐστιν ἀληθινὴ...ἐπεὶ βότρυς ἔχει τὴν ἀλήθειαν καὶ κλήματα τοὺς μ., μιμητὰς αὐτοῦ καὶ αὐτοὺς καρποφοροῦντας τὴν ἀλήθειαν Or.*Jo.*1.30(33; p.37.21; M.14.80A); οὐκ εἰρήνην ἐπὶ τὴν γῆν βαλεῖν ἀλλ' ἐπὶ τὴν ψυχὴν τῶν μ. ἑαυτοῦ id.*mart.* 37(p.34.23); ἡμεῖς [sc. S. Andrew and his followers] μ. ἐσμεν τοῦ κυρίου *A.Andr.et Mt.*6(p.71.12); ὁ εὐχόμενος ἐκείνου μ. εἶναι ζηλούτω τοὺς αὐτοῦ ἀγῶνας, μιμείσθω τὴν ὑπομονήν *Const.App.*5.6.10; μ. Χριστοῦ πάντες ὑπάρχοντες οἱ πιστοὶ *ib.*5.7.24; ποίου βιοθανοῦς πᾶς ὁ κόσμος μαθητῶν ἐπληρώθη; *M.Pion.*13.4(p.52.21); the prophets in spiritual sense οὗ [sc. Χριστοῦ] οἱ προφῆται μ. ὄντες τῷ πνεύματι ὡς διδάσκαλον αὐτὸν προσεδόκων Ign.*Magn.*9.2; **b.** μ. of H. Ghost; Hermas, Or.*princ.*4.2.4(11; p.314.4; M.11.365B); **c.** of holy men: of the apostles ἀποστόλων γενόμενος μ. γίνομαι διδάσκαλος ἐθνῶν *Diogn.* 11.1; 'Ιγνάτιος ὁ τοῦ ἀποστόλου 'Ιωάννου μ. *M.Ign.Ant.*1; Ἀνδρέας μετὰ τῶν αὐτοῦ μ. *A.Andr.et Mt.*6(p.72.11); of Jo. Bapt. ὁ κύριος εὗρε τοὺς περὶ Πέτρον καὶ 'Ιωάννην...ὄντας τὸ πρότερον 'Ιωάννου τοῦ βαπτιστοῦ μ. Or.*fr.3 in Lc.*(p.233); of Elijah and Elisha, *Const.App.* 8.1.15; of a bishop ὁ ἐπίσκοπος...ἀνεπίληπτος ἀδικίας ὢν ποιμήν, τοὺς ἰδίους αὐτοῦ μ. ἀναγκάσει...μιμητὰς ἀξίους γενηθῆναι *ib.*2.6.5; of monks, Ephr.3.360E; Cosm.Ind.*top.*2(M.88.73A); of martyrs ὧν πάντων ταῖς πρεσβείαις γένοιτο ἡμᾶς συγκοινωνούς τε καὶ μ. γενέσθαι *Chron.Pasch.*p.258(M.92.629A); **d.** of Church οἱ τῆς καθολικῆς τοῦ Χριστοῦ ἐκκλησίας μ. *ib.*p.226(M.92.549A).

μαθητία, ἡ, v. *μαθητεία.*

μαθητι-άω, 1. *become a disciple* οὗτοί με ~ᾶν ἑαυτοῖς ἀξιοῦσι Synes.*ep.*154(M.66.1553C); **2.** *learn* ὀρέξεις τὰς ἐπί γε τὸ μαθητιᾶν Cyr.*glaph.Gen.*7(1.241B); **3.** pres. ptcpl. as subst., *disciple* ὁ συνετὸς ...σὺν τοῖς μ. Or.*exp.in Pr.*15:31(M.17.193C); Μάρθας...ἐν ταῖς μ. λελογισμένης *cat.Lc.*7:36(p.60.28).

μαθητικός, *belonging to a disciple,* ref. Mary of Bethany μ. σχολήν Clem.*q.d.s.*10(p.166.17; M.9.613D).

μαίευμα, τό, *thing delivered* by a midwife; met., of *Benedictus*

τοῦτο τῆς μυστηριώδους [sc. Ζαχαρίου] σιωπῆς ἀγαθὸν ὡς εἰκὸς μ. ‡Thdt.*nativ.Jo.Bapt.*(5.94).

μαιεύ-ομαι, *bring to birth*; met., of catechumens τῶν ἱερῶν ἡ πάνσοφος ἐπιστήμη...αὐτοὺς τῇ τῶν...ζωοποιῶν λογίων εἰσαγωγικῇ τροφῇ ~εται Dion.Ar.*e.h.*3.3.6(M.3.433A); αἱ τῶν λογίων ᾠδαὶ καὶ ἀναγνώσεις τοὺς μὲν ἀτελέστους ~ονται *ib.*4.3(476D); pass. εἰσαγωγικὴν [sc. τάξιν], τῶν ἔτι ~ομένων Thdr.Stud.*epp.*2.165(M.99.1524C).

μαίευσις, ἡ, *bringing to birth,* met. τῆς τῶν κατηχουμένων ἐν θεοειδεῖ τῶν ἱεραρχικῶν τάξει μ. καὶ ζωῆς Dion.Ar.*e.h.*3.3.6(M.3.433B); *ib.*6.1.1(532A).

μαιεύτρια, ἡ, *one who brings to birth,* of BMV ὦ χαρᾶς τῆς ὑπερτάτης μ. Sophr.H.*or.*3.18(M.87.3237B).

μαιμάσσ-ω, 1. *quiver with eagerness,* ref. Jer.4:19 τοῦτο γὰρ τὸ μαιμάσσειν οἷον προθυμία τις θυμῷ σύγκρατος Gr.Naz.*or.*17.1(M.35.965A); Nil.*Magn.*19(M.79.993C); Olymp.*Job* 38:8(M.93.400C); τὴν φοβερὰν...τοῦ ᾅδου γαστέρα, τὴν ~ουσαν ὑποδέξασθαι τοὺς τὰ παρόντα τερπνὰ τῶν μελλόντων ἀγαθῶν προκρίνοντας †Jo.D.*B.J.*12(M.96.977A); **2.** trans., *make to tremble* δεινὴν φλόγα, ἣ σφόδρα μ. με καὶ στροβεῖ κέαρ ‡Gr.Naz.*Chr.pat.*28(M.38.139A); τὰ αἰσθητήριά μου ~ει με, ἥνικα ἀκούσω ἀπευκτὴν ἀκοὴν ἐπί τινι Thdr.Stud.*epp.*2.131(M.99.1424C).

μαινάς, ἡ, 1. as subst., *mad woman*; fig., of wine, Bas.*hom.*2.4(2.12E; M.31.189C); of anger, Dan.Raith.*v.Jo.Clim.*(M.88.600B); **2.** as adj., *frenzied* ὁ θυμὸς...μέθης ἔργον ἀποφαίνει τὸν νοῦν, μαινάδα τὴν φρένα ποιῶν Isid.Pel.*epp.*1.479(M.78.444B).

[*]**μαινόλας,** = μαινόλης, *frenzied,* Or.*Cels.*3.23(p.219.21; M.11.945C).

μαίν-ομαι, 1. *be mad* οὔτε νοσῶν ἢ μεμηνὼς οὐδεὶς θεῷ φίλος Cels. ap.Or.*Cels.*4.18(p.287.10; M.11.1049B); met.; **a.** with anger, hostility θαυμαστὸν οὐδὲν τοὺς οὕτω κατὰ τῆς τοῦ μονογενοῦς μανέντας θεότητος ἀδεῶς τοὺς ἄλλους παραβῆναι νόμους Thdt.*h.e.*1.19.2(3.797); **b.** with greed or ambition πρὸς δόξαν μ. Or.*hom.8.8 in Lev.*(p.406.23; M.87.736A); μ. ἐπὶ πλούτῳ Ephr.2.185C; περὶ τὰ χρήματα μ. Chrys.*hom.7.2 in 2Tim.*(11.702B); **2.** *burn* with enthusiasm or devotion, ref. 1Cor.13:5 ἡ ἀγάπη...περὶ [sc. τὸν ἀδελφόν] σωφρόνως μ. Clem.*q.d.s.*38 (p.184.23; M.9.644A); Ephr.2.114F; Μωϋσῆς...ἐξεκαίετο καὶ ἐμεμήνει καὶ ὑπὲρ αὐτῶν [sc. Israelites] πάσχειν ἕτοιμος ἦν Chrys.*hom.7.4 in Eph.*(11.51C); εἴ τις μ. καὶ περικαίεται τοῦ δεσπότου *ib.8.1*(53A); **3.** *be deluded,* ref. 2Cor.4:7 ~ονται [sc. death and Devil] περὶ τὸ σαρκίον, οὗ καταφρονοῦσιν ὡς ἀσθενοῦς, τῶν ἔνδον ὄντες τυφλοὶ κτημάτων Clem.*q.d.s.*34(p.182.19; M.9.640B); ref. pagan world τὴν οἰκουμένην ἔτι μεμηνῖαν ὁρῶν [sc. Κωνσταντῖνος] Thdt.*h.e.*5.21.1(3.1055); of Herod and Pilate, Oecum.*1Cor.*2:8(p.432.8).

μαινομένη, ἡ, *salt fish,* Leont.N.*v.Jo.Eleem.*20(p.37.18).

μαι-όομαι, 1. *bring to birth*; of God at Nativity, ref. Ps.21:10 σὺ αὐτός ὁ θεός μου καὶ πατήρ μου ὥσπερ ~ούμενος τὴν ἐμοὶ κατεσκευασμένην ἐξ ἁγίου πνεύματος σάρκα ἐξέσπασας Eus.*d.e.*10.8(p.481.10; M.22.773B); **2.** *suckle,* Synes.*provid.*8(p.78.9; M.66.1225A); **3.** pass., *be born,* Nonn.*par.Jo.*9:34(M.43.829C).

***Μαϊουμᾶς, ὁ,** *May-day,* Thphn.*chron.*p.380(M.108.912A).

μαίωσις, ἡ, *giving birth,* ref. Ps.109:3 τῆς πατρικῆς μαιώσεως φυσικὴν ἐνδείκνυται υἱότητα Alex.Al.*ep.Alex.*8(p.25.1; μαιεύσεως M.18.560B).

μάκαρ, *blessed, happy*; **1.** of God ἀθανάτου πατρὸς...μ. *Hymn.* (*AGC* p.40); σοί, μ. ὑψιμέδον *CIG* 4.8608 (inscr. of Jov., c. 363); of heavenly Bridegroom, in invocation, Meth.*symp.*11(p.132.9,19; M.18.208D,209A); **2.** of men, as sharing in God's beatitude partic. after death: of a martyr named Macar τὴν προσηγορίαν...ἀληθῆς *M.* Dion.Al.ap.Eus.*h.e.*6.41.17(M.20.609B); plur., the *blessed dead* τὰ μακάρων ἀγαθά Clem.*str.*4.22(p.312.27; M.8.1356A); μετενεχθεὶς εἰς τὴν μακάρων πόλιν, τοὺς οὐρανούς Meth.*symp.*6.2(p.65.12; M.18.116A).

μακαρία, ἡ, *happiness, bliss*; name of Gnostic aeon, last of ten aeons produced by Logos and Zoe, Iren.*haer.*1.1.2(M.7.449A).

μακαρίζ-ω, 1. *pronounce happy* or *blessed* (act of God so making blessed in fact), *bless*; **a.** of God μακάρισον κοινῇ πάντας Serap.*euch.* 18.2; ὑπὸ θεοῦ μεμακαρισμένοι καὶ ὑπὸ ὁσίων ἀνδρῶν τετιμημένοι *Const.App.*5.8.2; in respect of a particular gift ἵνα...ἐπὶ σοὶ [sc. ὦ γύναι] μακαρισθῇ ὁ ἀνήρ *ib.*1.8.2; in life to come, *ib.*4.3.3; **b.** of Christ οἱ...~όμενοι πανταχοῦ οἱ ἐλεήμονές εἰσιν, οἱ ταπεινοί κτλ. Chrys.*virg.*36(1.295D); esp. in beatitudes τοὺς ἐθελήσαντας...πτωχοὺς γενέσθαι, τούτους μ. Clem.*str.*4.6(p.260.1; M.8.1240A); Or.*Cels.*6.16 (p.87.11,14; M.11.1315A); ὁ ~όμενος...κλαυθμός id.*hom.20.6 in Jer.* (p.185.27,29; M.13.513A); τοῦ ~ομένου ἐπὶ τῷ πεινῆν καὶ διψῆν τὴν δικαιοσύνην id.*Jo.*13.4(p.229.13; M.14.404C); Gr.Nyss.*ordin.*(M.46.552C); ὑπάρχει...τῷ...~ομένῳ τὸ εὐφραίνεσθαι τοῖς προκειμένοις εἰς ἀπόλαυσιν αὐτῷ id.*beat.*1(M.44.1197A); S. Peter (ref. Mt.16:17) ὁμοίως αὐτῷ ~όμενοι Or.*comm.in Mt.*12.10(p.84.33; M.13.997A); id.*engast.*7(p.291.12; M.12.1024C); Dion.Al.ap.Eus.*h.e.*7.25.10(M.20.700A); *Clem.ep.*1(M.2.33A); *Hom.Clem.*17.18; Eus.*Marcell.*1.2(p.10.33; M.24.736A); id.*e.th.*1.16(p.75.26; M.24.856C); Didym.*Trin.*1.30 (M.39.417B); (ref. Jo.20:29) πῶς...οὐ μακαριώτεροι οἱ ἀφθαλμοὶ οἱ ὑπὸ τοῦ Ἰησοῦ ~όμενοι ἐπὶ τοῖς τεθεωρημένοις τῶν μὴ φθασάντων ἐπὶ τὴν τῶν τοιούτων θέαν; Or.*Jo.*10.43(27; p.222.6; M.14.393A); ἐνταῦθα...οὐ τοὺς μαθητὰς μ. μόνους ἀλλὰ καὶ τοὺς μετ' ἐκείνους πιστεύοντας Chrys.*hom.87.1 in Jo.*(8.520B); **c.** in scripture (ref. Apoc.22:27) μ. ὁ προφήτης τοὺς...φυλάσσοντας αὐτήν [sc. τὴν προφητείαν] Dion.Al.ap.Eus.*h.e.*7.25.6(M.20.697C); Gr.Nyss.*Pss.titl.* A 1(M.44.433D); ἐνταῦθα...τὸ ἐπιγνῶναι τὸ ἀγαθὸν ~εται *ib.*12(552C); (ref. Ps.143:15) τὸν εὐσεβείᾳ κομῶντα...ἐγὼ μ., φησί Chrys.*stat.*1.9 (2.14B); Thdt.*Ps.*118:2,3(1.1438); **2.** of angels, *call happy* or *blessed,* med. μακάριοι ἐκεῖνοι ἐφ' οἷς οἱ ἄγγελοι οὐκ ἐροῦσι τὸ 'οἴμοι', ἀλλὰ ~ονται Or.*hom.15.4 in Jer.*(p.128.21; M.13.433B); **3.** of persons, *call happy, deem happy* or *blessed*; **a.** angels εὐφημοῦμεν αὐτοὺς [sc. τοὺς ἀγγέλους] καὶ μ. Or.*Cels.*8.57(p.274.15; M.11.1604B); prophets, id.*hom.15.1 in Jer.*(p.125.11; M.13.428D); Church, Meth.*symp.*7.7 (p.78.5; M.18.133B); martyrs and confessors τοὺς ὑπομένοντας ὑπὲρ δικαιοσύνης μακαρίσεις *Diogn.*10.8; ~ετε ἑαυτούς Herm.*sim.*9.28.6; οἱ μὲν γὰρ ἄκοντες πάσχοντες...καταθρηνοῦνται· οἱ δ' ἑκουσίως ἀθλοῦντες ~ονται Isid.Pel.*epp.*2.166(M.78.620B); other holy persons οὐδένα χρὴ μ., ἀλλ' ἢ τὸν κατὰ θεὸν ζῶντα μόνον Chrys.*stat.*18.3(2.185D); individuals, e.g. David, id.*David* 2.3(4.763B); the apostle John μὴ μέχρι τούτου στῶμεν...τοῦ μακαρίζειν τὸν ἀπόστολον, ἀλλ' ὥστε καὶ τῶν ~ομένων γενέσθαι,...μιμώμεθα τὸν εὐαγγελιστήν id.*hom.33.3 in Jo.*(8.193C); pre-eminently BMV ἐν παντὶ τῷ κόσμῳ μ. καὶ εὐφημεῖται Nil.*epp.*2.180(M.79.293A); ἄξιόν ἐστιν ὡς ἀληθῶς ~ειν σέ *Lit.Chrys.*(M.63.917); applicable esp. to those who have finished their course on earth ὁ ἐν τῷ βίῳ τυγχάνων, οὔπω μακαριστός ...ὁ δὲ...ἀναντιρρήτῳ τέλει τὴν ζωὴν κατακλείσας, οὗτος ἤδη ἀσφαλῶς μ. Bas.*hom.in Ps.*1(1.93A; M.29.217A); οὐ χρὴ μ. πρὸ τελευτῆς ἄνθρωπον Gr.Naz.*or.*16.3(M.35.937A); Chrys.*Laz.*7.3(1.794E); ways of life and thought ~ει μου ἡ ψυχὴ τὴν εἰς θεὸν αὐτοῦ γνώμην Ign. *Philad.*1.2; Chrys.*hom.80.3 in Jo.*(8.476D); **b.** in error δοξάζοντες καὶ ~οντες τοὺς ἐν ταῖς πλατείαις ἀσεβεῖν αὐτοῖς νενομισμένους Or.*or.* 19(p.343.5; M.11.477B); τοὺς χαίροντας ἐπ' αὐτῷ [sc. Montanus] ~οντος τοῦ [sc. νόθου] πνεύματος Anon.ap.Eus.*h.e.*5.16.9(M.20.468B); ἀμαθεῖς ἀνθρώπους...μ. ... τὰ μηδενὸς ἄξια Bas.*hom.in Ps.*1 (1.92C; M.29.216C); Chrys.*exp.in Ps.*143:15(5.466B,C); Dion.Ar.*e.h.* 4.3.1(M.3.476A); **4.** *felicitate, congratulate, 1Clem.*1.2; ὑμᾶς ~ω τοὺς ἐνκεκραμένους οὕτως [i.e. to their bishop] Ign.*Eph.*5.1; παρὰ τῶν κολάκων μακαρισθῆναι Bas.*hom.in Ps.*48(1.187B; M.29.456B); αὐτὸν ...μ. πρὸς τὸ νικηφόρον...ἀφικνούμενον τέλος Dion.Ar.*e.h.*7.1.3(M.3.556B); oneself, intrans. ~ων ἐπήγαγεν †Dion.Al.*fr.Eccl.*2:12(p.218.16; M.10.1584A).

***μακαριοποιός,** *producing happiness, making for happiness* ἀπαθῆ καὶ μ. φόβον...δηλοῦσθαι ἐκ τοῦ 'ἐν φόβῳ Χριστοῦ' Or.*comm.in Eph.*5:21(p.566).

μακάριος, *happy, blessed* [superl. μακαριέστατος Epiph.*haer.*67.4 (p.137.8; M.42.177C)];

A. properly a divine epithet μ. ... τῷ ὄντι τὸ αὐτόκαλον Bas.*hom. in Ps.*1(1.92B; M.29.216B); Gr.Nyss.*Pss.titt.*A 1(M.44.433C) cit. s. B infra; cf. ἔστι...τὸ κυρίως καὶ πρώτως μακαριστὸν τὸ ἀληθινῶς ἀγαθόν Bas.*hom.in Ps.*1 l.c.; Thdt.*Ps.*1:1(1.610); **1.** of God τῆς μ. φύσεως τοῦ θεοῦ Meth.*symp.*2.6(p.23.16; M.18.57A); Bas.*ep.*243(3.375C; M.32.909A); Thdr.Mops.*1Tim.*1:11(p.77.18f.; M.66.937B) cit. s. B infra; μ. αὐτὸν ἐκάλεσεν ἐπὶ συστάσει τῆς μελλούσης προσέσεσθαι ἡμῖν ἀτρεπτότητος *ib.*6:15(p.184.17; M.66.944C); Thdt.*1Tim.*6:15(3.672); Dion.Ar.*d.n.*8.6(M.3.893C); Zach.Mit.*opif.*(M.85.1096C); συναΐδιον τῇ μ. φύσει *ib.*(1097A); Jo.D.*f.o.*1.1(M.94.789A); of Son ἑαυτὸν...ἐταπείνωσεν, οὐδὲν δ' ἧττον μ. ἦν Or.*Cels.*4.15(p.285.5; M.11.1045B); incarnate ἐμακαρίσθη [sc. ὁ Πέτρος] ὑπὸ τοῦ μόνου μ. δεσπότου Didym.*Trin.*1.30(M.39.417B); ἡ σὰρξ...ἡ ἄχραντος καὶ μ. Meth.*symp.*7.8(p.79.11; M.18.136B); comp. of Christ in relation to the just Χριστὸς...[sc. οὐσίας] θειοτέρας καὶ ἐνδοξοτέρας καὶ μακαριωτέρας Or.*dial.*3(p.126); of Trin. τὴν ἁγίαν καὶ μ. τριάδα Eus.*p.e.*11.20 (541B; M.21.901B); id.*Marcell.*1.1(p.3.24; M.24.716C); Didym.(‡Bas.) *Eun.*5(1.297B; M.29.713A); **2.** of what pertains to God: image of God in man τὰς τῶν μ. χαρακτῆρων ἐμφάσεις...τὴν μ. ... μορφὴν Gr.Nyss.*beat.*1(M.44.1197C); as presented to mystical contemplation ὀψόμεθα θεωρίαν, τὸ μ. ἀποστίλβουσαν ἐμφανῶς τῶν ἀρχετύπων κάλλος Dion.Ar.*e.h.*3.3.2(M.3.428C); *ib.*4.3.2(476B); τῆς ὑπὲρ νοῦν

ἑνώσεως ἐν ταῖς τῶν ὑπερφανῶν ἀκτίνων ἀγνώστοις καὶ μ. ἐπιβολαῖς id.*d.n.*1.4(M.3.592C).

B. of other things in God μ. ἐστιν, ὃ κυρίως λέγεται. καὶ πρώτως, ἡ τοῦ παντὸς ἐπέκεινα φύσις· τὸ δὲ ἐν ἀνθρώποις μ., τῇ μεθέξει τοῦ ὄντως ὄντος Gr.Nyss.*Pss.titt.*A 1(M.44.433C); τὸ ἀληθῶς ἀγαθὸν... μόνον ἐστὶ...μ. ... τῇ φύσει, οὗ πᾶν τὸ μετέχον μ. γίνεται *ib.*; μ. αὐτὸν ἐνταῦθα καλεῖ, ὡς ἂν αὐτοῦ μὲν τὸ μ. ἔχοντος ἐν τῇ φύσει...ἡμῖν δὲ χάριτι τοῦτο περιποιοῦντος Thdr.Mops.*1Tim.*1:11(p.77.18f.; M.66.937B); opp. τὸ ἄθλιον, Gr.Nyss.*beat.*1(M.44.1197A); **1.** of good angels τὰ σπουδαῖα καὶ μ. ... οἱ ἀγαθοὶ δαίμονες εἴτε ὡς ἡμῖν ἔθος ὀνομάζειν, οἱ τοῦ θεοῦ ἄγγελοι Or.*Cels.*4.24(p.293.26; M.11.1061B); οὐ πάντες ἄγγελοι ἄγγελοι λέγονται εἶναι τοῦ θεοῦ ἀλλὰ μόνοι οἱ μ. *ib.*8.25 (p.241.31; 1553C); id.*or.*31(p.400.3; M.11.556B); Dion.Ar.*c.h.*1.2(M.3.121B); *ib.*13.4(304C); **2.** of man in Christ ἡ [sc. πύλη] ἐν Χριστῷ, ἐν ᾗ μ. πάντες *1Clem.*48.4; διὰ τοῦ λόγου...πάντα τὰ κατορθώματα κατορθῶσθαι τοῖς μ. νοεῖν ἀναγκαῖον Or.*Jo.*2.13(7; p.68.24; M.14.133D); cf. εἰ δ' οἰκεῖοι τοῦ σωτῆρος ἦσαν καὶ τῆς μ. φύσεως, πῶς ἐζήτουν αὐτὸν ἀποκτεῖναι; *ib.*20.8(p.336.11; 589B); of women because of BMV, Procl.CP *or.*5.3(M.65.720B); of all Christians μ. ... ἡμεῖς οἱ περιτμηθέντες...τὴν δευτέραν περιτομήν Just.*dial.*114.4(M.6.740B); τὸ...ἐν ταῖς καρδίαις τῶν μ. κρᾶζον...πνεῦμα Or.*or.*2(p.301.10; M.11.420C); ὑμεῖς...μ. ... ἔθνος ἅγιον *Const.App.*5.15.1; 6.22.1; esp. of the holy τῇ δικαίᾳ ψυχῇ, ὅταν μ. μὲν αὐτὴ τυγχάνῃ...μ. δὲ διαπραττομένη ἔργα Clem.*str.*7.5(p.21.32; M.9.440A); θείας τινὸς γενικῆς αἰσθήσεως ἣν μόνος ὁ μ. εὑρίσκει Or.*Cels.*1.48(p.98.10; M.11.749A); *ib.* 6.5(p.75.18; 1297A); μ. ... ὁ βαπτιζόμενος ἐν ἁγίῳ πνεύματι καὶ μὴ δεόμενος βαπτίσματος τοῦ ἀπὸ πυρός id.*hom.2.3 in Jer.*(p.19.14; M.13.281A); ‡Nil.*perist.*10 tit.(M.79.885A); of different classes of persons: blessed in observance of Christian practices οἱ...τοῖς προτεταγμένοις καιροῖς ποιοῦντες τὰς προσφορὰς αὐτῶν εὐπρόσδεκτοί τε καὶ μ. *1Clem.*40.4; μ. πᾶς ὁ εὑρεθεὶς ἐν τούτοις [sc. ἐλεημοσύνῃ, μετανοίᾳ, νηστείᾳ, προσευχῇ] πλήρης *2Clem.*16.4; open to all alike οὐ γὰρ εἶπεν ὁ δεῖνα καὶ ὁ δεῖνα, ἀλλ' ὁ ταῦτα ποιοῦντες μ. πάντες Chrys. *hom.15.2 in Mt.*(7.187B); in embracing the gospel, Or.*Jo.*1.9(11; p.15.3; M.14.41A); in knowledge and practice of divine will, *ib.*32.13 (8; p.446.13; 773B); and of the good, Gr.Nyss.*Pss.titt.*B 12(M.44.552C); in intimacy with God Ἰησοῦν ἐν ἑαυτῷ ἔχοντος καὶ ἁπαξαπλῶς μ. Or.*or.*32.13(8; p.446.19; 773C); μ. ὁ γευσάμενος τῆς ἀγάπης αὐτοῦ Ephr.1.49A; ᾧτινι...ἐξεγένετο...θεῷ συγγενέσθαι...μ. οὗτος Gr.Naz.*or.* 21.2(M.35.1084C); πάντων...οὗτος μακαριώτατος, τὸν θεὸν ἔχων φίλον Chrys.*kal.*4(1.702C); id.*stat.*1.9(2.14B); id.*exp.in Ps.*143:15(5.466D); and with BMV σοι θνησκούσῃ συναποθνήσκειν μ. Jo.D.*hom.*9.9(M.96.736A); associated with ἀρετή: ἡ ἀρετὴ ἡ γνωστικὴ...μ. ... τὸν ἄνθρωπον κατασκευάζουσα Clem.*ecl.*37(p.148.9; M.9.717A); ἡ αὐτὴ ἀρετή ἐστι τῶν μ. πάντων, ὥστε καὶ ἡ αὐτὴ ἀρετὴ ἀνθρώπου καὶ θεοῦ Or. *Cels.*4.29(p.298.27; M.11.1069D); μ. εἶναι...τοὺς κατ' ἀρετὴν βιώσαντας ἢ τὰς κατ' ἀρετὴν πράξεις ποιήσαντας *ib.*6.55(p.126.13; 1384B); cf. μ. γίνεται ἐν τῇ ζωῇ αὐτοῦ, ὅτι πάντων τῶν πονηρῶν ἔργων ἀφέξεται Herm.*vis.*3.8.4; id.*mand.*8.9; ἡ τῆς ἀρετῆς κτῆσις πρὸς τὸ μ. γενέσθαι τὸν κατ' αὐτὴν ζῶντα βλέπει Gr.Nyss.*Pss.titt.*A 1(M.44.433B); τὸ...μ. ὄνομα τῆς κατ' ἀρετὴν τελειώσεως ὑπάρχει καρπός Thdt. *Ps.*1:1(1.61o); **3.** as title of the saints; **a.** of Bible; OT: Judith, *1Clem.*55.4; prophets, Hipp.*Dan.*3.2.3; Hannah, *Const.App.*5.20. 15; Job, *ib.*6.5.5; Abraham, Didym.(‡Bas.)*Eun.*5(1.313E; M.29. 752C); Joseph, Chrys.*hom.71.3 in Jo.*(8.420E); οἱ τρεῖς μ. παῖδες Thdt.*qu.7 in Gen.*(1.12); τῶν μ. πατριαρχῶν καὶ τῶν λοιπῶν ἁγίων ἁπάντων Dion.Ar.*e.h.*7.3.5(M.3.560B); NT: of BMV, Or.*hom.7 in Lc.*(p.46.5; M.17.320D); ἡ Μαρία καθ' ἑκάστην ἡμέραν ἀκούει παρὰ πάντων μακαρία Sever.*creat.*6.10(M.56.497); ἐκ τῆς μ. παρθένου Nest. *fr.*C 10(p.274.13)ap.Cyr.*Nest.*2.2(p.36.29; 61.36C); Jo.D.*hom.*9.9(M.96. 736A); and Elisabeth, Or.*hom.8 in Lc.*(p.55.7; 321A); S. Andrew, *A.Andr. fr.*12(p.43.14); S. Philip, *A.Phil.*26(p.14.17); S. Stephen, both as NT character and as protomartyr, *Const.App.*6.30.10; οἱ μ. ἀπόστολοι Iren.*haer.*3.3.3(M.7.849A); of biblical writers: Moses, *1Clem.*43.1; as a prophet, Just.*dial.*112.3(M.6.733C); David, *ib.*32.3 (544B); Ath.*apol.sec.*2(p.88.23; M.25.249D); τῶν μ. προφητῶν Just. *dial.*48.4(581A); Or.*Cels.*1.48(p.98.19; M.11.749B); S. Paul, *1Clem.* 47.1; Polyc.*ep.*3.2; S. Peter, Clem.*fr.*36(p.219.3; M.9.769A); S. John, *A.Jo.*26(p.165.14); Hipp.*Noët.*14(p.255.26; M.10.821A); author of Apoc., Dion.Al.ap.Eus.*h.e.*7.25.13(M.20.700C); S. Luke, Or.*hom.1 in Lc.*(p.10.9); τῶν μ. εὐαγγελιστῶν Hipp.*haer.*5.23(p.125.4; M.16. 3191A); **b.** post-biblical times, esp. of martyrs, *M.Polyc.*1.1; *ib.*19. 1; Polyc.*ep.*9.1; Iren.*ep.Flor.*ap.Eus.*h.e.*5.20.6f.(M.20.483f.); Dion. Al.*ib.*7.11.24(672B); *A.Xanthipp.*14(p.67.10); Ath.*syn.*4(p.233.27; M. 26.688B); *Const.App.*5.1.1; *M.Das.*2; *M.Ner.et Ach.*8(p.7.17); of one who ministers to martyrs μ. ἔσται καὶ φίλος τοῦ Χριστοῦ *Const. App.*5.1.3; and shares their lot, *ib.*5.2.3; of Christian writers ἤδη τοῦ μ. πρεσβυτέρου Εἰρηναίου...τὰ δόγματα αὐτῶν διελέγξαντος Hipp.*haer.*6.55(p.189.11; M.16.3291B); πολλοὶ τῶν μ. ἡμῶν διδασκάλων...λόγοι· οἷς ἐάν τις ἐντύχοι, εἴσεται μέν πως τὴν τῶν γραφῶν ἑρμηνείαν Ath.*gent.*1(M.25.4A); and other saints (but v. 4 infra) ὁ μακαριώτατος ἐπίσκοπος Ἀθανάσιος Bas.*ep.*214.2(3.321C; M.32. 785C); *ib.*258.3(3.394B; M.952A); τὸν μακαριώτατον Διονύσιον [i.e. of Milan] *ib.*197.2(3.288B; M.712A); and what appertains to them τοὺς...φύλακας τοῦ μ. σώματος...τῇ μ. ψυχῇ *ib.*(288D,289A; M.712B,C); τοῦ μ. Κυρίλλου *Doct.Patr.*2.35(p.21.9); **c.** abs., *saint,* of martyrs ἕκαστος τῶν μ. Or.*mart.*31(p.27.20; M.11.601C); ἤνεγκεν ὁ μ. ἀλγηδόνας Eus.*m.P.*4.12(p.916.12; M.20.1477A); ἔρριψαν ἐκεῖ τὸν μ. Alex.Sal.*Barn.*2.29(p.445B); and others (ref. Ps.142:2) ὡς πρὸς τὸν θεὸν καὶ τὴν ἐν αὐτῷ δικαιοσύνην οὐδεὶς δικαιωθήσεται τῶν πάνυ μ. Or.*Jo.*2.17(11; p.74.13; M.14.144C); τὴν τῶν δικαίων καὶ μ. πανήγυριν id.*Cels.*6.61(p.131.23; M.11.1392B); **4. a.** eccl. title, of bishops of Roman see τὸν μ. Οὐίκτορα, ὄντα ἐπίσκοπον τῆς ἐκκλησίας Hipp. *haer.*9.12(p.247.29; M.16.3382D); ὁ μ. ὑμῶν ἐπίσκοπος Σωτήρ Dion. Al.ap.Eus.*h.e.*4.23.10(M.20.388B); μακαριωτάτῳ πάπᾳ Ἰουλίῳ Ath. *apol.sec.*58(p.138.3; M.25.353B) etc.; cf. τὸν ἐπίσκοπον τοῦ μ. θρόνου *Cod.Afr.*proem.(H.1.865D); and others Ἀθανασίῳ μ. πάπᾳ ...μακαριώτατε πάπα Arsen.Hyps.*ep.*(pp.147.11,148.8; M.25.372B, 373A); οἱ μ. συλλειτουργοὶ ἡμῶν Ath.*apol.sec.*89(p.167.11; M.25. 408B); Bas.*ep.*225(3.345B; M.32.841A); superl., Capr.*ep.Eph.*tit.(p.52. 16; M.*PL.*53.844B); and other clergy διὰ Κλήμεντος τοῦ μ. πρεσβυτέρου Alex.H.ap.Eus.*h.e.*6.11.6(M.20.544B); **b.** mode of address ὦ μακαρία Meth.*symp.*proem.(p.6.13; M.18.36A); to the reader, Ath. *gent.*1(M.25.4A); Dion.Ar.*d.n.*1.1(M.3.585B).

C. of states and activities having God as their object; **1.** of angels ἡ...τῶν Σεραφὶμ τάξις...τοῖς μακαριωτάτοις αὐτοῦ [sc. Ἰησοῦ] θεάμασιν...ἐπιβάλλουσα Dion.Ar.*e.h.*4.3.5(M.3.480B); αἱ...τῶν ἀγγελικῶν νοῶν δυνάμεις τὰς ἁπλᾶς καὶ μ. ἔχουσι νοήσεις id.*d.n.*7.2(M.3. 868B); τῆς πρὸς αὐτὸ [sc. τὸ ἕν] μακαριωτάτης ἑνώσεως *ib.*1.5(593C); **2.** of men καὶ οἶμαι νοεῖσθαι θεοῦ μὲν βασιλείαν τὴν μ. τοῦ ἡγεμονικοῦ κατάστασιν Or.*or.*25(p.357.9; M.11.496C); δεῖ...ἐπιλελῆσθαι τῶν ἔξω τῆς εὐχῆς κατὰ τὸν καιρόν, ἐν ᾧ τις εὔχεται (τοιοῦτον δὲ εἶναι πῶς οὐκ ἐστὶ μακαριώτατον;) *ib.*9(p.318.4; 444A); ὑπόθεσίς ἐστι τῆς μ. ζωῆς, ἡ τῶν παθῶν νέκρωσις Isid.Pel.*epp.*3.227(M.78.909B); τῶν θεουργιῶν γνώσεως...δι' ἧς...μακαριωτάτη κοινωνία τελεσιουργεῖται Dion.Ar. *e.h.*5.1.3(M.3.504C); ἐν μ. καὶ νοητοῖς θεάμασιν *ib.*3.2(428A); id.*d.n.* 2.9(M.3.648B).

D. of all that brings salvation to man: death of Christ μακαριωτάτῃ ἐξόδῳ Or.*Jo.*10.18(13; p.189.31; M.14.340A); Church τῇ μ. Ἀντιοχέων ἐκκλησίᾳ Alex.H.ap.Eus.*h.e.*6.11.5(M.20.544B); the faith τὴν ἀληθῆ τῆς μ. σώζοντες διδασκαλίας παράδοσιν Clem.*str.*1.1(p.9.4; M.8.700A); and means by which it is imparted ἀρκεῖ...ἡ μ. γλῶττα [i.e. of S. Paul] φήσασα 'καθὼς γέγραπται' Thdt.*2Cor.*2:9(3.177); new life τοῦ νοητοῦ καὶ μ. σπέρματος Meth.*symp.*3.8(p.35.16; M.18. 73A).

E. in connexion with life to come; **1.** of the departed μ. οἱ προοδοιπορήσαντες πρεσβύτεροι *1Clem.*44.5; ἔθετο νόμους, καθ' οὓς οἱ βιοῦντες μ. ἔσονται Or.*Cels.*4.32(p.302.19; M.11.1077A); id.*princ.*3.1.8 (p.208.5; M.11.261C); αἱ...μ. ψυχαὶ πατριαρχῶν καὶ προφητῶν καὶ ἀποστόλων Eus.*e.th.*2.9(p.109.33; M.24.917D); Gr.Naz.*or.*7.17(M.35. 776B); abs. σώζονται ἐν τῇ τῶν μ. κληρονομίᾳ Just.*dial.*67.7(M.6. 632A); εἰς ἀπεράντους αἰῶνας ἡ τῶν μ. ἐστὶν ἀνάπαυσις Or.*fr.58 in Lc.*12:19(p.261); id.*hom.12.3 in Jer.*(p.90.16; M.13.384B); τοὺς ἐξεληλυθότας μ. opp. τοῦ ὄντος ἐν τῷ σώματι, id.*or.*31(p.399.10; M.11. 556A); of individuals who have died in the faith: clergy, Serap. Ant.ap.Eus.*h.e.*5.19.2(M.20.481A); Bas.*ep.*81(3.174B; M.32.457A); *ib.* 263.3(3.406A; M.977C); *ib.*(3.406C; M.980A); *ib.*95(3.189C; M.489C); and laity, Gr.Naz.*test.*(M.37.392A); *CIG* 4.9117 (Nubia); *IGC As. Min.*255 (saec. vi); of deceased emperors, Juln.Imp.*ep.*60(p.67.2); with μνήμη: ὁ θεοφιλέστατος καὶ μ. μνήμης βασιλεὺς Κωνσταντῖνος Ath.*apol.sec.*70(p.148.10; M.25.373A); ὑπὲρ ἀναπαύσεως κοιμήσεως κὲ μακαρίας μνήμης τοῦ δούλου...τοῦ θ(εο)ῦ ΜΑΜΑ 1.260; τῆς εὐλαβοῦς καὶ μ. μνήμης Τιμοθίου διακ[όνου] *Inscr.*, *ib.*1 p.xxv; **2.** of state of faithful departed; **a.** μακάριος αὐτὸν ἀναμένει χρόνος *2Clem.* 19.4; ἡ μέλλουσα μ. ζωή Or.*Cels.*3.81(p.271.17; M.11.1025B); ταῖς ...ὑπερκοσμίοις καὶ μ. λήξεσιν Dion.Ar.*e.h.*1.4(M.3.376B); *ib.*7.1.1 (553B); *ib.*7.1.2(553C); id.*ep.*8.5(M.3.1097A); ἀνάπαυλαν...τῶν πολλῶν πόνων, καὶ ζωὴν ἀπήμονα...καὶ μ. ἀγαθῶν ἄφθονον χορηγίαν *ib.*9.5 (1113A); **b.** ref. general resurrection τὴν ἐλπιζομένην μ. καὶ τελείαν ἀνάστασιν Or.*Jo.*10.35(20; p.210.10; M.14.372C); ὥστε καὶ ἀγγέλους καὶ πᾶσαν τὴν κτίσιν ἀνακαινίζεσθαι εἰς κρείττονα καὶ μ. κατάστασιν Cosm.Ind.*top.*2(M.88.128B); **c.** with τέλος: ἵν'...εἰς τέλος ἀγάγῃ τῶν

ἐξουσιαζομένων μ. Or.*or.*26(p.361.19; M.11.501C); *τὸ καθ' ἡμᾶς παρὰ θεῷ ἐν Χριστῷ...τέλος μ. τοῖς ἀμέμπτως καὶ καθαρῶς βιώσασι* id. *Cels.*3.81(p.271.23; M.11.1025C); *ἐν τέλει εὑρίσκεται μακαριωτάτῳ* id. *Jo.*19.21(p.322.20; M.14.565B); Eus.*e.th.*3.17(p.176.19; M.24.1036D); and *τελείωσις: αἰτῆσαι τὴν ἐν Χριστῷ μ. τελείωσιν* Dion.Ar.*e.h.*7.2 (M.3.556D); *ib.*7.3.3(560A); *ib.*7.3.5(560C) cit. s. *μακαριστός*; **3.** neut. as subst., *beatitude*, summum bonum *ἐξ ἀμφοτέρων* [sc. faith and works]*...πιστεύωμεν ἢ τὸ ἀνέγκλητον ἔξειν ἢ κατὰ τὸ μ., ἢ ἐναντίον τούτοις* Or.*dial.*9(p.142); *τὸ μ. οὐκ εἶναι ἐνταῦθα, ἀλλ' ἐν τῷ...μέλλοντι αἰῶνι* id.*Cels.*2.42(p.165.30; M.11.864B); *τὸ πάντων μακαριώτατον, εἴτε ἀΐδιός ἐστι ζωή, ἢ παράμονος ὑγίεια, ἢ τέλειος νοῦς κτλ.Hom.Clem.*2.5; also in paradise before Fall *ἐν ἀρχῇ...τὴν πρώτην ἐν μακαρίοις ζωήν* Eus.*h.e.*1.2.18(M.20.61C); **4.** of heavenly Jerusalem, Meth.*symp.*4.5 (p.51.18; M.18.96A).

F. of material objects in allegories *μακαριωτέρων λίθων* [sc. of Temple] Or.*Jo.*10.40(24; p.218.8; M.14.385C); cf. *felix hoc genus* [sc. *lapidum*], Herm.*sim.*9.30.3; *κοσμήσαντες...τὴν σκηνὴν κλάδοις ἁγνείας, τῷ θεοποιῷ καὶ μ. φυτῷ* Meth.*symp.*9.4(p.119.10; M.18.188A).

G. Gnost. *ἡ πρώτη καὶ μ. κατ' αὐτοὺς ἀσχημάτιστος οὐσία* Hipp. *haer.*5.7(p.83.1; M.16.3131C); *ἡ τῶν ὑπερκοσμίων...μ. φύσις ib.*(p.82. 2; 3131A); *τῆς μ. φύσεως τοῦ λόγου ib.*(p.86.18; 3135C); *μία...ἡ μ. φύσις τοῦ μ. ἀνθρώπου τοῦ ἄνω ib.*5.8(p.89.11; 3139B); *υἱόν, οὐ ψυχικόν, οὐ σωματικόν, ἀλλὰ μ. αἰῶνα αἰώνων ib.*(p.97.19; 3151C); *τὴν μ. υἱότητα ib.*7.27(p.207.27; 3319C).

μακαριότης, ἡ, *beatitude, bliss, happiness*;

A. properly only of Godhead *ἔστι γὰρ αὐτῷ ἀρετὴ καὶ μ. καὶ θειότης* Or.*Cels.*6.62(p.132.26; M.11.1393A); *ib.*3.47(p.243.25; 981B); *ἐχθρὸς...τῇ μ. σου* id.*hom.14.15 in Jer.*(p.121.23; M.13.424C); *μ. ἐστὶν ἡ ἀκήρατος ἐκείνη ζωή, τὸ ἄρρητον...ἀγαθόν, τὸ ἀνέκφραστον κάλλος* Gr.Nyss.*beat.*1(M.44.1197A); *ib.*(1197B); *ἡ ἀφθορία, ἡ μ.,... πᾶν τίμιον ὄνομα οὕτως λέγεται ἐπὶ τοῦ ἁγίου πνεύματος, ὡς καὶ ἐπὶ τοῦ πατρὸς καὶ ἐπὶ τοῦ υἱοῦ* id.*fid.*(M.45.144A); Gel.Cyz.*h.e.*2.15.8(M.85. 1260B); *ἡ θεία μ.* Dion.Ar.*c.h.*3.2(M.3.165C); id.*e.h.*2.2.7(M.3.396D); *ib.*1.3(373D); hence of risen and glorified Christ *ἐκεῖνος ἐν τῷ θανάτῳ καταδυείς, πάλιν ἐπὶ τὴν ἰδίαν ἀναλύειν μ.* Gr.Nyss.*or.catech.*35 (p.135.16; M.45.89C); *γυμνὸν ἀναστήσας τὸ σῶμα, δόξης...καὶ μ. ἐμπεπλησμένον* Chrys.*delic.*6(3.343B); *ἵνα...συνυψώσῃ τὴν ἑνωθεῖσαν αὐτῷ ἀνθρωπότητα...τῆς...ἀΐδίου τιμῆς καὶ μ. ἀπαρχομένην* Leont.H. *Nest.*5.1(M.86.1724C).

B. *summum bonum* of angels, state in which angels were created by God *ἐκπεσὼν* [sc. Satan] *τῆς μ.* Or.*Cels.*6.44(p.115.14; M.11. 1368A); lesser angels, id.*princ.*1.8.1(p.97.5,16); *ib.*4.2.7(p.319.11; M. 11.372B); in which unfallen angels remain, Meth.*res.*1.49(p.302.8; M.18.277A).

C. *summum bonum* of man, counterpart of eternal life *μ. ... ὅταν εἴπω, τὴν κορυφὴν λέγω τῶν ἀγαθῶν ἁπάντων* Chrys.*hom.8.2 in Rom.*(9.499B); **1.** its source; divine beatitude in which man participates through Christ, Or.*Jo.*1.27(29; p.35.7; M.14.76A); id.*Cels.*7.44 (p.196.8; M.11.1485B); *ib.*8.6(p.225.13; 1528A); **2.** in what it consists; **a.** knowledge of God (Jo.17:3), Clem.*fr.*44(p.223.18); *τὴν ἀπὸ τοῦ γινώσκεσθαι ἡμῖν αὐτὸν ἐγγινομένην ταῖς ψυχαῖς ἡμῶν μ.* Or.*Cels.* 4.6(p.279.1; M.11.1036D); *μηδὲ ἄλλο τι...τὴν βασιλείαν τῶν οὐρανῶν νομίσητε ἢ τὴν τῶν ὄντων ἀληθῆ κατανόησιν, ἣν καὶ μ. ὀνομάζουσιν αἱ... γραφαί* Evagr.Pont.*ep.*12(M.32.265C); *εἰ τὸ γνῶναι μ. πηλίκον τὸ γινωσκόμενον;* Gr.Naz.*or.*23.11(M.35.1164B); *μ. ... περίληψις πάντων τῶν κατὰ τὸ ἀγαθὸν νοουμένων* Gr.Nyss.*beat.*1(M.44.1196D); **b.** likeness to God *ὅρος ἐστὶ τῆς ἀνθρωπίνης μ. ἡ πρὸς τὸ θεῖον ὁμοίωσις* Gr.Nyss.*Pss.tit.*A 1(M.44.433C); **c.** adoption *εἰς τὴν τῆς υἱοθεσίας εἰσποιηθήσεσθαι ἀξίαν, ἥτις ἐστὶν ὁ ἀκρότατος τῆς μ. ὅρος* Isid.Pel. *epp.*4.169(M.78.1261C); **d.** in rel. to *εὐδαιμονία*: opposed *τοὺς... κακοδαίμονας ἐπὶ εὐδαιμονίαν* [sc. *προτρέπομεν*] *ἤ, ὅπερ κυριώτερόν ἐστιν εἰπεῖν, ἐπὶ μ.* Or.*Cels.*3.59(p.254.11; M.11.1000A); equated, Max.*ambig.*(M.91.1173A); also with *εὐζωΐα*, Gr.Naz.*carm.*1.2.34.257 (M.37.964A); **e.** associated with *ἀπάθεια*: *ἡ...ἀποτελουμένη μορφὴ* [i.e. in Cant.], *μ. ἐστὶ καὶ ἀπάθεια, καὶ ἡ πρὸς τὸ θεῖον συνάφεια* Gr. Nyss.*hom.1 in Cant.*(M.44.776B); v. infra 3.a; **3.** its recipients; **a.** man as originally created in image of God, Gr.Nyss.*mort.*(M. 46.521D); *τῇ μ. τῆς ἀθανασίας ἐρειδομένη* [sc. *ἡ ἀνθρωπίνη φύσις*] id. *hom.opif.*4(M.44.136D); of Eden *τῶν φωτεινῶν...τῆς μ. τόπων* id.*or. dom.*5(p.102.15; M.44.1184C); *τίς ἐξοικισθέντα με τοῦ παραδείσου... ἐπὶ τὴν πρώτην ἔλκει μ.; ib.*1(p.10.37; 1125C); *ἀπόκληρος τῆς πατρίδος ἐγώ, καὶ τῆς...μ. ὑπερόριος* Germ.CP *or.*1(M.98.229B); lost by Fall (ref. Gen.3:22) *διὰ τὸν ἕνα ἐκπεσόντα τῆς μ.* Or.*Jo.*32.18(11; p.457.3; M.14.792B); *τῆς κατὰ τὸ ἀπαθὲς νοουμένης μ. ἐκπεσόντες* Gr.Nyss.*or. catech.*8(p.42.9; M.45.33B); **b.** man redeemed by Christ *ἐν ἑκάστῳ ...τῶν τελείων, ἐχόντων τὸ ἄθροισμα τῶν συμπληρούντων τὴν μ. ... ἐστὶν ἡ...ἐκκλησία* Or.*comm.in Mt.*12.10(p.86.9; M.13.997B); *ἐν μ. ἀρξαμένων καὶ μεινάντων τῶν ἁγίων* id.*Jo.*1.20(22; p.25.13; M.14. 57C); possession of the baptized *ἔχοντες τὴν μ. τοῦ φωτὸς μὴ ζητήσητε τὸ σκότος A.Phil.*140(p.75.13); *ἥδη μακαριότητος ὀσμὴ πρὸς ὑμᾶς, ὦ φωτιζόμενοι* Cyr.H.*procatech.*1; *οὐκ ἔστιν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ ἀπάθεια, καὶ μ.* Gr.Nyss. *hom.5 in Eccl.*(M.44.696B); begun here, continued hereafter *λαμβάνει Γονέθλαν τὴν κάτω...καὶ Γονέθλαν τὴν ἄνω· ἡ γὰρ κατὰ θεὸν μ. ἐπαγγελίαν ἔχει ζωῆς, καὶ τῆς παρούσης, καὶ τῆς μελλούσης* Proc.G. *Jos.*15:19(M.87.1032C); **c.** fully realized in life of heaven, Clem.*fr.* 44(p.223.18); Or.*Jo.*1.9(11; p.14.25; M.14.40D); id.*hom.17.6 in Jer.* (p.150.15; M.13.461D); *ἵνα...συνῶσιν αὐτῷ καὶ ἀπολαύσωσι μ.* Meth. *res.*1.37(p.278.15; M.41.1104B); Eus.*e.th.*3.16(p.174.28; M.24.1033A); *ib.*3.17(p.178.9; 1040B); *ἐπειδή...τις ἀξιωθῇ τῆς μακαρίας ἐκείνης σκηνῆς, εἰς ἀπεράντους αἰῶνας ἕξει τὴν μ.* Ath.*exp.Ps.*14(M.27.100B); Gr.Naz.*or.*7.21(M.35.781C); *ib.*33.17(M.36.237A); *τῆς παρούσης ζωῆς ...ὁ καρπός, τουτέστι μ. ἀτελεύτητος* ‡ Just.*qu.et resp.*123(M.6.1373A); *γνώσεως φυσικῆς, ἣν διαδέχεται θεολογία καὶ ἐσχάτη μ.* Pall.*h.Laus.*40 (p.126.5; M.34.1204C) = Evagr.*cap.pract.*A proem.(M.40.1221C); pre-eminently by saints and martyrs, Or.*Jo* 1.17(p.21.13; M.14.52B); id.*mart.*31(p.27.16; M.11.601C); Max.*opusc.*(M.91.33A) cit. s. *ἐκθεωτικός*; *οὐχ...ἡμεῖς ἐσμεν ἄξιοι μνημονεύειν τῆς ἐκείνων* [sc. *τῶν ἁγίων*] *μ. Lit.Jac.*(p.218.13); in Manicheism *ἡ παρ' αὐτοῖς ἐλπιζομένη σωτηρία καὶ μ.* Tit.Bost.*Man.*1.29(M.18.1112A); associated with *ἀνάπαυσις*, Or.*mart.*47(p.43.12; M.11.632A); id.*hom.15.1 in Jer.* (p.125.16; M.13.429A); *Ἰησοῦ Χριστὲ...ἀνάπαυσόν με ἐν τῇ μ. σοῦ A.Phil.*144(p.87.2); **4.** in rel. to man's free will; **a.** not man's by nature *πᾶν ὁτιποτοῦν λογικὸν μὴ οὐσιωδῶς ἔχειν ὡς ἀχώριστον συμβεβηκὸς τὴν μ.* Or.*Jo.*2.18(12; p.75.9; M.14.145C); but by gift and calling of God, id.*princ.*3.1.12(p.217.2; M.11.272B); id.*Cels.*4.22 (p.292.11; M.11.1060A); *τὴν ἐκλογὴν τοῦ θεοῦ καὶ τὴν μ.* id.*hom.4.3 in Jer.*(p.26.5; M.13.289A); **b.** but which man may win by grace of God or reject at will, Or.*Cels.*3.69(p.262.9; M.11.1012B); id.*comm.in Gen.*ap.Eus.*p.e.*6.11(281D; M.12.52A); *εἰ καὶ ἄξιοι διὰ τὰ δεύτερα αὐτῶν ἔργα μακαριότητος εἶεν, ἐπεὶ ἄνθρωποί εἰσι...πρῶτον δεῖ ἀπολαβεῖν αὐτοὺς τὰς ἁμαρτίας αὐτῶν* id.*hom.16.5 in Jer.*(p.137.19; M.13.445A); *πᾶσα μ. ... ἐκ τοῦ ἐφ' ἡμῖν ἤρτηται* †Bas.*Is.*45(1.415D; M.30.205B); Gr.Naz.*or.*40.6(M.36.365B); *ἄθλιοι...οἱ τῆς μ. ἐκείνης ἑαυτοὺς ἐκβάλλοντες* Chrys.*hom.39.5 in Jo.*(8.234D); under old dispensation gained by obedience to Law and prophets, Epiph.*haer.* 42.11(p.143.18; M.41.753D); now by knowledge and practice of spiritual truth, Bas.*hom.in Ps.*14(1.354C; M.29.256C); and Christian virtues, Nil.*epp.*1.177(M.79.152B); Max.*ambig.*(M.91.1173A).

D. in more general sense, *happiness, blessedness* *αἴτιον προκοπῆς καὶ μ.* Or.*hom.14.3 in Jer.*(p.108.14; M.13.408A).

E. as title: of bishops, CEph.(431)*act.*2(*ACO* 1.1.3 p.54.28; H.1. 1465E); *Cod.Afr.*proem.(H.1.865E) (Lat. *beatitudo*); Justn.*Or.*(p.207. 30; M.86.979C) etc.; of pope, Pulch.*ep.Leon.*(p.9.18; M.*PL*.54. 906B); Eutych.*ep.Vigil.*(M.86.2404A); Jo.VI CP *ep.*(M.96.1421A); of abbots, Jo.Mosch.*prat.*127(M.87.2989C); Leont.N.*v.Sym.*17(M.93. 1692A).

F. Valent., one of dodecad of aeons emanating from *Ἄνθρωπος* and *Ἐκκλησία*: *Ἐκκλησιαστικὸς καὶ M.* Iren.*haer.*1.1.2(M.7.449B); Hipp.*haer.*6.30(p.157.22; M.16.3239A); one of thirty aeons, coupled with *Θελητός*, Epiph.*haer.*31.2(p.386.4,11; M.41.477A).

μακαρισμός, ὁ, 1. *promise of blessedness* *τῶν τοὺς μ. φερόντων ἔργων καὶ λόγων* Or.*Jo.*32.1(p.425.16; M.14.740C); *ἀνθολογούμενοι τὸν μ. τοῦ πάθους ἑαυτῶν* [of those about to be martyred] *M.Perp.*17 (p.87.13); or *pronouncement of blessedness* (two senses not always distinguishable) *ἄλλο εἶδος αὐτοῦ παιδαγωγίας, ὁ μ.* Clem.*paed.*1.10 (p.144.5; M.8.360A); *ὃς μὲν* [sc. *ὁ δεδωκώς*] *ἔχει τὸν τῆς εὐποιΐας μισθόν, σὺ δὲ τὸν τῆς εὐσυνειδήτου οἰκονομίας μ. Const.App.*3.4.2; dist. from *ἔπαινος*: *ἔστι δὲ...ἕτερον ἑκάτερον, μ. καὶ ἔπαινος. μακαρίζεται μὲν γάρ τις ἐπὶ τοῖς ἔξωθεν· ἐπαινεῖται δὲ ἐπὶ τοῖς ἔνδοθεν* Synes.*regn.*4(p.10.3; M.66.1060A); by Christ (see also **2**) *τὰ δὲ ἐφόδια τῆς κυριακῆς ὁδοῦ οἱ μ. τοῦ κυρίου Clem.ecl.*12(p.140.1; M.9.704B); *τὸν ὑποδεέστερον λαβεῖν μ.* [Jo.20:29] Or.*Jo.*10.43(27; p.222.5; M.14.393A); opp. *κόλασις*, Chrys. *hom.54.4 in Jo.*(8.320E); of partic. pronouncements: to S. Peter, Or.*comm.in Mt.*12.10(p.84.33; M.13.997A); to Mary of Bethany, ‡Eust.*Laz.*(p.47.1); in scripture (ref. Ps.31:1f., cit. Rom.4:7f.) *οὗτος ὁ μ. ἐγένετο ἐπὶ τοὺς ἐκλελεγμένους ὑπὸ τοῦ θεοῦ 1Clem.*50.7 = Clem.*str.*2.15(p.148.8; M.8.1004A) cf.Rom.4:9; (ref. Ps.128:1) *τὸν ⟨τοῖς⟩ ἐν τῷ εὐαγγελίῳ ἐμφερῆ μ. ib.*2.13(p.144.27; 997A); *σπουδάζωμεν ἐπὶ τοὺς μ. τῶν προφητῶν* Or.*hom.15.2 in Jer.*(p.126.23; M.13. 429C); Gr.Nyss.*Pss.tit.*B 12(M.44.552C); *ἐπὶ τὸν ἀληθῆ θησαυρὸν τὸν*

μ. ἐκτείνει Chrys.*exp.in Ps.*143:15(5.466B); id.*hom.33.3 in Jo.*(8.193C); for women equally with men (ref. Ps.1:1) ἆρα μὴ τοῦ μ. τὰς γυναῖκας ἀπέκλεισε; μὴ γένοιτο. μία γὰρ ἀρετὴ ἀνδρὸς καὶ γυναικός Bas.*hom.in Ps.*1(1.92D; M.29.216D); μηδεὶς...ἄνδρα μόνον ὁρῶν ἐνταῦθα μακαριζόμενον ἐστερῆσθαι νομίσῃ τοῦδε τοῦ μ. τῶν γυναικῶν τὸ γένος... συμπεριλαμβάνει γὰρ τοῖς ἀνδράσι καὶ τὰς γυναῖκας ὁ λόγος Thdt. *Ps.*1:1(1.611); **2.** *beatitudes* of sermon on mount; plur., Or.*or.*18 (p.340.31; M.11.473D); id.*Jo.*10.19(14; p.190.7; M.14.340B); Eus.*d.e.*3.1(p.94.24; M.22.165B); †Bas.*bapt.*1.2.2(2.630B; M.31.1528B); Gr.Nyss. *ordin.*(M.46.552C); Cosm.Ind.*top.*5(M.88.288D); sing. ὅπου τὸν μ. διαγγέλλει [sc. ὁ κύριος] Gr.Nyss.*ep.*2(M.46.1009C); οὐκ εἰσάγει ἐν τάξει παραινέσεως τὰ λεγόμενα...ἀλλ' ἐν τάξει μ. Chrys.*hom.15.2 in Mt.*(7.187A); of a single beatitude, Gr.Nyss.*beat.*1(M.44.1196D); Chrys.*hom.77.3 in Jo.*(8.454E); a beatitude common to all ἐπὶ πάντων τὸν μ. ἔθηκεν ἵνα μηδὲν αἰσθητὸν ἀναμένῃς id.*hom.15.5 in Mt.* (7.191A); οὐδὲν...ταπεινοφροσύνης ἴσον. διὰ τοῦτο τῶν μ. ἐντεῦθεν ἤρξατο ὁ Χριστός id.*hom.33.3 in Jo.*(8.194A); τριπλῆς τριάδος εἰκών, ἡ τῶν μ. ἀρίθμησις *Apophth.Patr.*(M.65.165B); ἐν τῇ νέᾳ [sc. διαθήκῃ] οἱ μ. καὶ αὐτοὶ δέκα· ὁμοίως καὶ τὸ 'πάτερ ἡμῶν' δέκα λόγοι εἰσίν Jo.Eub.*concept.BMV* 22(M.96.1497C); of other beatitudes περὶ μ. καὶ ταλανισμῶν Ephr.2.334B tit.; **3.** *beatification, making blessed* or *happy* πάνυ ὀλίγοι χύσεως μ. ἐπιτεύξονται ἐξαιρέτου Or.*mart.*14(p.14.6; M.11.581B); τοῖς ἀξίοις μ. κλαίουσι λεγέσθω [Jer.38:16] id.*fr.55 in Jer.*(p.225.23); Dion.Al.ap.Eus.*p.e.*14.27(783A; M.21.1288B); τυχεῖν τοῦ παρ' αὐτοῦ μ. ἐν ἐλέει καὶ ζωῇ τῇ ἀπεράντῳ ‡Eust.*Laz.*(p.51.1); ἡ ...γραφὴ...τὴν μέθοδον τῆς τοῦ μ. κτίσεως τεχνολογοῦσα Gr.Nyss.*Pss. titt.*A 1(M.44.433D); ὥσπερ...μισθοῦ πλέον ἡ δικαιοσύνη, οὕτω δικαιοσύνης πλέον ὁ μ. Chrys.*hom.8.2 in Rom.*(9.499C); id.*exp.in Ps.* 143:15(5.466C); ἔπαθλον...τῆς...τῶν θείων μαθημάτων στοργῆς ἐστιν ὁ μ. Euthal.Diac.*Ac.*(M.85.633A); **4.** *estimate of beatitude, opinion as to beatitude* ἀμφοτέρων δὲ τελευτησάντων, διάφοροι μ. τούτων ἐγένοντο, ὡς ἀμφοτέρων τελειωθέντων Pall.*h.Laus.*14(p.38.11; M.34. 1036B); **5.** *virtue* associated with a beatitude σὺν τοῖς ἄλλοις μ. καθαρὸς τῇ καρδίᾳ *V.Pach.*Φ 18(p.11.21).

μακαριστέον, *one must deem happy* or *blessed* τοὺς...ἀρετῆς ἆθλον τὴν ἱερωσύνην ἐσχηκότας ἐγκωμιαστέον καὶ μ. Isid.Pel.*epp.*5.379(M. 78.1553C).

μακαριστός, 1. *to be deemed happy* or *blessed*; **a.** properly only of God ἔστι...τὸ κυρίως καὶ πρώτως μ. τὸ ἀληθινῶς ἀγαθόν. τοῦτο δέ ἐστιν ὁ θεός Bas.*hom.in Ps.*1(1.92B; M.29.216B); Gr.Nyss.*beat.*1(M. 44.1197A); **b.** in secondary degree of man ἐπεὶ δὲ ὁ πλάσας τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν· δευτέρως ἂν εἴη μ. τὸ κατὰ μετουσίαν τῆς ὄντως μακαριότητος ἐν τῷ ὀνόματι τούτῳ γινόμενον *ib.* (1197B); of 'gnostic' ἐν πολλῷ τῷ βίῳ μ. οὐ διὰ τὸ μακρὸν ζῆν Clem. *ecl.*31(p.146.16; M.9.713C); μόνον κρίνομεν μ. τὸν ἐνάρετον Gr.Nyss. *v.Gr.Thaum.*(M.46.897B); in friendship τίς μακαριστότερος τοῦ ὑπὸ τοσούτων φίλων δορυφορουμένου; Isid.Pel.*epp.*5.172(M.78.1428B); of life of evangelical poverty, Clem.*q.d.s.*17(p.170.32; M.9.621B); **c.** strictly applicable only to the departed, Bas.*hom.in Ps.*1(1. 93A; M.29.217A); **2.** *happy* οἱ κακοδαίμονες...μ. ἠγοῦνται βίον τὴν ἀκοσμίαν τὴν περὶ τὰ συμπόσια Clem.*paed.*2.2(p.171.21; M.8.420A); **3.** *blessed* ἡ μ. πίστις Const.ap.Eus.*v.C.*2.28(p.53.13; M.20.1005C); of life of grace μακαριστότατον δι' αἰῶνος καὶ ἀεὶ θάλλοντα πρὸς ἀθανασίαν βίον Meth.*res.*2.2(p.331.15; cf. M.18.297C); θεοφιλῆ βίον... ⟨καὶ⟩ μ. Eus.*d.e.*3.2(p.97.34; M.22.169C); τί...θεοφιλίας μακαριστότερον; id.*p.e.*1.1(2C; M.21.24C); Gr.Nyss.*Placill.*(M.46.881C); Dion. Ar.*e.h.*3.3.9(M.3.437B); of what appertains to the next world κολποὶ δέ εἰσιν...τῶν μακαρίων πατριαρχῶν καὶ τῶν λοιπῶν ἁγίων ἁπάντων αἱ θειόταται καὶ μ. λῆξεις...ὑποδεχόμεναι πάντας εἰς τὴν...μακαριωτάτην τελείωσιν *ib.*7.3.5(560B); of a holy place τὸν ἐν τοῖς Ἱεροσολύμοις τῆς σωτηρίου ἀναστάσεως μακαριστότατον τόπον Eus.*v.C.*3.25(p.89.10; M.20.1085A).

***μακαριστρία,** ἡ, *one who speaks well of, eulogist* ἀκηδία ἐστὶ... κοσμικῶν μ., θεοῦ διαβλήτωρ Jo.Clim.*scal.*13(M.88.860A).

μακαριστῶς, *happily,* †Bas.*Is.*42(1.412D; M.30.200A).

μακαρίτης, ὁ, *one blessed*; also adjectivally, *of happy memory,* usu. of one lately dead; bishops Διονύσιον...καὶ Φιρμιλιανὸν...τοὺς μ. Malch.*ep.*ap.Eus.*h.e.*7.30.3(M.20.709C); ὑπὸ τοῦ μ. Ἀλεξάνδρου τοῦ πρὸ ἐμοῦ ἐπισκόπου Ath.*ep.encycl.*7(p.177.6; M.25.237C); *Pers.capt.* (M.86.3236A); so of Chrys., Synes.*ep.*66(M.66.1408D); of Const., Epiph.*haer.*30.4(p.338.15; M.41.409D); id.*mens.*20(M.43.269D); of biblical characters and writers (= 'Saint') ὁ μ. Δαβίδ Cosm.Ind. *top.*5(M.88.256C); ὁ μ. Παῦλος *ib.*(253B).

μακαρῖτις, ἡ, fem. of foreg., of BMV τῆς ἁγίας ταύτης καὶ μ. ἀειπαρθένου Epiph.*ep.Arab.*ap.*haer.*78.23(p.472.33; M.42.736A); of soul of one dead, Synes.*ep.*44(M.66.1369B).

μακαρίως, *in a state of blessedness* εἰρηνευόντων καὶ μ. διαγόντων Or.*Cels.*6.44(p.115.14; M.11.1368A); τῷ ζῶντι μ. id.*fr.95 in Jo.* (p.558.26); μ. μὲν βεβιωκότα, μ. δ' ἀναπεπαυμένον Eus.*Marcell.*1.4 (p.18.6; M.24.752A).

***Μακεδονιανοί, οἱ,** *followers of Macedonius,* Didym.*Trin.*2.6(M. 39.545B); Πνευματομάχοι οἱ καὶ *M.* ... οἱ τὸ ἅγιον τοῦ θεοῦ πνεῦμα βλασφημοῦντες Epiph.*rescr.*4(p.159.3; M.41.164A); ἀναθεματίζομεν τοὺς *M.* οἵτινες ἐκ τῆς Ἀρείου ῥίζης καταγόμενοι Dam.Papa *anath.* ap.Thdt.*h.e.*5.11.21(3.1037); Socr.*h.e.*1.8.24(M.67.65B).

§Μακεδονικός, *of Macedonius M.* αἱρέσεως Cyr.*ep.*45(5^{8}.135D; *Μακεδονιανῆς* p.151.17).

μακελλεῖον, τό, *butcher's stall,* Mac.Mgn.*apocr.*3.42(p.147.19, v.l. *μακέλλιον*).

***μακελλεύω,** *keep a butcher's stall,* Mac.Mgn.*apocr.*3.42(p.145.4).

***μακελλικός,** *of* or *belonging to a butcher,* ‡Ath.*qu.Ant.*94(M.28. 656B); Jo.Clim.*scal.*22(M.88.952B).

μάκελλον, τό, *butcher's shop,* ref. Absalom's death ὡς ἔριφος ἐν μ. ὁ λέων ἐκρέματο Ast.Soph.*Ps.*7(M.40.473B); ὥσπερ κύων ἐν μ. τῇ συνηθείᾳ οὐκ ἀφίσταται, ἂν δὲ κλεισθῇ τὸ μ. ... οὐκέτι ἐγγίζει· οὕτω σὺ ἐὰν ἐπιμείνῃς, ἀκηδιάσας ὁ δαίμων ἔχει σε ἀποστῆναι Pall.*h.Laus.*19 (p.60.17; M.34.1066D); ref. 1Cor.10:25 καθάπερ ἐν μ. τῇ ἐκκλησίᾳ καὶ οἱ ἔπαινοι γίνονται τῶν κατορθούντων καὶ οἱ ψόγοι τῶν ἀμελούντων id. *v.Chrys.*18(p.118.25; M.47.66).

μακραίων, *long-lasting*; of that which is eternal, Dion.Al.ap.Eus. *p.e.*14.25(775A; M.21.1276B); προσδοκῶμεν...τὸν μ. βίον Cyr.*glaph. Gen.*3(1.106B); ἄρτος...ὁ ἐξ οὐρανοῦ ἀποτρέφων ἡμᾶς εἰς μ. ζωήν id. *Jo.*3.6(4.323B).

***μακρακόντιον, τό,** *long spear,* Geo.Pis.*hex.*1087(M.92.1518A).

μακράν, *far* οἱ κλάδοι αὐτῶν εἰς μ. ἔσονται *T.Sym.*6.2; τὸν οἶκον... κάτω μέχρι μ. τῆς εἰσόδου Meth.*symp.*2.4(p.19.15, v.l. μέχρις ἄκρων M.18.52C); πολλοὺς τῶν μ. ἐπισκόπων Malch.*ep.*ap.Eus.*h.e.*7.30.3(M. 20.709C); οὐδὲν γὰρ τόπῳ μ. τοῦ θεοῦ Ath.*Ar.*3.22(M.26.369B); met. ὁ...ἔχων ἀγάπην μ. ἐστιν πάσης ἁμαρτίας Polyc.*ep.*3.3; *Barn.*20.2; γινώσκει ὁ υἱὸς τὸν πατέρα...καὶ ἑαυτὸν γινώσκων, ὅπερ καὶ αὐτὸ οὐ μ. ἀποδεῖ τοῦ προτέρου Or.*Jo.*32.28(18; p.473.16; M.14.817B); μ. τῆς θείας φύσεως φθόνος Jo.D.*f.o.*1.1(M.94.792A).

[*]μακρήμερος, = *μακροήμερος,* Or.*Ps.*22:6(p.481).

[*]μακροβιότια, ἡ, *longevity,* Clem.*paed.*2.2(p.169.28; M.8.416A).

***μακροβιόω,** *live long,* Ephr.2.167A.

μακροβίωσις, ἡ, *longevity,* Thdr.Heracl.*Is.*65:20(M.18.1373B); Bas.*hom.*3.3(2.18D; M.31.204B); of future life, ref. Ps.22:6, Gr. Nyss.*hom.12 in Cant.*(M.44.1032C).

***μακρόγηρος,** *aged,* Geo.Pis.*hex.*1113(M.92.1520A).

μακροδάκτυλος, *long-fingered*; of figure of Christ in a picture, ‡Jo.D.*ep.Thphl.*3(M.95.349C).

***μακροδαπής,** neut. as subst., *great extent*; of a diocese, *Cod.Afr.* 17 tit.; τὸ μ., τῆς ἀποστολῆς [i.e. of S. Thomas] μέχρις Ἰνδῶν... ἐκτελεσθείσης Areth.*Apoc.*21:19f.(M.106.773D).

***μακροείκελος,** *elongated,* Epiph.*haer.*51.35(p.311.6; M.41.953C).

μακροημέρευσις, ἡ, *length of days,* in this life εἴπωμεν...ὑπὲρ σωτηρίας...τε καὶ μ. τοῦ ἁγίου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Πέτρου, παντὸς τοῦ κλήρου καὶ τοῦ...λαοῦ *Lit.Praesanct.*(p.499.29); in future life, Ath.*exp.Ps.*20 proem.(M.27.128D); τότε κληρονομήσομεν γενεὰς γενεῶν μ. δηλονότι καταργηθέντος θανάτου Cyr.*Is.*5.4(2.823E); ζωὴν...αἰώνιον, οὗ μ. ἧς πάντες μέλλουσιν ἀπολαύειν μετὰ τὴν ἀνάστασιν καλοί τε καὶ κακοί· ἀλλὰ καὶ τὸ ἐν εὐθυμίᾳ διάγειν id.*Jo.*7(4.666A).

***μακροημερεύω,** *live long, Lit.*ap.*Const.App.*8.10.7; *Lit.Bas.*(p.336. 6); cf.*Lit.Chrys.*(p.389.21).

***μακροημερία, ἡ, 1.** *lapse of time* before second advent, Hipp. *Dan.*4.16.2; **2.** *length of days, long life,* ref. Ex.20:12, Isid.Pel.*epp.* 4.204(M.78.1293A); Proc.G.*Num.*20:24(M.87.856C).

μακροήμερος, *long-lived,* fig. τοῖς τετελειωμένοις καὶ πνευματικῶς μ. γενομένοις...δόξα...αἱ κοσμοῦσαι αὐτοὺς νοηταὶ πολιαί Or.*Jo.*20.10 (p.340.1; M.14.596C).

μακρόθεν, *long since* μ. καὶ προφητικῶς ἀνακόπτοντος...τοῦ νόμου Clem.*str.*2.18(p.163.4; M.8.1033A).

μακροθυμ-έω, 1. *be patient, slow to anger* μ. ... μετ' ἀλλήλων ἐν πραότητι, ὡς ὁ θεὸς μεθ' ὑμῶν Ign.*Polyc.*6.2; *Diogn.*9.2; Iren.*haer.* 1.10.3(M.7.556A); θεὸς μ. ... βλασφημούμενος [i.e. by heretics] Hipp. *haer.*proem.(p.2.7; M.16.3020A); ref. Jer.15:15 ἐμακροθύμησας ἀεὶ ἐπὶ τὸν λαὸν ἐπὶ τοῖς ἁμαρτήμασιν, ἐπὶ δὲ τοῖς κατ' ἐμοῦ τετολμημένοις μὴ μ. Or.*hom.14.13 in Jer.*(p.118.11; M.13.420B); μή τις ἐννοείτω...ὡς εἰς τέλος...διαμένει θεὸς...εἰ καὶ τέως μακροθυμῇ·...οὐκ ἔστι τινὰ τῶν ἀσεβῶν τὴν θείαν διαδρᾶναι δίκην Meth.*fr.Job* 6(p.512. 10); πολλάκις εἰς αὐτοὺς ~ήσας οὐκέτι λοιπὸν ἀνέξομαι Thdt.*Am.*1:9 (2.1414); **2.** *be slow* to help ἀφῆκεν αὐτοὺς εἰς χαλεπωτέρους χειμῶνας

πραγμάτων ἐμπεσεῖν, καὶ ἐμακροθύμησε Chrys.*hom.28.1 in Mt.*(7.334A); **3.** *be patient, enduring* in temptation or trial, *T.Jos.*2.7; ὡς μακροθύμου θεοῦ υἱοὶ καὶ μακροθύμου Χριστοῦ ἀδελφοὶ μ. ἐν πᾶσι τοῖς συμβαίνουσι Or.*mart.*43(p.40.15; M.11.620B); in prayer οὔτε προλαμβάνειν...τὴν τοῦ θεοῦ βουλήν· ἀλλὰ μ. καὶ δέεσθαι Hipp.*Dan.*4.5.4(M.10.681D); **4.** c. infin., *wait patiently* to τὴν κατὰ φύσιν γεωργίαν μ. ὕστερον πολλῷ χρόνῳ λαβεῖν Or.*princ.*3.1.14(p.220.6; M.11.276B); πάντες οἱ τῷ πονήματι ἡμῶν συμποιοῦντες καὶ σπουδάσματι ἐντυγχάνειν μ. Epiph.*exp.fid.*20(p.521.7; M.42.821A); **5.** trans., *bear with patiently* παρακουόμενον μ. καὶ ἀνέχεσθαι Ant.Mon.*hom.*111(M.89.1776D).

μακροθυμία, ἡ, 1. *long-suffering, patience, endurance* ἐν δέκα πειρασμοῖς...ἐμακροθύμησα, ὅτι μέγα φάρμακόν ἐστιν ἡ μ. *T.Jos.*2.7; ἐμὲ γὰρ ἔδει ὑφ' ὑμῶν ὑπαλειφθῆναι πίστει,...μ. Ign.*Eph.*3.1; *Barn.*2.2; ὀλιγοψύχοις...δίδωσι...μ., τοῦτ' ἔστι καρτερίαν καὶ ὑπομονήν Cyr.*Is.*5.3(2.809A); **2.** *forbearance*; **a.** of men ἡ μ. γλυκυτάτη ἐστὶν...καὶ εὔχρηστός ἐστι τῷ κυρίῳ...ἡ δὲ ὀξυχολία πικρὰ καὶ ἄχρηστός ἐστιν. ἐὰν οὖν μιγῇ ἡ ὀξυχολία τῇ μ., μιαίνεται ἡ μ. καὶ οὐκ εὔχρηστός τῷ θεῷ ἡ ἔντευξις Herm.*mand.*5.1.6; ἡ ἰσότης καὶ ἡ μ. καὶ ἡ φιλανθρωπία τοῖς δεσπόταις εὐάρμοστος Clem.*paed.*3.11(p.277.5; M.8.649C); ἄλλον μὲν εἶναι μικροψυχίας καιρὸν...τὸν τῆς ἀδείας, ἄλλον δὲ μ., τὸν τῆς ἀνάγκης Gr.Naz.*or.*43.31(M.36.540A); **b.** of God, Ign.*Eph.*11.1; κρατεῖ καὶ τῶν ἀθετούντων αὐτὸν αἱρετικῶν...καὶ τοῦ διαβόλου, ἀλλ' ἀνέχεται διὰ μακροθυμίαν Cyr.H.*catech.*8.4; μ. πρὸς ἀλλήλους, ὑπομονὴν πρὸς τοὺς ἔξω· μακροθυμεῖ γάρ τις πρὸς ἐκείνους οὓς δυνατὸν καὶ ἀμύνασθαι, ὑπομένει δὲ οὓς οὐ δύναται ἀμύνασθαι...ἐπὶ μὲν θεοῦ οὐδεπότε ὑπομονὴ λέγεται, μ. δὲ πολλαχοῦ Chrys.*hom.2.2 in Col.*(11.334F); **c.** of Christ Ἰούδας...οὐκ ἀπεβλήθη ὑπὸ τοῦ κυρίου διὰ μακροθυμίαν *Const.App.*5.14.2; πραότητι καὶ μ. πείθων τοὺς ἀνθρώπους αἱρεῖσθαι τὴν ἀρετήν Jo.D.*f.o.*4.4(M.94.1109B).

μακρόθυμος, *long-suffering,* ὁ μ. = ὁ θεός, *Barn.*3.6; τὸ μ. αὐτοῦ [sc. θεοῦ] βούλημα *1Clem.*19.3; epithet of God, Gr.Nyss.*Eun.*1(1 p.154.10; M.45.396A); ref. 1Cor.13:4 μ. διὰ τοῦτο λέγεται, ἐπειδὴ μακράν τινα καὶ μεγάλην ἔχει ψυχήν· τὸ γὰρ μακρὸν καὶ μέγα λέγεται Chrys.*hom.33.1 in 1Cor.*(10.299D); *patient* under rebuke, Or.*Jo.*32.5(p.434.16; M.14.753D).

μακρολογία, ἡ, *length of speech, wordiness,* Bas.*hom.in Ps.*18(1.123A; M.29.304A).

***μακρομεγέθης,** *very large,* Or.*comm.in Mt.*10.7(p.9.5; M.13.852B).

μακροπερίοδος, *using long periods,* Didym.*Trin.*3.1(M.39.781B).

μακρόπορος, *travelling far,* †Apoll.*met.Ps.*103:18(M.33.1468A).

***μακρόπους,** *long-footed*; of an insect, *long-legged, Euchol.*(p.555).

μακροπρόσωπος, *long-faced* Ἰώσηπος...ἱστορεῖ ὁραθῆναι τὸν κύριον...μακροπρόσωπον Andr.Cr.*imag.*(M.97.1304C).

***μακρόρινος,** *long-nosed,* Jo.Mal.*chron.*11 p.281(M.97.425B).

μακρός, *long,* ἐκ μ. *long before,* Eus.*v.C.*4.60(p.142.11; M.20.1212A); ἐν μ. *at length,* †Bas.Anc.*virg.*1(M.30.669A).

μακρόσκιος, *with long shadow,* comp., Or.*or.*17.1(p.338.12; M.11.469D).

***μακρόστιχος,** *with long lines,* hence *lengthy*; of creed of Antioch (345), Socr.*h.e.*2.19 tit.(M.67.224B); γραφὴν ἣν μ. ἔκθεσιν ὀνομάζουσιν Soz.*h.e.*3.11.1(M.67.1060B).

μακροτέρω, *farther off, more distant*; ref. kinship, Chrys.*hom.70.2 in Mt.*(7.689D).

***μακροτζάγγιον, τό,** *high boot, Const.Stud.*38(M.99.1720B).

μακρότης, ἡ, *forbearance,* cf. μακροθυμία, *Apoc.En.*13.6.

***μακροχαράκτηρος,** *long-faced,* Jo.Mal.*chron.*5 p.106(M.97.196B).

μακροχρονίζω, *live long,* Eus.Al.*serm.*21.11(M.86.437B).

μακροχρόνιος, *aged,* Socr.*h.e.*2.38.11(M.67.325B); Cosm.Ind.*top.*5(M.88.260B).

***μάκροψις,** *long-faced,* Jo.Mal.*chron.*4 p.88(M.97.172C); *ib.*5 p.104(192C).

μακρύν-ω, 1. *prolong* ἔξιν μακρυνθεῖσαν μακρᾷ συνηθείᾳ Nil.*Magn.*41(M.79.1020A); **2.** *remove to a distance, separate* ἑαυτοὺς ~όντων ἀπὸ τοῦ θεοῦ...διὰ τῆς περὶ θεοῦ ἀπιστίας Or.*Cels.*5.53(p.57.13; M.11.1264C); ref. Ps.72:27 ἀπ' οὐδενὸς ὁ θεὸς μ. ἑαυτόν id.*hom.18.9 in Jer.*(p.163.22; M.13.481C); τοῦ δὲ υἱοῦ συγκαθημένου τῷ πατρί, ἐνθυμεῖσθε τοῦτον ~ειν ἀπ' αὐτοῦ Ath.*Ar.*1.18(M.26.49A); οὔτε τὸν λόγον προσκυνῆσαι θέλοντες, ~ομεν αὐτὸν ἀπὸ τῆς σαρκός id.*ep.Adelph.*3(M.26.1076A); ἕκαστος ἁμαρτάνων ~εται...ἀπὸ θεοῦ, οὐ τόπῳ ἀλλὰ τρόπῳ Nil.*epp.*2.186(M.79.297A); οἱ τῆς ἐκκλησίας καὶ τῆς κοινωνίας ἑαυτοὺς μ. †Cyr.*hom.div.*14(5².414E).

μακρυσμός, ὁ, *separation,* ‡Proc.G.*Pr.*13:2(M.87.1348B); ‡Sophr.H.*triod.*(M.87.3848D).

μακτήριον, τό, *towel,* conj. for ἀλητήριον, Nonn.*par.Jo.*13:4 (ἀλκτήριον M.43.860C).

μάκτρα, ἡ, *coffin, sarcophagus, A.Petr.c.Sim.*11(p.100.3).

μόλυσμα, τό, 1. *spot, taint, that which defiles,* fig. and met. ὁ παλαιὸς ἄνθρωπος...ἁμαρτήματά τε καὶ μ. ὥσπερ μέλη ἑαυτοῦ δηλοῖ †Bas.*bapt.*1.2.14(2.639E; M.31.1549C); μ. ... περί τε σῶμα καὶ ψυχήν Gr.Nyss.*v.Mos.*45(M.44.316A); τοῦ ἐκ πονηρίας μ. id.*hom.13 in Cant.* (M.44.1044A); τῶν σαρκικῶν μ. ὧν κατὰ γέννησιν τὴν ἐκ πατέρων διεδεξάμεθα ‡Chrys.*pasch.*4(8.260D); Philost.*h.e.*1.1(M.65.461A); δεύτερόν σοι λουτρὸν...καὶ κολυμβήθραν [i.e. penitence] καθαίρουσάν σου τῶν μ. τὴν συνείδησιν Isid.Pel.*epp.*1.408(M.78.409C); Μαρίας...παντὸς ἐλευθερίας μ. τοῦ τε κατὰ σῶμα καὶ ψυχὴν καὶ διάνοιαν Sophr.H.*ep. syn.*(M.87.3160D); **2.** = μολυσμός, *defilement,* Gr.Naz.*or.*14.12(M.35. 872C).

μολυσμός, ὁ, *defilement, pollution,* physical ὕδατος ᾧ μ. σωμάτων πάντως ἀποκαθαίρονται Didym.(‡Bas.)*Eun.*5(1.308C; M.29.740B); of leprosy, Or.*schol.in Lc.*7:22(M.17.333B); ritual τὸν ἐπὶ νεκρῷ μ. Cyr. *Os.*96(3.128C); id.*Ag.*15(3.645D); of idolatry, id.*Os.*20(3.42C); id.*Mich.* 25(3.413A); sexual, Clem.*paed.*3.11(p.268.31; M.8.629C); Epiph.*anac.* 21(p.234.6; M.41.281A); Jo.Mosch.*prat.*165(M.87.3032C); moral *pollution* in gen., ref. 1Cor.5:11, Clem.*paed.*2.1(p.161.18; M.8.396B); ὥσπερ μέλος ἀνιάτως ἔχον ἀποκοπτέος ἡμῶν...ὁ γὰρ μ. διαδόσιμος γίνεται Synes.*ep.*58(M.66.1401C); Cyr.*Lc.*13:26(M.72.780A); of truth by falsehood τὸ τῶν Ἰσραηλιτῶν ποτὸν τῷ μ. τοῦ ψεύδους αἷμα ποιῆσαι, τουτέστι τὸν ἡμέτερον λόγον Or.*exc.in Ps.*77:44(M.17.147B).

μοναδικός, A. *one, forming a single entity*; **1.** of Godhead σπεύσωμεν εἰς σωτηρίαν...εἰς μίαν ἀγάπην συναχθῆναι οἱ πολλοὶ κατὰ τὴν τῆς μ. οὐσίας ἕνωσιν σπεύσωμεν Clem.*prot.*9(p.65.29; M.8.200B); ὁ μόνος ὑφ' ἑαυτοῦ γινωσκόμενος τρισυπόστατος θεὸς καὶ μ. ‡Gr.Nyss. *hom.1.1 in Jo.*(p.93.9); ref. Dt.6:9 καὶ τὸ τῆς οὐσίας διδάσκει μ. καὶ παραδηλοῖ τῶν προσώπων τὸν ἀριθμόν. ἅπαξ γὰρ 'ὁ θεός', δὶς τὸ 'κύριος' τέθεικεν Thdt.*qu.2 in Dt.*(1.263); ref. Is.6:3 καὶ τῶν τριῶν ὑποστάσεων δηλώσας τὸν ἀριθμόν, καὶ τῆς θεότητος τὸ μ. Cosm.Ind. *top.*5(M.88.312C); τριάδα γὰρ ἐν μονάδι πιστεύομεν...τριάδα μὲν ταῖς τρισὶν ὑποστάσεσι, μονάδα δὲ τῷ μ. τῆς θεότητος Sophr.H.*ep.syn.*(M. 87.3152D); τὸ κατ' οὐσίαν ἓν καὶ ταὐτὸν καὶ μ. τῆς θεότητος Max. *ambig.*(M.91.1304A); of Father and Son οὐ γὰρ εἶπε τοῖς δυναμένοις πληθυντικῶς, ἀλλ' ἑνικῷ ὀνόματι τὴν μ. οὐσίαν ἀμφοτέρων ἐσήμανεν εἰπὼν 'τῷ δυναμένῳ' Ammon.*Ac.*20:32(M.85.1584A); **2.** of Christ ὁ Χριστὸς δύο ὑπάρχων φύσεις, ἀλλ' ἐν αὐταῖς ἀληθῶς γνωριζόμενος, μοναδικὸν ἔχει τῆς υἱότητος τὸ πρόσωπον Gr.Nyss.*fr.*(M.46.1112C); †Ath.*fr.*(M.26.1236D); μήτε τὰ τῆς υἱότητος καὶ κυριότητος τέμνηται, μήτε τὰ τῶν φύσεων ἐν τῷ τῆς υἱότητος μοναδικῷ συγχύσεως ἀφανισμῷ κινδυνεύῃ Nest.*ep.Cyr.*2(p.30.4; M.77.52B); οὐδὲν ἡμῖν πρός τε τὸ τὰς δύο φύσεις δεικνύειν τὸ μ. τῆς ὑποστάσεως παρεμποδὼν γέγονεν· οὐδὲ πρὸς τὸ μίαν λέγειν ὑπόστασιν τὸ δυαδικὸν τῶν φύσεων σκληρὸν καθέστηκεν Leont.H.*Nest.*2.5(M.86.1644B); τὴν μὲν [sc. διαφοράν] ἀδιαιρέτως ἐν τῷ φυσικῷ θεωρουμένην λόγῳ τῶν ἡνωμένων, τὴν δὲ ἀσυγχύτως ἐν τῷ μ. γνωριζομένην τρόπῳ τῶν γιγνομένων Max.*ambig.* (M.91.1052B); πᾶσα μὲν γὰρ εὐαγγελικὴ...παραίνεσις...πῆ μὲν τὸ μ. αὐτοῦ δηλοῦσα πρόσωπον, πῇ δὲ τὰς δύο αὐτοῦ σαφῶς μαρτυροῦσα φύσεις Anast.S.*hod.*10(M.89.181A); **3.** of believer as united to God τὸ εἰς αὐτὸν καὶ τὸ δι' αὐτοῦ πιστεῦσαι μ. ἐστι γενέσθαι, ἀπερισπάστως ἑνούμενον ἐν αὐτῷ Clem.*str.*4.25(p.318.5; M.8.1365B); **4.** speaking *as one, united* τὰς ἄλλας...μ. τῶν ἁγίων πατέρων φωνάς Max.*opusc.*(M. 91.88C); **5.** *one, single* ὡς γὰρ εἷς πατήρ, καὶ εἷς υἱός, οὕτω καὶ ἓν πνεῦμα ἅγιον· τῆς μὲν οὖν κτιστῆς φύσεως τοσοῦτον ἀποκεχώρηκεν, ὅσον εἰκὸς τὸ μ. τῶν συστηματικῶν καὶ πληθυσμὸν ἐχόντων Bas.*Spir.* 45(3.38D; M.32.152A); τῶν ἐπὶ τῆς παλαιᾶς διαθήκης πνεῦμα μὲν ἅγιον μ. ἐν ὑποστάσει κεχωρισμένως τῶν λοιπῶν, θεοῦ τε ὂν καὶ ἐκ θεοῦ οὐκ ἐπισταμένων Thdr.Mops.*Joel* 2:28(M.66.229B); εἴπερ μ. φύσις ἐστὶν ὁ Χριστός, οὔτε τῷ θεῷ καὶ πατρὶ ὁμοούσιός ἐστιν, οὔτε τοῖς ἀνθρώποις Max.*ep.*13(M.91.520C); ἠρώτησέ τε τὸν βασιλέα περὶ τῆς ἐνεργείας καὶ τῶν θελημάτων, τὸ πῶς δεῖ ταῦτα λέγειν ἐν Χριστῷ, διπλᾶ ἢ μ.; Anast.S.*serm.imag.*3(M.89.1153B); *single, separate* ἔστι [sc. divine nature] τῶν μὲν πάντῃ διαιρετῶν ἑνικωτέρα, τῶν δὲ τελείως μοναδικῶν ἀφθονωτέρα Gr.Naz.*or.*34.8(M.36.249A); συναριθμεῖται...τὰ ὁμοούσια· τὰ δὲ μὴ οὕτως ἔχοντα μοναδικὴν ἔχει τὴν δήλωσιν *ib.*31.11(p.166.12; 152C).

B. *alone, separate*; **1.** *unique* καθόλου γὰρ τὸ παθητικὸν παντὶ γένει ἐπιθυμίας, εἰς δὲ τὴν ἀπάθειαν θεούμενος ἄνθρωπος ἀχράντως μ. γίνεται Clem.*str.*4.23(p.315.26; M.8.1361A); ἵνα...τοῦτο θεῖκὸν ἔχωσι τὸ μ., ὁ μὲν τῆς υἱότητος, τὸ δὲ τῆς προόδου καὶ οὐχ υἱότητος Gr.Naz.*or.*25. 16(M.35.1221A); πρωτότοκος ὁ κύριος ἐκ τοῦ πατρὸς καὶ ἐκ τῆς παρθένου καὶ ἐκ τῶν νεκρῶν, ἵνα διὰ πάντων γνωθῇ τὸ μ. τῆς υἱότητος ἀξίωμα Gr.Nyss.*fr.*(M.46.1112B); ref. Jo.1:3 εἰ γὰρ ἓν πνεῦμα ἅγιον καὶ μόνον, πῶς ὁ τῆς μ. ἐστι σύμπασι τοῖς πᾶσι συμπαραλαμβάνεσθαι δύναται; Bas.*Eun.*3.7(1.278D; M.29.669C); ‡Ath.*Maced.*1.8(M.28. 1300C); οὐδὲν τῶν ἄλλων πνευμάτων τοιοῦτό ἐστι πνεῦμα· μ. γάρ ἐστι ‡Ath.*dial.Trin.*3.19(M.28.1232D); of God's sovereignty τὴν περιεκτικὴν...τοῦ παντὸς...κόσμου μ. δεσποτείαν Melet.*nat.hom.*1(M.64. 1152A); **2.** *solitary* ὅσοι θεῷ ζῶσιν ἐν μ. βίῳ καὶ ἄζυγι Gr.Naz.*or.*18.22 (M.35.1012A); Ἀντωνίου...βίον συνέγραφε, τοῦ μ. βίου νομοθεσίαν *ib.* 21.5(1088A); πολλοὶ καὶ διάφοροι τῆς εὐσεβείας οἱ βίοι, μ. καὶ κοινωνικοί, ἐρημικοὶ καὶ πολιτικοί Thdt.*Ps.*24:12(1.760); id.*h.rel.*27(3. 1283); πρεσβύτεροι μετὰ νεωτέρων, ἱερεῖς καὶ λαός, οἱ μ. καὶ μιγάδες Eustrat.*v.Eutych.*99(M.86.2385B); fig. οἱ ἀρνησίθεοι καὶ μ. λύκοι, οἱ ἀνόσιοι ψευδοχριστιανοί †Cyr.*hom.div.*10(5².378A; M.77.1028C); of a group, *solitary, separated* τὴν μοναχικὴν τάξιν...ἐφ' ἑαυτῆς ἑστῶσαν ἐν μ. καὶ ἱερᾷ στάσει Dion.Ar.*e.h.*6.3.1(M.3.533C); **3.** *single, unmarried* μέγα παρθενία,...καὶ τὸ μετ' ἀγγέλων τετάχθαι, καὶ τῆς μ. φύσεως Gr.Naz.*or.*43.62(M.36.576C).

C. = μοναχικός, *monastic,* Synes.*ep.*66(M.66.1408C); τῷ μ. τάγματι Nil.*epp.*2.63(M.79.228D); τοῦ σχήματος τοῦ μ. *ib.*4.38(568A); Cyr.S.*v.Sab.*38(p.128.18); Eustrat.*v.Eutych.*18(M.86.2296A); Thphn. *chron.*p.98(M.108.289B); neut. as subst., *monastic population* τὸ μ. καὶ τὸν δῆμον τῆς βασιλευούσης Evagr.*h.e.*3.7(p.106.24; M.86.2609B); *ib.*3.31(p.127.6; 2657C); *ib.*2.5(p.51.32; 2562B).

D. *concerning the Monad* τῆς μ. γνώσεως Clem.*str.*3.2(p.197.27; M.8.1105A).

μοναδικῶς, 1. *as one, as a unity* μία θεότης οὖσά τε μ. καὶ ὑφισταμένη τριαδικῶς Max.*ambig.*(M.91.1036C); ἑαυτῷ προσφυῶς, μ. ἤγουν ἑνοειδῶς ἐνεργῶν [sc. Χριστός] *ib.*(1052C); τῆς μιᾶς θεότητος τῆς ἐν τριάδι μ. ὑπαρχούσης καὶ διαιρουμένης ἀδιαιρέτως *Lit.Jac.*(p.162.1); **2.** *as one, singly* ἓν...τὸ ἅγιον πνεῦμα καὶ αὐτὸ μ. ἐξαγγελλόμενον Bas.*Spir.*45(3.38C; M.32.149C); δύο τῷ Μωϋσεῖ χερυβίμ εὑρίσκω μ. ἀριθμούμενα Gr.Naz.*or.*31.10(p.167.8; M.35.153A); ἑκάστην ὑπόστασιν θεὸν καὶ κύριον ὁμολογεῖν ‡Ath.*symb.*(M.28.1581B); *in the singular* τὸ μηδέν τι τῶν θεοπρεπῶν ὀνομάτων πληθυντικῶς ἀριθμεῖν, ἀλλὰ μίαν...τὴν ἀγαθότητα καὶ πάντα τὰ τοιαῦτα μ. ἐξαγγέλλειν Gr. Nyss.*Trin.*3(p.73.23; M.32.688B); ὅταν μὲν μ. ἡ δύναμις λέγηται, πρὸς τὸ θεῖον ἀναπέμπεται διὰ τῆς τοιαύτης φωνῆς ἡ διάνοια· ὅταν δὲ διὰ τοῦ πληθυντικοῦ σχήματος ἐκφωνῆται, τὴν ἀγγελικὴν φύσιν τῷ λόγῳ παρίστησιν id.*hom.5 in Cant.*(M.44.856B); μ. τε τὸ θεῖον ὡς ἕνα θεὸν καὶ μίαν θεότητα λέγεσθαι id.*tres dii*(M.45.125A); ref. Dt.6:4 μ. τὸ θεῖον ἐν τῇ παλαιᾷ προφέρεται ὄνομα Thdt.*qu.2 in Dt.*(1.262); τοὺς τρεῖς ἄνδρας...τύπον...τριάδος, πρὸς οὓς εἰρῆσθαι μ. τὸ 'κύριε' Proc.G. *Gen.*18:1(M.87.364B); **3.** *uniquely* οἰκεῖον ἀποκαλεῖ πατέρα μ. τὸν θεόν, ὡς...μόνος...γεγεννημένος ἀληθῶς Cyr.*Jo.*2.1(4.139B); *ib.*2.5 (213D); μεμαρτύρηκε ὅτι οὗτος καὶ μετὰ σαρκὸς καὶ ἐν τῇ τοῦ δούλου μορφῇ μ. τε καὶ ἰδικῶς ἐμὸς ἀληθῶς υἱός id.*inc.unigen.*(5¹.705D); μ. καὶ συνάρθρως ὁ κύριός μου φησὶ καὶ ὁ θεός μου id.*Jo.*12.1(4.1109C); **4.** *once* τὸ μὲν ἅγιος τρὶς...τὸ δὲ κύριος μ. Jo.D.*trisag.*2(M.95.25B).

μονάζ-ω, A. *leave alone*; pass., Jo.Mal.*chron.*14 p.373(M.97.556B).

B. *be apart, keep to oneself, Barn.*4.10; οἱ μὴ κολλώμενοι τοῖς δούλοις τοῦ θεοῦ ἀλλὰ ~οντες ἀπολλύουσι τὰς ἑαυτῶν ψυχάς Herm. *sim.*9.26.3; hence **1.** *be single, unmarried* σωματοθήκη Κόνονος... ~οντος καὶ Μαρίας ἀδελφῆς αὐτοῦ *MAMA* 3.535 (Corycus); ptcpl.

as subst., *celibate* οἱ γενναῖοι ἀπόστολοι καὶ οἱ καθεξῆς παρθένοι καὶ ~οντες Ἰωάννης μὲν καὶ Ἰάκωβος...μείναντες ἐν τῇ παρθενίᾳ Epiph. *haer.*58.4(p.361.10; M.41.1016A); τινὲς τῶν ~όντων...κατοικοῦσι τὰς πόλεις, τινὲς δὲ καὶ ἐν μοναστηρίοις καθέζονται, καὶ ἀπὸ μήκοθεν ἀναχωροῦσιν id.*exp.fid.*23(p.524.11; M.42.829A); οὐχὶ ~ουσιν ἔγραφε ταῦτα οὐδὲ ἀειπαρθένοις, ἀλλὰ...κοσμικοῖς Chrys.*hom.4.5 in Heb.* (12.46D); **2.** *live in solitude* δύσκολον ὁμοῦ καὶ ἐπικίνδυνον τὸ ~ειν Bas.*reg.fus.*7 tit.(2.345B; M.31.928B); δυνατὸν μετὰ πολλῶν ὄντα ~ειν τῇ γνώμῃ ‡Ath.*v.Syncl.*97(M.28.1548A); *A.Mt.*1(p.217.1); Leont.N. *v.Sym.*55(M.93.1737C); **3.** *become a monk* ἀρμόζει κατὰ μητέρων ἤτοι γονέων κωλυόντων τοὺς ἑαυτῶν παῖδας ~ειν Ammon.*Ac.*21:13(M.85. 1584D); Marc.Diac.*v.Porph.*52; *Apophth.Patr.*(M.65.244D); pres. ptcpl. as subst., *monk,* Serap.*euch.*11.5; Ath.*narr.fug.*(M.26.981A); id.*apol.Const.*28(M.25.632A); id.*v.Anton.*86(M.26.964A); τῷ τῶν ~όντων τάγματι Gr.Nyss.*v.Macr.*(p.407.10; M.46.993A); οὕτως [sc. like pearl divers] καὶ οἱ ~οντες γυμνοὶ ἐξέρχονται τοῦ κόσμου, καὶ κατέρχονται εἰς βυθὸν θαλάσσης τῆς κακίας...καὶ...ἀναφέρουσι τιμίους λίθους Mac.Aeg.*hom.*15.51(M.34.612A); καλῶς καὶ οἱ ~οντες καὶ αἱ κανονικαὶ ἀποκείρονται τὴν κόμην Ammon.*Ac.*18:18(M.85. 1569C); Chrys.*sac.*3.15(p.78.13; 1.393D); id.*hom.7.4 in Heb.*(12.80A); ~ουσα, ἡ, *nun,* Epiph.*haer.*62.8(p.399.3; M.41.1064A); συνέπεται δὲ τῇ αὐτῇ παρθενίᾳ ἡ μονότης, παρὰ πλείοσι τῶν ~όντων καὶ ~ουσῶν id.*exp.fid.*21(p.522.1; M.42.824A); Max.*ep.*12(M.91.460B); Thphn. *chron.*p.122(M.108.340C).

***μονάκτινος,** *shining with a single ray*; of Trin., Eulog.*fr.Trin.* 2.1(p.364).

μονάμπυξ, *with no yoke-fellow*; met., *standing alone,* Paul.Sil. *Soph.*893(M.86.2153A).

μονανδρέω, *have only one husband,* Jo.Mal.*chron.*1 p.21(M.97.88A).

***μονανδρία,** ἡ, *having only one husband, not being twice married,* Chrys.*vid.*2 tit.(1.349C).

μόνανδρος, *having only one husband, Const.App.*3.3.1; of Church, Ph.Carp.*Cant.*21(M.40.52B); Anast.S.*hex.*12(M.89.1076B).

μοναρχέω, *be sovereign*; of Roman empire, Andr.Caes.*Apoc.*54 (M.106.380D).

μονάρχης, ὁ, *sole ruler,* of God, Gr.Naz.*carm.*1.1.30.1,26(M.37. 508A,509A).

μοναρχία, ἡ, A. *government by a single ruler, monarchy*; of God; **1.** sole supremacy οὐχ οἱ φιλόσοφοι περὶ θεοῦ τὸν ἅπαντα ποιοῦνται λόγον...καὶ περὶ μοναρχίας αὐτοῖς καὶ προνοίας αἱ ζητήσεις γίνονται; Just.*dial.*1.3(M.6.473B); τὴν πολυκοιρανίην μᾶλλον ἢπερ τὴν μ. ἐξησκήσατε Tat.*orat.*14(p.15.9; M.6.836B); εἰ δὲ θεὸς ἀγένητος καὶ ὕλη ἀγένητος, οὐκ ἔτι...μ. θεοῦ δείκνυται Thphl.Ant.*Autol.*2.4(M.6. 1052B); cf. *monarchiam nihil aliud significare scio quam singulare et unicum imperium...eversio enim monarchiae illa est tibi intellegenda, cum alia dominatio...aemula superducitur, cum alius deus infertur adversus creatorem,* Tert.*adv.Praxean* 3(M.*PL.*2.158B,159A); θεὸς...οὗ...ἀδιάδοχος ἡ μ. *Const.App.*7.35.9; **2.** unicity; **a.** opp. polytheism, equivalent of monotheism πρῶτος...αὐτοῖς...τὴν περὶ μοναρχίας θεολογίαν κατήγγειλεν [sc. Moses], τὸν τῶν ἁπάντων δημιουργὸν καὶ ποιητὴν μόνον παραγγείλας σέβειν Eus.*d.e.*3.2(p.97.6; M.22.169A); ἀποκρινέσθω τὰ περὶ ἀνατροπῆς πολυθέου πλάνης, ἀποδεικνύουσα τὸν περὶ μοναρχίας θεοῦ λόγον *Const.App.*3.5.4; ἐν δὲ τῇ μ. πνευματικῶς ἡ τριὰς καταγγελλομένη [i.e. in Pentateuch] Epiph.*haer.*9.2(p.198. 19; M.41.225A); denied by Marcion Μαρκίωνος γὰρ...δίδαγμα εἰς τρεῖς ἀρχὰς τῆς μ. τομὴ καὶ διαίρεσις Dion.R.ap.Ath.*decr.*26(p.22.13; M.25.464A); and by Manicheans, cf. *si enim dicimus monarchiam unius naturae et omnia deum replere et nullum esse extraneum locum, quis erit creaturae susceptor? ubi gehenna ignis?* Hegem. *Arch.*16(p.26.12; M.10.1454A); **b.** in teaching of Sabellian and other 'monarchian' theologians, opp. supposed tritheism of 'pluralists' οὕτως...δοκεῖ [sc. Νοητός] μ. συνιστᾶν, ἓν καὶ τὸ αὐτὸ φάσκων ὑπάρχειν πατέρα καὶ υἱόν...ὀνόματι μὲν πατέρα καὶ υἱὸν καλούμενον κατὰ χρόνων τροπήν, ἕνα δὲ εἶναι Hipp.*haer.*9.10(p.244.23; M.16.3378B); οὐδὲ εἰς τὴν γνώμην τῶν ἀποσχισθέντων ἀπὸ τῆς ἐκκλησίας εἰς φαντασίαν μοναρχίας ἐμπίπτομεν, ἀναιροῦντων υἱὸν ἀπὸ πατρός Or.*dial.*4(p.126.17); οἱ ἀπὸ Μαρκέλλου...οἳ τὴν προαιώνιον ὕπαρξιν τοῦ Χριστοῦ καὶ τὴν θεότητα...ὁμοίως Ἰουδαίοις ἀθετοῦσιν ἐπὶ προφάσει τοῦ συνίστασθαι δοκεῖν τῇ μ. *Symb.Ant.*(345)6(p.253.3; M.26.732A); υἱὸν ὑπήκοον...βασιλεύοντα...εἰς τὰς αἰῶνας, σωζομένης ἐν ἅπασι πάντοτε τῆς ὑπεροχῆς τοῦ θεοῦ καὶ μ. Eun.*apol.*27(M.30.865A).

B. = possession of but a single source, *unity* of Godhead as proceeding from Father as sole origin (in early writers esp. idea of supremacy is also present) ἑνὸς ὄντος ἀνάρχου καὶ ἀγεννήτου θεοῦ τοῦ δὲ υἱοῦ ἐξ αὐτοῦ γεγεννημένου, μία ἔσται ἀρχὴ μ. τε καὶ βασιλεία μία, ἐπεὶ καὶ αὐτὸς ὁ υἱὸς ἀρχὴν ἐπιγράφεται τὸν αὐτοῦ πατέρα Eus.*e.th.*2.7 (p.104.6; M.24.908C); cf. *ita trinitas per consertos et connexos gradus a patre decurrens et monarchiae nihil obstrepit et oeconomiae statum protegit,* Tert.*adv.Praxean* 8(M.*PL.*2.164A); μία ἀρχὴ θεότητος, καὶ οὐ δύο ἀρχαί, ὅθεν κυρίως καὶ μ. ἐστίν ‡Ath.*Ar.*4.1(p.44.5; M.26.468B); οὐ γὰρ κατὰ σύνθεσιν ἀριθμοῦμεν...ἓν καὶ δύο καὶ τρία λέγοντες, οὐδὲ πρῶτον καὶ δεύτερον καὶ τρίτον...θεὸν γὰρ ἐκ θεοῦ προσκυνοῦντες...καὶ μένομεν ἐπὶ τῆς μ. ... διὰ τὸ μίαν ἐν θεῷ πατρὶ καὶ θεῷ μονογενεῖ τὴν οἰονεὶ μορφὴν θεωρεῖσθαι Bas.*Spir.*45(3.38A; M.32.149B); περὶ μὲν τῆς τοῦ θεοῦ μ. ... οὐ...μόνον εἰς ἕνα θεὸν δεῖ πιστεύειν· ἀλλὰ καὶ [τὸ] πατέρα τοῦτον εἶναι τοῦ μονογενοῦς...καταδεχώμεθα Cyr.H.*catech.*7.1; ἡμῖν δὲ μ. τὸ τιμώμενον· μ. δέ, οὐχ ἣν ἐν περιγράφει πρόσωπον...ἀλλ' ἣν φύσεως ὁμοτιμία συνίστησι...καὶ ταυτότης κινήσεως Gr.Naz.*or.*29.2 (p.75.1; M.36.76A); ἡ τῆς φύσεως ἑνότης τὸν διαμερισμὸν οὐ προσίεται, ὡς μήτε τὸ τῆς μ. σχίζεσθαι κράτος εἰς θεότητας διαφόρους κατατεμνόμενον Gr.Nyss.*or.catech.*3(p.16.7; M.45.17D); id.*Eun.*1(1 p.171.24; M.45.416A); μ. κηρύττοντες...ὁμολογοῦμεν τὴν τριάδα, μονάδα ἐν τριάδι καὶ τριάδα ἐν μονάδι, καὶ μίαν θεότητα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος Epiph.*haer.*62.3(p.391.22; M.41.1053B); ὅταν...πρὸς τὴν θεότητα βλέψωμεν, καὶ τὴν πρώτην αἰτίαν, καὶ τὴν μ. καὶ τὸ ἓν καὶ ταὐτὸν τῆς θεότητος...κίνημά τε καὶ βούλημα...ἓν ἡμῖν τὸ φανταζόμενον· ὅταν δὲ πρὸς τὰ ἐν οἷς ἡ θεότης, ἢ τό γε ἀκριβέστερον εἰπεῖν, ἃ ἡ θεότης...τρία τὰ προσκυνούμενα ‡Cyr.*Trin.*10(6[3].16B; M.77.1144C).

***μοναρχίζω,** *rule over as king* πρῶτος ἐμονάρχισε Ἰούλιος Καῖσαρ Dam.*troph.*4.4(p.268.13).

μοναρχικός, **1.** *ruling alone* τῆς μοναρχικῆς θεότητος Eus.*e.th.*2.7 (p.104.4; M.24.908C); neut. as subst. τῶν ὅλων τὸ μ. *omnipotence,* Tat.*orat.*29(p.30.11; M.6.868A); **2.** of Trin., *ruling as one,* Jo.D. *Jacob.*2(M.94.1437A).

μόναρχος, **1.** *monarchical* τὴν μόναρχον ... θεότητα Eus.*v.C.*4.29 (p.128.31; M.20.1177C); of Father, *Lit.*ap.*Const.App.*8.11.2; of Trin., Epiph.*haer.*66.3(p.19.3; M.42.33A); **2.** *ruled by one man* ἡ Ῥωμαίων ἀρχὴ μ. Eus.*l.C.*16(p.249.28; M.20.1424B).

μονάς, ἡ, A. *unit*; in abstract, Clem.*str.*5.11(p.374.10; M.9.109A); τέσσαρα μέρη· ἀριθμός, μ., δύναμις, κύβος Hipp.*haer.*1.2(p.6.14; M.16. 3024C); Dion.Ar.*d.n.*5.6(M.3.820D); ref. creation of Eve μ. οὖσα τῷ γένει δυάς ἐστιν *Hom.Clem.*16.12; the number *one,* Clem.*str.*6.11 (p.474.2; M.9.305A); Hipp.*haer.*4.8(p.41.4; 3071A); *ib.*6.24(p.151.19; 3230D); = *one* day πεντηκοστῆς, ἑβδομάσι μὲν ἑπτά, μονάδι δ' ἐπισφραγιζομένης Eus.*v.C.*4.64(p.144.12; M.20.1219B); *single* concrete *object* ἓν καὶ ἓν καὶ ἓν...τὰς τοσαύτας μ. Gr.Naz.*or.*31.18(p.166. 18; M.36.153A).

B. *monad*; **1.** in Pythagorean thought μ. ἐστιν ὁ θεός, τοῦτ' ἔστιν εἷς Athenag.*leg.*6.1(M.6.901A); κόσμον...νοητὸν οἴδεν ἡ βάρβαρος φιλοσοφία...τὸν μὲν ἀνατίθησι μονάδι...τὸν δὲ αἰσθητὸν ἑξάδι Clem. *str.*5.14(p.387.23; M.9.137A); μ. εἶναι ἀπεφήνατο τὸν θεόν Hipp.*haer.*1.2 (p.5.7; M.16.3024A); ἀρχὴν τῶν ὅλων ἀγέννητον ἀπεφήνατο τὴν μ. *ib.*6. 23(p.149.26; 3227B); τῇ μ. ἀγαθοποιῷ οὔσῃ *ib.*4.44(p.67.7; 3107C); Anat.Laod.*decad.*(p.29f.); but cf. ἓν δὲ ὁ θεὸς καὶ ἐπέκεινα τοῦ ἑνὸς καὶ ὑπὲρ αὐτὴν μ. Clem.*paed.*1.8(p.131.19; M.8.336A); Eus.*d.e.*4.1(p.151. 9; M.22.252C) cit. s. ἀρχέγονος; **2.** Gnost., Iren.*haer.*1.16.1(M.7.628B) cit. s. δυάς; as aeon αὐτη ἡ ἑνότης, ἥ τε μονότης...προήκαντο...ἀρχὴν ...νοητὴν...ἣν ἀρχὴν ὁ λόγος μ. καλεῖ. ταύτῃ τῇ μ. συνυπάρχει δύναμις ὁμοούσιος αὐτῇ, ἣν καὶ αὐτὴν ὀνομάζω τὸ ἕν *ib.*1.11.3(563A).

C. *unity*; **1.** in gen., of Church, Clem.*str.*7.7(p.76.18; M.9.552B); ref. Pr.10:19 οὐδεὶς αὐτῶν λόγος, ἀλλ' ἕκαστοι λόγοι· οὐδαμοῦ γὰρ ἡ μ., καὶ οὐδαμοῦ τὸ σύμφωνον καὶ ἓν Or.*Jo.*5.5(4; p.102.34; M.14. 192A); ἡ φύσις μία ἐστίν, αὐτὴ πρὸς ἑαυτὴν ἡνωμένη, καὶ ἀδιάτμητος ἀκριβῶς μ., οὐκ αὐξανομένη διὰ προσθήκης, οὐ μειουμένη δι' ὑφαιρέσεως, ἀλλ' ὅπερ ἐστὶν ἓν οὖσα Gr.Nyss.*tres dii*(M.45.120B); Thdt. *Cant.*8:12(2.163); of monks θεοειδῆ μ. καὶ φιλόθεον τελείωσιν Dion. Ar.*c.h.*6.3(M.3.533A); ἡ σοφία μ. ἐστι, ταῖς ἐξ αὐτῆς διαφόροις ἀρεταῖς ἀτμήτως ἐνθεωρουμένη, καὶ μονοειδῶς ταῖς τῶν ὅλων ἀρετῶν ἐνεργείαις ἐπινοουμένη ‡Proc.G.*Pr.*1:7(M.87.1225D); **2.** of God μὴ μόνοι εἰς μ. τὸν θεὸν κατακλείομεν Athenag.*leg.*6.2(M.6.901B); χρὴν ἕνα ⟨εἶναι⟩... τὸν...τοῦ θεοῦ λόγον, ὡς ἂν κἂν τούτῳ τὸ τῆς εἰκόνος ἐμφερὲς τῷ πατρὶ καὶ κατὰ πάντα ἀποσώζοιτο...κατά τε τὸν τῆς μ. καὶ ἑνάδος ἀριθμόν Eus.*d.e.*4.6(p.158.21; M.22.264C); ὁ...νοῦς ὃν ἀσεβοῦντες λέγουσι κυρίως Χριστόν, τῇ τῆς μ. γνώσει πεποιημένον CCP(543)*anath.*9; **3.** of Trin., cf. ἀδιαίρετος; **a.** in Trin. controversy in gen. εἰς τρεῖς ὑποστάσεις ξένας ἀλλήλων παντάπασι κεχωρισμένας διαιροῦντες τὴν ἁγίαν μ. Dion.R.ap.Ath.*decr.*26(p.22.9; M.25.464A); θειοτάτη...μετὰ τὴν μ. καὶ ἡ τριάς Dion.Al.ap.Bas.*Spir.*72(3.61A; M.32.201C); id. ap.Ath.*Dion.*17(p.58.24; M.25.505A); in views ascribed to Sabellians εἰ ἀεὶ ἦν λόγος καὶ πνεῦμα, ἀεὶ πλατεῖα καὶ οὐ πρῶτον μ. ‡Ath. *Ar.*4.14(p.58.19; M.26.488A); εἰ τοίνυν ἡ μ. πλατυνθεῖσα γέγονε τριάς, ἡ δὲ μ. ἐστιν ὁ πατήρ, τριὰς δὲ πατήρ, υἱός, ἅγιον πνεῦμα...ἡ μ. πάθος

ὑπέμεινε *ib.*4.13(p.57.8; 484C); οὐδὲ ὡς Σαβέλλιος τὴν μ. διαιρῶν υἱοπάτορα εἶπεν Ar.*ep.Alex.*(p.12.12; M.26.709A); οἱ...ἐν μ. τὸ τριπλοῦν ἀσεβῶς κατὰ σύνθεσιν φανταζόμενοι καὶ σοφίαν ἐν θεῷ τὸν υἱὸν ...ἡγούμενοι Apoll.*fid.sec.pt.*1(p.167.19; M.10.1105B); Marcellan εἰ ἡ κατὰ σάρκα προσθήκη ἐπὶ τοῦ σωτῆρος ἐξετάζοιτο, ἐνεργείᾳ ἡ θεότης μόνῃ πλατύνεσθαι δοκεῖ· ὥστε εἰκότως μονὰς ὄντως ἐστὶν ἀδιαίρετος Marcell.*fr.*62 ap.Eus.*e.th.*2.4(p.102.24; M.24.905A); **b.** Arian views μ. μὲν ἦν πρότερον, ἐκ προσθήκης δὲ γέγονεν ὕστερον τριάς Ath.*Ar.* 1.17(M.26.48A); ἡ μ. ἦν· ἡ δυὰς δὲ οὐκ ἦν, πρὶν ὑπάρξῃ· αὐτίκα γοῦν υἱοῦ μὴ ὄντος ὁ πατὴρ θεός ἐστι Ar.*Thal.fr.*2.20 ap.Ath.*syn.*15(p.243.1; M.26.708A); Cyr.*thes.*9(5[1].66E); μὴ διδοὺς γὰρ ἐκ τῆς μ. εἶναι τὸν λόγον, ἀλλ' ἁπλῶς κεκολλῆσθαι τῷ πατρὶ λόγον, δυάδα οὐσίας εἰσάγει, μηδετέραν τῆς ἑτέρας πατέρα τυγχάνουσαν ‡Ath.*Ar.*4.3(p.47.9; 472B); denied, *ib.*4.1(p.44.3; 468B) cit. s. ἀδιαίρετος; ἐν τῇ τριάδι ὁ τῆς μ. διασωθήσεται λόγος, ἕνα μὲν πατέρα ὁμολογούντων, καὶ ἕνα υἱὸν καὶ ἓν πνεῦμα ἅγιον Bas.*Eun.*3.6(1.277E; M.29.668C); τριάδα τὴν μ. κηρύσσοντες [sc. OT prophets], ἀλλ' ἑνότητα θεότητος εἰδότες, ἐν ἑνὶ προσώπῳ τὰ τρία κηρύσσουσι Didym.(‡Bas.)*Eun.*5(1.315B; M.29.756B); ref. Jo.17:2 ὁ ζωὴ ὢν ζωὴν θέλει παρὰ πατρὸς λαμβάνειν καὶ διδόναι τοῖς μαθηταῖς...ἵνα μὴ διέλῃ τὴν μ., ἵνα μὴ σκῶλος γένηται τοῖς Ἰουδαίοις Epiph.*haer.*69.29(p.179.10; M.42.249B); **c.** in gen. τριὰς μία καὶ ἀδιαίρετος...συνάπτεται ἀσυγχύτως, ὥσπερ καὶ ἀτμήτως ἡ μ. χωρίζεται Ath.*hom.in Mt.11:27*(M.25.220A); ref. Gen.1:27 ἔφυγεν ἐνταῦθα τὸν πληθυσμὸν τῶν προσώπων...ἀσφαλῶς ἀνέδραμεν ἐπὶ τὴν μ., ἵνα καὶ υἱὸν νοῆς μετὰ πατρός Bas.*hex.*9.6(1.88C; M.29.208A); μ. ἀπ' ἀρχῆς, εἰς δυάδα κινηθεῖσα, μέχρι τριάδος ἔστη Gr.Naz.*or.*29.2 (p.75.7; M.36.76B); τριάδα τελείαν ἐκ τελείων τριῶν, μ. μὲν κινηθείσης διὰ τὸ πλούσιον, δυάδος δὲ ὑπερβαθείσης...τριάδος δὲ ὁρισθείσης διὰ τὸ τέλειον *ib.*23.8(M.35.1160C); ἐκ μ. τριὰς ἐστι καὶ ἐκ τριάδος μ. αὖθις id.*carm.*1.1.3.60(M.37.413A); πῶς τὸ αὐτὸ καὶ ἀριθμητόν ἐστι καὶ διαφεύγει τὴν ἐξαρίθμησιν, καὶ διῃρημένως ὁρᾶται καὶ ἐν μ. καταλαμβάνεται Gr.Nyss.*or.catech.*3(p.16.1; M.45.17D); εἰς τοίνυν ἐστὶν ὁ θεός, ἡ τριὰς τῇ μ. τῆς οὐσίας χωρὶς πάσης...διαιρέσεως καὶ διακρίσεως ‡Just.*qu.et resp.*129(M.6.1380D); οὐκ ἔστι κτιστὸν [sc. τὸ πνεῦμα] ὡς τὸ πλῆθος τῶν πνευμάτων, ἀλλὰ τῆς μ. θείας οὐσίας Didym.*Trin.*3.2 (M.39.801B); μ. ἐν τῷ ταὐτῷ τῆς οὐσίας δείκνυται, καὶ ἡ τριὰς οὐκ ἐν ψιλοῖς τοῖς ὀνόμασι, ἀλλ' ἐν ταῖς ὑποστάσεσι γνωρίζεται Thdt.*Trin.*28 (M.75.1188B); ἔνθα δὲ πατὴρ καὶ πνεῦμα ἐνθεωρεῖται τῇ μ. τῇ προσκυνουμένῃ, σὰρξ τῇδε οὐ συμπεριέχεται, ἵνα καὶ ὡς τῇδε οὖσα τῆς μ. συμπροσκυνῆται Leont.H.*Nest.*1.44(M.86.1504C); τῆς οὖν τριάδος ἀληθῶς ἔφητε ὅτι ἔστι καὶ ἡ σάρξ· μιᾶς γὰρ τῶν τριῶν ὑποστάσεων· ἀλλ' οὐχὶ καὶ τῆς μ. ... πρώτως ἤγουν οἰκείῳ λόγῳ *ib.*7.5(1768[d]A); ἡ ἁγία τριὰς ἀριθμητὴ ταῖς προσωπικαῖς ἐστιν ὑποστάσεσιν, ἥ τε παναγία μ. πασῆς ἐκτός ἐστιν ἀριθμήσεως Sophr.H.*ep.syn.*(M.87.3152D); μ. μὲν κατὰ τὸν τῆς οὐσίας, ἤτοι τὸν τοῦ εἶναι λόγον, ἀλλ' οὐ κατὰ σύνθεσιν ἢ...σύγχυσιν· τριάδι δὲ κατὰ τὸν τοῦ πῶς ὑπάρχειν καὶ ὑφεστάναι λόγον, ἀλλ' οὐ κατὰ διαίρεσιν ἢ ἀλλοτρίωσιν. ... οὐ γὰρ μεμέρισται ταῖς ὑποστάσεσιν ἡ μ. Max.*myst.*23(M.91.700D); ἡ μ. μέχρι τριάδος παρ' αὐτοῖς κινουμένη μένει μ. καὶ ἡ τριὰς μέχρι μ. συναγομένη μένει τριάς Thal.*cent.*4.93(M.91.1468D); **4.** Christol. τὸν Χριστὸν...σάρκα γενόμενον λόγον καὶ μείναντα τῆς φυσικῆς αὐτοῦ μ. ἐντός Apoll.*fr.*152(p.248.11)ap.*Doct.Patr.*41(p.307.24); ref. Jo.1:14 διὰ μὲν γὰρ τοῦ 'ἐγένετο', τὸ ἀδιαίρετον τῆς ἄκρας ἑνώσεως ὁ εὐαγγελιστὴς ὑπαινίττεται. ὥσπερ γὰρ ἡ μ. οὐκ ἂν τμηθείη εἰς μονάδας δύο (ἡ γὰρ εἰς ταύτας διαιρουμένη οὐκ ἂν εἴη μ. ἀλλὰ δυάς) οὕτως τὸ ἓν κατὰ τὴν ἄκραν ἕνωσιν οὐκ ἂν διαιρεθείη εἰς δύο Procl.CP *Arm.*6 (p.190.7; M.65.861B); Leont.H.*monoph.*31(M.86.1788D) cit. s. δυάς; κατ' εὐδοκίαν ἡ ἕνωσις, βουλῆς καὶ γνώμης ταυτότητα κρατουμένη, ἵνα καὶ τὸ διάφορον τῶν φύσεων ἀσύγχυτον δείκνυται, καὶ τὸ τῆς εὐδοκίας μυστήριον μονάδι βουλήσεως διαδείκνυται Paul.Pers.*judic.fr.* ap.Max.*opusc.*(M.91.173C).

***μόνασις, ἡ,** *solitude*, ‡Eust.*hex.*(M.18.741A).

μονασμός, ὁ, *solitude* μ. ἡμῶν our *being alone* together, Proc.G. *Gen.*18:16(M.87.381C).

μοναστήριον, τό, 1. hermit's *cell* ὄντως οἰκία πένθους τὰ μ. ἔνθα σάκκος καὶ σποδός, ἔνθα μόνωσις, ἔνθα γέλως οὐδείς Chrys.*hom.14.3 in 1Tim.*(11.628F); ὥσπερ ἀπὸ γῆς εἰς οὐρανόν, οὕτως ἔστιν εἰς μ. ἀνδρὸς ἁγίου καταφυγεῖν *ib.*(629C); οὐ γὰρ ἔστι κώμη οὔτε πόλις ἐν Αἰγύπτῳ...ἣ οὐχὶ τοῖς μ. καθάπερ τείχεσι περιβέβληται ‡Pall.*h.mon.* proem.(p.3.21; M.65.445B); πρεσβύτερόν τινα...πατέρα πολλῶν μ. καὶ ἡγούμενον πολλῆς ἀδελφότητος *ib.*20.1(p.79.5; M.34.1179B); μ. ... ἐν ᾧ ἀναχωρητής τις ὑπῆρξεν Cyr.S.*v.Sab.*62(p.163.14); κτίσας ἑαυτῷ μικρὸν μ. ... ἀνεχώρει ἐκεῖσε id.*v.Euthym.*37(p.56.8); fig. ὁ ἀκριβὴς φιλόσοφος φροντιστήριον ἔχων τὸ σῶμα...ἐν τῷ φυσικῷ μ. καθίδρυται, ἔνδον συνάγων τὸν νοῦν ‡Bas.*const.*5(2.550D; M.31.1360C); plur., *group of cells* or *monastery*, Gr.Naz.*or.*43.62(M.36.577B); ἵνα μὴ προφάσει ταπεινότητος καὶ πραότητος ἐν συγχύσει τὰ μ. ἦν Mac.Aeg. *perf.*9(M.34.848C); **2.** *monastery* οὔπω ἦν ἐν Αἰγύπτῳ συνεχῆ μ. ... ἕκαστος δὲ τῶν βουλομένων ἑαυτῷ προσέχειν οὐ μακρὰν τῆς ἰδίας κώμης καταμόνας ἠσκεῖτο Ath.*v.Anton.*3(M.26.844B); προέστης μοναστηρίου id.*ep.Drac.*7(M.25.532A); μ. ... εἴτουν μάνδραις Epiph. *haer.*80.6(p.491.20; M.42.765C); ἀνὴρ...καὶ γυνὴ...τέχνην μετεχειρίζοντο, καὶ τῶν ἐν μ. ζώντων ἀκριβεστέραν ἐπεδείξαντο πολλῷ τὴν φιλοσοφίαν Chrys.*hom.1.3 in Rom.16:3*(3.175B); μηδένα...μηδαμοῦ οἰκοδομεῖν μηδὲ συνιστᾶν μ. ἢ εὐκτήριον οἶκον παρὰ γνώμην τοῦ τῆς πόλεως ἐπισκόπου CChalc.*can.*4; χρηματίσας τῷ θείῳ Παχωμίῳ ἐν πρώτοις κοινόβιον συστήσασθαι καὶ τούτῳ συνήργει εἰς τὴν πᾶσαν τοῦ μ. σύστασιν *Apophth.Patr.*(M.65.152B); ἑπτὰ μ. ... συνεστήσαντο...ἐν μὲν λαύραις...ἐν δὲ κοινοβίοις Cyr.S.*v.Sab.*58(p.158.18); τὸν ἡγούμενον τῶν ἐν Ἱεριχῷ μ. *ib.*59(p.161.7); τῶν...τῆς ἐρήμου ὀρθοδόξων μ. *ib.*90 (p.199.21); τὰ...Εὐθυμίου καὶ Θεοκτίστου μ. ἦσαν τότε ἐν ὁμονοίᾳ κοινὸν τὸν βίον ἔχοντα καὶ μίαν διοίκησιν ὑπὸ ἕνα ὄντα οἰκονόμον κατὰ τὴν τοῦ μεγάλου Εὐθυμίου ἐντολήν id.*v.Cyriac.*6(p.226.4); γυναικί τινι ἐναρέτῳ...κτιζούσῃ τὸ τηνικαῦτα περὶ τὸ ὄρος τῶν Ἐλαιῶν μ. καὶ ἐκκλησίαν id.*v.Thgn.*(p.241.20); λαῖλαψ ἀνέμου ἐγείρων κονιορτὸν ἐν πεδίῳ· οὕτως μοναχὸς ὑπερήφανος ἀνεγείρων ὀργὴν ἐν μ. Hyper.*mon.* 68(M.79.1480C); συνασκήσας...αὐτῷ τὸν μονήρη βίον ἐν ἑνὶ καὶ τῷ αὐτῷ μ. Justn.*conf.*(p.108.16; M.86.1031D); ἐγὼ ἐκ μικρᾶς ἡλικίας εἰς τὸ μ. εἰσῆλθον τοῦ ἁγίου Ἰωάννου Eustrat.*v.Eutych.*55(M.86.2337C); of women ἔκβαλλε...αὐτὴν ἀπὸ τοῦ οἴκου σου, καὶ κατάστησον αὐτὴν ἐν μ. Bas.*ep.*55(3.150A; M.32.464A); ἡ γυνὴ ἡ πόρνη...ἔλεγεν...πάντα τὰ ὑπάρχοντά μου δίδωμι τοῖς πτωχοῖς καὶ τὸν οἰκόν μου μ. παρθένων *A.Petr.et Andr.*22(p.126.26); *Apophth.Patr.*(M.65.416B); Pall.*h. Laus.*29(p.85.6; M.34.1098A); γυνὴ χηρὰ ἐπὶ δεύτερον γάμον ὁρμάτω εἴτε ἐν μ. τοῖς παρ' ἡμῶν ἀρτίως συσταθεῖσιν ἀποτασσέσθω, εἰ μὴ βούλοιτο γάμῳ προσορμῆσαι †Gregent.*leg.Hom.*49(M.86.608B).

***μοναστής, ὁ,** *monk*, Bas.*ep.*170(3.259C; M.32.645A); Gr.Naz.*or.* 43.34(M.36.541C); οὗτος μ. ὃς θεῷ ζῇ καὶ μόνῳ id.*carm.*1.2.34.177(M. 37.958A); Cyr.*Is.*5.5(2.867A).

***μοναστικός, 1.** *solitary* μ. ὁ βίος αὐτοῦ [sc. lion], οὐδενὶ τῶν ζῴων κοινωνῶν ‡Eust.*hex.*(M.18.737D); ἥμερον καὶ κοινωνικὸν ζῷον ὁ ἄνθρωπος, καὶ οὐχὶ μ., οὐδὲ ἄγριον Bas.*reg.fus.*3.1(2.340C; M.31. 917A); κίνδυνος παρέπεται τῇ μ. ζωῇ *ib.*7.3(347B; M.932C); neut. as subst., id.*hex.*9.3(1.82B; M.29.192C); **2.** *proper to a solitary* τὴν μ. σεμνότητα Soz.*h.e.*1.13.10(M.67.900A); μ. τλητπαθείας *ib.*1.13.14 (900B); neut. plur. as subst., *life of a solitary* ἐμ' εἶχε τῶν μ. πόθος Gr.Naz.*carm.*2.1.11.327(M.37.1052A).

μονάστρια, ἡ, *nun*, Chrys.*ep.*14.2(3.596A); Isid.Pel.*epp.*1.367 tit. (M.78.389C); μ. ... μετ' ἄλλων...παρθένων ἐποιεῖτο τὴν οἴκησιν. ἐτῶν γὰρ ἦν ὡσεὶ δώδεκα Sophr.H.*mir.Cyr.et Jo.*44(M.87.3589B); μοναχῶν καὶ μ. παρθένων *Chron.Pasch.*p.385(M.92.988B); μὴ ἐχέτω παρρησίαν μοναχὸς πρὸς μονάστριαν ἢ μ. πρὸς μοναχὸν ἰδίᾳ προσομιλεῖν CNic.(787) *can.*20; *woman under religious vows, virgin* μ. τις...ἐκάθητο εἰς τὸν ἴδιον οἶκον, ἡσυχάζουσα καὶ φροντίζουσα τῆς ἰδίας ψυχῆς, ἐν νηστείαις καὶ προσευχαῖς...διατελοῦσα Jo.Mosch.*prat.*60(M.87.2912D).

***μοναύλιος,** *celibate*, Philost.*h.e.*3.4(M.65.484A).

μοναχή, ἡ, *nun*, Thdr.Stud.*poen.*2.54(M.99.1756B).

μοναχικός, *of* or *for monks, monastic*, Nil.*epp.*2.136(M.79.257A); φιλοσοφία Isid.Pel.*epp.*1.1(M.78.177A); γυμνασία *ib.*1.92(245B); κελλίον *Apophth.Patr.*(M.65.148A); σχήματος *ib.*(416D); συνοικιῶν Soz. *h.e.*3.14.38(M.67.1081A); καταγώγιον Thdt.*h.rel.*3(3.1148); ἡ μ. ὑπερηφανία ἐστὶν ὅτε κενοδοξεῖ τις, ὡς ἀγρυπνῶν, ὡς νηστεύων Dor. *doct.*2.5(M.88.1645B); μυστήριον μοναχικῆς τελειώσεως Dion.Ar.*e.h.* 6.2(M.3.533A); τὴν μ. τάξιν οὐκ εἶναι προσαγωγικὴν ἑτέρων, ἀλλ' ἐφ' ἑαυτῆς ἑστῶσαν ἐν μ. καὶ ἱερᾷ στάσει *ib.*6.3.1(533C); neut. as subst., *band* or *body of monks*, *Apophth.Patr.*(M.65.149C); Evagr.*h.e.*2.5 (p.52.9; M.86.2513A); *monastic life*, Jo.Mosch.*prat.*59,69(M.87.2912C, 2921B); *V.Dan.*9(p.258.11); *Schol.* in CNic.*can.*12(*Mon.*2 p.644); as title of book, *Monasticism*, Socr.*h.e.*3.7.22(M.67.396B).

***μοναχικῶς,** *like, in the manner of a monk*, Thdt.*h.rel.*9(3.1191); γυναικῶν καὶ ἀνδρῶν, κοσμικῶς τε καὶ μοναχ⟨ικ⟩ῶς †Jo.Jej.*poenit.* (M.88.1913A).

μοναχός, ὁ, *monk*; **A.** etym. μοναχοὺς ὀνομάζοντες, ἐκ τῆς τοῦ θεοῦ καθαρᾶς ὑπηρεσίας...καὶ τῆς ἀμερίστου καὶ ἑνιαίας ζωῆς, ὡς ἑνοποιούσης αὐτοὺς...εἰς θεοειδῆ μονάδα Dion.Ar.*e.h.*6.1.3(M.3.533A); τῇ μοναδικῇ πολιτείᾳ τοῦτο παρὰ τὰ λοιπὰ οἰκειότερον, τὸ παρθενεύειν, ὃ καὶ βούλεται ἡ τοῦ μ. προσηγορία *Schol.*24 in Jo.Clim.*scal.*15(M.88. 912D).

B. descriptions and characteristics; **1.** in gen. μακάριός ἐστι μ., ὁ πάντων περίψημα ἑαυτὸν λογιζόμενος...ὁ πάντων τὴν σωτηρίαν, καὶ προκοπήν, ὡς οἰκείαν κατὰ πάσης χαρᾶς ὁρῶν...ὁ πάντας ἀνθρώπους ὡς θεὸν μετὰ θεὸν λογιζόμενος. μ. ἐστιν, ὁ πάντων χωρισθείς, καὶ πᾶσι

συνηρμοσμένος...ὁ ἑαυτὸν μετὰ πάντων ἡγούμενος διὰ τὸ ἐν ἑκάστῳ ἑαυτὸν ἀπαραλείπτως δοκεῖν ὁρᾶν Evagr.Pont.*or.*121–125(M.79.1193B,C); Chrys.*hom.70.5 in Mt.*(7.693B); διὸ καὶ τοὺς...μ. ἐπαινῶ ...μετὰ τὸ δεῖπνον τοίνυν λέγοντές τινας εὐχαριστηρίους ὕμνους εἰς τὸν θεόν...τοῦ φοβεροῦ δικαστηρίου...ἑαυτοὺς ἀναμιμνήσκουσιν. εἰ δὲ ἐκεῖνοι, οἱ καὶ νηστείαις, καὶ χαμευνίαις, καὶ ἀγρυπνίαις, καὶ σάκκῳ, καὶ μυρίοις ἑαυτοὺς σωφρονίζοντες, ἔτι καὶ ταύτης δέονται τῆς ὑπομνήσεως· πότε δυνησόμεθα ἡμεῖς ἐπιεικῶς ζῆν...μηδὲ ὅλως εὐχόμενοι; *ib.55.5*(560E,561C); τοιαύτην δὲ ὁ μ. ἀρχὴν...κέκτηται, ὥστε δικαιότερον ἂν τις τοῦτον βασιλέα καλέσειεν, ἢ τὸν...στεφάνῳ λαμπόμενον id.*comp.*1(1.117C); συνετὸς μ. τῇ χρείᾳ προσέξει τοῦ σώματος, καὶ τὴν ἔνδειαν τῆς γαστρὸς ἄρτῳ πληρώσει καὶ ὕδατι, οὐ κολακεύσει πλουτοῦντας δι' ἡδονὴν γαστρός, οὐδὲ δουλώσει νοῦν ἐλεύθερον δεσπόταις πολλοῖς· ἱκαναὶ γὰρ αἱ χεῖρες ὑπηρετῆσαι τῷ σώματι...ἀκτήμων μ., ἀθλητὴς ἀμεσολάβητος, καὶ δρομεὺς κοῦφος, ταχέως φθάνων ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως Nil.*spir.mal.*8(M.79.1153A); μ. ἐστιν, τάξις καὶ κατάστασις ἀσωμάτων, ἐν σώματι ὑλικῷ...ἐπιτελουμένη. μ. ἐστιν ὁ μόνον τῶν τοῦ θεοῦ ἐχόμενος ὅρων καὶ λόγων ἐν παντὶ καιρῷ...μ. ἐστιν βία φύσεως διηνεκής, καὶ φυλακὴ αἰσθήσεων ἀνελλιπής. μ. ἐστιν ἡγνισμένον σῶμα, καὶ κεκαθαρμένον στόμα, καὶ πεφωτισμένος νοῦς. μ. ἐστιν κατώδυνος ψυχὴ ἐν διηνεκεῖ μνήμῃ θανάτου ἀδολεσχοῦσα, καὶ ὑπνώττουσα, καὶ γρηγοροῦσα Jo.Clim.*scal.*1(M.88.633B,C); *ib.*4(704D); *ib.*23(969A); μ. ἐστίν, ὁ τῶν ὑλικῶν πραγμάτων τὸν νοῦν ἀποχωρίσας· καὶ δι' ἐγκρατείας καὶ ἀγάπης καὶ ψαλμωδίας καὶ προσευχῆς προσκαρτερῶν τῷ θεῷ Max.*carit.*2.54(M.90.1001C); ὁ μὲν τοῖς πράγμασιν ἀποταξάμενος, οἷον τῇ γυναικὶ καὶ τοῖς χρήμασι...τὸν ἔξω ἄνθρωπον ἐποίησε μ.· οὔπω δὲ καὶ τὸν ἔσω. ὁ δὲ τοῖς τούτων ἐμπαθέσι νοήμασι, τὸν ἔσω ἄνθρωπον, ὅ ἐστιν ὁ νοῦς. καὶ τὸν μὲν ἔξω ἄνθρωπον, εὐκόλως τις ποιεῖ μ., μόνον ἐὰν θελήσῃ· οὐκ ὀλίγος δὲ ἀγών, τὸν ἔσω ἄνθρωπον ποιῆσαι μ. *ib.*4.50(1060A,B); **2.** special traits: having all things in common, Bas.*ascet.*1.5(2.322C; M.31.880A); but no special friendships, *ib.*(322D; M.880A); poverty, id.*ascet.disc.*1(2.211E; M.31.648C); ἡσυχία Chrys.*hom.70.5 in Mt.*(7.694A); Nil.*inst.*(M.79.1236B); withdrawal τοσαύτην χάριν ὁ θεὸς...τοῖς μ. ἐδωρήσατο, ὥστε τούτους μὲν μὴ θέλειν τὴν ἀνθρωπίνην δόξαν...ἀλλὰ...σπουδάζειν μᾶλλον λανθάνειν τοὺς ἀνθρώπους διὰ τὸ ἐγκαταμίξαι ἑκουσίως ἑαυτοὺς τοῖς εὐτελέσι ...τῶν ἀδελφῶν· πολλοὺς δὲ μεγιστᾶνας...εἶθ' ἑκουσίως, εἶτ' ἀβουλήτως διά τινος περιστάσεως προσφεύγειν τοῖς ταπεινοῖς id.*epp.*1.1(M.79.81A); stability, *ib.*1.295(189D); cf.*ib.*2.72(232D); moderation ἔστι ...τῷ μὲν μ. καὶ ἀμπεχόνη καὶ τράπεζα μετρία Chrys.*comp.*3(1.118D); in speech, Nil.*epp.*3.229(489B); τὸν ἐν φρονήμασι μ. δόκιμον εἶναι χρὴ ζυγοστάτην, μηδενὶ μέρει τῶν πλαστίγγων καταρρέπειν παραχωροῦντα, μήτε τῇ ἀσιτίᾳ, εἰς ἀτονίαν, μήτε πολυσιτίαν εἰς ἀσωτίαν *ib.*3.242(496C); ῥήμασι γλυκυτάτοις λαλείτω μ. Hyper.*mon.*113(M.79.1484C); fear of God, *ib.*1(1173A); mercy, *ib.*22(1476B); truthfulness, *ib.*63(1480B); meekness, *ib.*104(1484B); patience, *ib.*135(1485D); obedience, v. *ὑπακοή*; **3.** tonsure and habit ἡ δὲ τῶν τριχῶν ἀπόκαρσις ἐμφαίνει τὴν καθαρὰν καὶ ἀσχημάτιστον ζωήν...μοναχοῖς εἰς τὸ θεοειδέστατον ἀναγομένην Dion.Ar.*e.h.*6.3.3(M.3.336A); significance of various parts of monastic habit, Dor.*doct.*1.12f.(M.88.1632C–1636A); Max. *qu.dub.*67(M.90.840B–841C).

C. occupations and duties; **1.** to set example χρεωστοῦμεν οἱ μ., ὡς δι' ἑαυτούς, οὕτως καὶ διὰ τοὺς ὁρῶντας ἀνθρώπους φαίνειν τῷ βίῳ, οὐ τῇ σάλπιγγι τῆς ἐπιδείξεως...ἀλλ' ὡς πυρσὸς ἐν σκοτίᾳ *Schol.*27 in Jo.Clim.*scal.*26(M.88.1041D); **2.** prayer τὸν μ. μὲν ὀψόμεθα τῇ τοῦ θεοῦ λατρείᾳ, καὶ ταῖς εὐχαῖς κοσμούμενον, πολὺ πρότερον ᾄδοντα τῶν ὀρνίθων...θεῷ συλλαλοῦντα Chrys.*comp.*3(1.118D); Hyper.*mon.*95 (M.79.1481D); and chanting, *ib.*39(1477B); **3.** watching ξίφος κατὰ τῶν παθῶν ἐγρήγορσις μοναχοῦ *ib.*91(1481C); fasting, *ib.*80(1481B); **4.** agriculture τὴν πόλιν ἀφέντα πρὸς τὸ ὄρος φυγεῖν, καὶ φυτεύειν ἐκεῖ, καὶ ἄρδειν, καὶ ὑδροφορεῖν, καὶ τὰ ἄλλα δὴ πάντα τὰ τῶν μ. ποιεῖν Chrys.*oppugn.*2.2(1.59B).

D. cenobites contrasted with solitaries οὐχ οὕτως μ. ὡς μοναχὸς μοναχῷ. ὁ μ. νήψεως πολλῆς, καὶ ἀρεμβάστου νοὸς δέεται· τῷ μὲν προτέρῳ πολλάκις ἐβοήθησεν ἕτερος· τῷ δὲ δευτέρῳ συνήργησεν ἄγγελος Jo.Clim.*scal.*27(M.88.1097C); οἶμαι αὐτὸν τοῦτο λέγειν, ὅτι οὐχ οὕτως σώζεται τοῦ ὀλισθαίνειν ὁ μόνος, ὡς ὁ ἔχων μ. ἕτερον μεθ' ἑαυτοῦ μ. ... διὸ οὐχ οὕτως μ. ὡς μοναχὸς μοναχῷ· τοῦτ' ἔστιν, οὐ καλὸν οὕτως τὸ μόνον εἶναι, ὡς τὸ ἔχειν καὶ ἄλλον ἕνα *Schol.*3 ad loc.(M.88.1101D).

E. grades of perfection τρεῖς εἰσιν ἠθικαὶ καταστάσεις γενικώτεραι ἐν τοῖς μ. καὶ πρώτη μέν, τὸ μηδὲν ἁμαρτάνειν κατ' ἐνέργειαν· δευτέρα δέ, τὸ μὴ ἐγχρονίζειν ἐν τῇ ψυχῇ τοὺς ἐμπαθεῖς λογισμούς· τρίτη δέ, τὸ τὰς μορφὰς τῶν γυναικῶν, καὶ τῶν λυπησάντων ἀπαθῶς θεωρεῖν κατὰ διάνοιαν Max.*carit.*2.87(M.91.1013A).

F. in rel. to angels ἥδιον ἰδεῖν ἐρημίαν σκηνὰς ἔχουσαν μοναχῶν συνεχεῖς...καὶ γὰρ ἄγγελοι κατάγονται πρὸς αὐτούς, καὶ ὁ τῶν ἀγγέλων δεσπότης Chrys.*hom.69.3 in Mt.*(7.684A,B); ἐπὰν...μ. γαυρούμενος τῷ ὕψει τῆς πολιτείας, τὴν ὑπερηφάνειαν ἀσπάσηται...ἀπολείπουσιν οἱ ἄγγελοι τὸν ἀλαζονευόμενον Nil.*epp.*1.326(M.79.200C); ζωὴ τοῦ μ. κατὰ μίμησιν ἀγγέλου γινέσθω καταφλέγουσα ἁμαρτίαν Hyper.*mon.*25(M. 79.1476C); ἰσάγγελος ἔσται μ. κοιλίας καταφρονῶν *ib.*53(1480A).

G. in rel. to seculars; **1.** difference of state ἂν εἷ κοσμικός, ἐν τῇ διαγωγῇ τῶν κοσμικῶν ἀγαθῶν ἀναστρέφου. εἰ δὲ μ. εἶ, ἐν τοῖς ἔργοις, ἐν οἷς ἀριστεύουσιν οἱ μ. διάτριψον. εἰ μέντοι ἐν ἑτέροις βούλει ἀναστραφῆναι, ἀπὸ τῶν δύο πεσεῖν μέλλεις *Schol.*13 in Jo.Clim.*scal.*3 (M.88.676A); hence τὰ τῶν κοσμικῶν κατορθώματα, πτώματά εἰσι τῶν μ. καὶ τῶν μ. κατορθώματα, πτώματά εἰσι τῶν κοσμικῶν. οἷον, τὰ τῶν κοσμικῶν κατορθώματα πλοῦτός ἐστι καὶ δόξα...εἰς ἅπερ ἐλθὼν ὁ μ., ἀπόλλυται. τὰ δὲ τοῦ μ. κατορθώματα, ἀκτημοσύνη, ἀδοξία...εἰς ἅπερ ἐλθὼν ὁ φιλόκοσμος παρὰ πρόθεσιν, πτῶμα ἡγεῖται μέγα Max. *carit.*3.85(M.90.1044A); **2.** interprn. of difference in dress ἐπείθου μοι...τίνος χάριν οἱ μὲν μ. στολιζόμενοι ἐπὶ τοῦ ἀριστεροῦ ἀναβάλλονται ὦμου, γυμνοῦντες ὅλον τὸ εὐώνυμον μέρος, οἱ δὲ φοροῦντες κοσμικοὶ τὰς χλανίδας τὸ δεξιὸν μέρος τοῦ σώματος τοῖς πᾶσι φανερὸν καθιστῶσιν. ... οἱ μὲν μ. τῷ κυρίῳ πειθόμενοι λέγοντι· 'ὅπερ ποιεῖ ἡ δεξιά σου, μὴ γνώτω ἡ ἀριστερά', τουτέστιν, αἱ ἀγαθαὶ πράξεις... λανθανέτωσαν τὴν λοιμώδη κενοδοξίαν...ἀριστερὰ γὰρ ἀληθῶς ἐστιν ἡ τοιαύτη κατάστασις, δικαίως τὰ μὲν ἑαυτῶν κατορθώματα κρύπτουσιν ἐκ τῶν ἀνθρώπων· τὰ δὲ οἰκεῖα ἐλαττώματα ἐνώπιον ἁπάντων ἐξαγορεύειν εἰώθασιν. οἱ δέ γε βιωτικοὶ κενόδοξοι...τὰ μὲν ἑαυτῶν μυρία κακὰ πράγματα καλύπτουσι, προσποιησάμενοι δὲ μίαν τινὰ ἀρετὴν ἀπεργάσασθαι Nil.*epp.*2.245(M.79.325D); **3.** other differences: monks sin less easily than seculars, Chrys.*oppugn.*3.15(1.104C); id.*hom. 68.3 in Mt.*(7.673C); their mouths compared to pure fountains, those of seculars to sewers, *ib.68.5*(677A); παρὰ μὲν κοσμικοῖς ῥίζα πάντων τῶν κακῶν ἡ φιλαργυρία, παρὰ δὲ μ. μᾶλλον ἡ γαστριμαργία ‡Nil.*vit.cog.*(M.79.1444B); obligations of monks much stricter, Dion.Ar.*e.h.*6.3.2(M.3.533D); **4.** but monks and laity must observe same moral principles and devotional practices, and receive same divine blessings, Chrys.*hom.55.6 in Mt.*(7.564C); *ib.7.7* (116B); id.*hom.7.4 in Heb.*(12.80A); **5.** in rel. to women βίος μοναχοῦ ἀκηλίδωτος ἔστω, μὴ χλευαζόμενος ὑπὸ γυναικαρίων σεσωρευμένων ἁμαρτίαις. βέλος γὰρ πειρατηρίου ἐστὶν ἡ γυνή Hyper.*mon.*7 (M.79.1473B).

H. monks and vice; for temptations to *ἀκηδία* v.s.v.; **1.** bad opp. good monks μ. φιλοκτήμων καὶ πλούσιος, κοσμικὸς κτήτωρ· μ. δὲ πένης, οὐράνιος πολίτης Ephr.3.151B, et passim; γαστρίμαργος μ., κοιλίας ὑπόφορος, καὶ μαστιζόμενος ἀπαιτεῖται δασμὸν ἡμερούσιον. ὁδοιπόρος ὀξὺς ταχέως καταλήψεται πόλιν, καὶ μ. ἐγκρατὴς εἰρηνικὴν κατάστασιν· ὁδοιπόρος βραδὺς ἐν ἐρημίᾳ αὐλισθήσεται ὕπαιθρος, καὶ μ. γαστρίμαργος οὐ φθάσει εἰς οἶκον ἀπαθείας Nil.*spir.mal.*2(M.79. 1145C–1148A); *ib.*7(1152C); πολυκτήμων μ. χαίρει προσόδοις πολλαῖς, ὁ δὲ ἀκτήμων στεφάνοις κατορθωμάτων. φιλάργυρος μ. ἐργάζεται σφοδρῶς, ὁ δὲ ἀκτήμων προσευχαῖς σχολάζει. ... φιλάργυρος μ. πληροῖ ταμεῖα χρυσοῦ, ὁ δὲ ἀκτήμων θησαυρίζει ἐν οὐρανῷ *ib.*8(1153B); ὁ πανοῦργος ἀνθρωπάρεσκος...καιροὺς θηρεύει, καὶ προσώποις δουλεύει, ὅπως πληροφορήσῃ τὸ πολυτροπώτατον τῆς ἀνθρωπαρεσκείας πάθος· κρύπτειν πειρᾶται τὰ ἑαυτοῦ κακὰ διὰ τῆς τῶν ἀλλοτρίων ἐρωτήσεως. οἱ δὲ ὄντως μ. οὐχ οὕτως, ἀλλὰ τοὐναντίον, τὰ τῶν ἄλλων συμπαθῶς παρορῶσι· τὰ δὲ αὐτῶν τῷ θεῷ φανεροποιοῦσι Marc.Er.*opusc.*7.13 (M.65.1089D); μ. φιλόθεος σάλπιγγος προσευχῆς σημαινούσης λέγει· εὖγε, εὖγε· ὁ δὲ ῥᾳθυμὸς λέγει· οἴμοι, οἴμοι Jo.Clim.*scal.*20(M.88. 941A); μ. ταπεινόφρων οὐ πολυπραγμονήσει ἄρρητα· ὁ δὲ ὑπερήφανος πολυπραγμονήσει κρίματα *ib.*25(992C); **2.** special faults: vainglory and pride, Nil.*spir.mal.*15(M.79.1160D); *ib.*19(1164C); ‡Nil.*vit.cog.* (M.79.1461A); Jo.Clim.*scal.*23(M.88.969B); Max.*carit.*3.84(M.90. 1041D); combined with gluttony, Jo.Clim.*scal.*14(864D); avarice, not natural to monks, but if it takes root in them, all the more difficult to eradicate, ‡Nil.*vit.cog.*(1449B); *ib.*(1452B); laziness, Chrys.*compunct.*1.8(1.132B); wrath, Hyper.*mon.*98(M.79.1484A); evil thoughts, Nil.*inst.*(M.79.1237B).

I. in rel. to devils ἀποτυποῦντες ἑαυτοὺς εἰς σχήματα μοναχῶν, ὡς εὐλαβεῖς προσποιοῦνται λαλεῖν, ἵνα τῷ ὁμοίῳ σχήματι πλανήσωσι, καὶ λοιπὸν ἔνθα θέλουσιν ἑλκύσωσι τοὺς ἀπατηθέντας παρ' αὐτῶν Ath.*v. Anton.*25(M.26.881A); ζέων τῷ πνεύματι μ. ἀποδιώκει τὸν διάβολον· ζηλῶν δὲ μ. ἀδίκως τὸν ἀδελφὸν αὐτοῦ, ἐπισπᾶται τὸν διάβολον Hyper. *mon.*29(M.79.1476D); τῆς καρτερᾶς μάχης τῶν μ., τῆς πρὸς τοὺς ἀλάστορας δαίμονας Nil.*epp.*1.257(M.79.188A); v. δαίμων.

J. comparison with priests and bishops μέγας ὁ τῶν μ. ἀγών ...ἀλλ' εἴ τις καλῶς διοικουμένῃ ἱερωσύνῃ τοὺς ἐκεῖθεν ἱδρῶτας παραβάλοι, τοσοῦτον εὑρήσει τὸ διάφορον, ὅσον ἰδιώτου καὶ βασιλέως τὸ μέσον Chrys.*sac.*6.5(p.150.3; 1.425C); bishops more exposed to

temptation than monks, hence greater virtue required in them, *ib.*6.8(p.155.8; 427D); monks should help bishops by their prayers, id.*Philogon.*6.3(1.496D).

K. various comparisons: monk's carefree state compared with that of Adam before Fall, Chrys.*hom.68.3 in Mt.*(7.674A); with an altar *θυσιαστήριον κυρίου λέγεται ὑπάρχειν ὁ μ.,...ἐν ᾧ καὶ ἐξ οὗ εὐχαὶ καθαραὶ προσφέρονται τῷ...θεῷ, θυσιαστήριον πνευματικῶς ἱδρυμένον* Nil.*epp.*3.32(M.79.388A); *ἁπλοῦς μ., ἄλογον λογικόν, ὑπήκοον, τὸ οἰκεῖον φορτίον τελείως τῷ ἄγοντι ἀποθέμενος* Jo.Clim.*scal.*24(M.88.984C).

L. of order of monks *τῶν μ. τάξις* Ath.*v.Anton.*44(M.26.908B); highest of non-sacerdotal orders, Dion.Ar.*e.h.*6.1.3(M.3.532C); *ib.* 6.2.5(536D).

M. points of character and conduct; fortitude needed for embracing monastic life, Bas.*renunt.*2(2.204B; M.31.632A); alms not to be exacted by force, Nil.*epp.*1.129(M.79.137C); occasional good food not to be condemned, *ib.*1.287(188B).

N. examples for monks; Jo. Bapt. and Elijah, Hyper.*mon.*48 (M.79.1477D); S. Paul's humility, *ib.*72(1480D); publican in parable, *ib.*73; Moses' meekness, *ib.*74.

O. monk and scripture *ἄσκησις μοναχοῦ, μελέτη γραφῶν* Hyper. *mon.*4(M.79.1473A); *ib.*42(1477B).

μονάχουσα, ἡ, = *μοναχή,* †Jo.Jej.*serm.*(M.88.1932C).

μοναχῶς, 1. *alone, uniquely,* of H. Ghost *τὸ μὴ ἐν τῷ πλήθει τῆς κτίσεως τετάχθαι, ἀλλὰ μ. ἐκφωνεῖσθαι* Bas.*Spir.*45(3.38D; M.32. 152A); **2.** *in unity* *ἔχει πάντα ἀριθμὸν ἡ μονὰς ἐν ἑαυτῇ μ.* Dion.Ar.*d.n.* 5.6(M.3.820D); *in the singular*; of the Godhead, Gr.Nyss.*Trin.*4 (p.74.10; M.32.688C); of Trin., id.*Eun.*1(1 p.113.28; M.45.348D); of collective nouns, id.*tres dii*(M.45.120D); **3.** *in one way,* opp. *τετραχῶς,* ‡Just.*confut.*54(M.6.1553B); **4.** v. *μοναχικῶς.*

***μονερημίτης, ὁ,** *hermit, solitary,* †Jo.D.*B.J.*21(M.96.1060B); v. *μονηρεμίτης.*

μονή, ἡ, 1. *abode, lodging*; **a.** lit., *Hom.Clem.*1.15; Chrys.*stat.*5.2 (2.61E); **b.** fig. and met., of resting places of atoms, Clem.*str.*5.6 (p.349.17; M.9.61A); Dion.Al.ap.Eus.*p.e.*14.25(776D; M.21.1277C); of situation of unregenerate man *ἡ ἀνθρωπεία φύσις...ἔχουσα... ἀσεμνον οἰκητήριον, μ. ἀκαλλώπιστον* Mac.Mgn.*apocr.*4.18(p.194.10); *μ. ... τῆς ἁγίας τριάδος εἰρηνευομένη διάνοια* Nil.*spir.mal.*10(M.79. 1156A); of BMV *εἰς τὴν κρειττοτέραν πασῶν μονῶν μονὴ γενομένη τῆς ὁμοουσίου τριάδος, ἡ ἀκατάλυτος μ.* Mod.*dorm.*3(M.86.3285B); **c.** esp. of heaven, ref. Jo.14:2 *τὰ βρέφη ἐξαμβλωθέντα...ἀγγέλῳ... παραδίδοσθαι, ἵνα γνώσεως μεταλαβόντα τῆς ἀμείνονος τύχῃ μ. Apoc. Petr.*B 2; Clem.*str.*4.26(p.322.8; M.8.1376B); *ib.*6.13(p.485.3; M.9. 328A); *ὠνεῖται χρημάτων τις ἀφθαρσίαν, καὶ δοὺς τὰ διολλύμενα τοῦ κόσμου μ. τούτων αἰώνιον ἐν οὐρανοῖς ἀντιλαμβάνει* id.*q.d.s.*32(p.181.7; M.9.637B); *μεταρσίους μ.* Mac.Mgn.*apocr.*2.20(p.40.18); *τὰς ἄνω μ.* Cyr.*Is.*2.5(2.340E); id.*Am.*33(3.287A); id.*Mich.*23(3.411E); exeg. Jo. 14:2 *ἀγγεῖα αἱ διάφοραι μ.* Or.*schol.in Mt.*13:47(M.17.297A); Bas. *Eun.*3.2(1.273C; M.29.657C); *μ. εἶπεν τὴν διηνεκῆ τῶν ἀγαθῶν ἀπόλαυσιν, ἀπὸ τοῦ ἐν οἰκίαις ἡμᾶς πᾶσαν ἄνεσιν καὶ ἀπόλαυσιν ἔχειν* Thdr.Mops.ad loc.(M.66.776A); *τὸ διάφορον τῆς τιμῆς τῷ πολλὰς εἶναι τὰς μ. ὑποσημῆναι βούλεται* Cyr.*Jo.*9(4.763D); *πολλαὶ μ. ... τουτέστιν ἀξιωμάτων διαφοραί· ἄλλο γὰρ τάγμα πατριαρχῶν, καὶ ἄλλο προφητῶν, ἄλλο ἀποστόλων, καὶ ἄλλο μαρτύρων* Thdt.*Cant.*1:3(2.32); id.*1Cor.*16:41(3.278); Gnost. *εἰ ὁ τόπος διαφέρει καὶ ἡ μ. τοῦ παντοκράτορος λείπεται ἀπὸ τῆς τοῦ ἀγαθοῦ θεοῦ μ.* Clem.*str.*5.1(p.328.17; M.9.13B); *αἱ γραφαὶ...ἐκτεθεῖσαι ὑπὸ τῶν αἱρεσιαρχῶν...περὶ τῶν μ. τοῦ στερεώματος* Philox.*ep.*36(p.184); **2.** *apartment,* met. *ῥοὰ... ἔνδον ἔχει μ. καὶ θήκας πολλὰς διαχωριζομένας διὰ ὑμένων* Thphl.Ant. *Autol.*1.5(M.6.1032A); **3.** *hostel, PLond.*1914.16 (335) unless in sense 4; *stopping-place* marking end of a day's journey, Ath.*v.Anton.*86 (M.26.964B); **4.** hence freq., *distance between two stops, stage* *ἀπὸ τριάκοντα καὶ ἓξ μ. ἐν Ἀντιοχείᾳ* Ath.*apol.sec.*29(p.109.1; M.25. 297A); *ὁδευσάντων ἡμῶν μ. λε'* Jo.Disc.*v.Epiph.*14(M.41.40C); Nil. *epp.*4.62(M.79.980C); met., *stage* in progress, Clem.*str.*2.18(p.165.13; M.8.1037B); *διὰ...παιδείας ἀπεκδυσάμενος τὰ πάθη ὁ πιστὸς ἡμῖν μέτεισιν ἐπὶ τὴν βελτίονα τῆς προτέρας μονήν ib.*6.14(p.486.25; M.9. 332A; *μονῆς* MSS); *τῷ ἁγίῳ πνεύματι ἐλκόμενοι οἱ μὲν ἐνάρετοι οἰκειοῦνται τῇ πρώτῃ μ., ἐφεξῆς δ' ἄλλοι μέχρι τῆς τελευταίας ib.*7.2(p.8. 25; 413A); *κατὰ προκοπὴν ἀφίζονται* [sc. *οἱ δίκαιοι*] *ἐπὶ τὴν πρώτην μ.* id.*ecl.*56(p.153.19; M.9.725B); **5.** *dwelling of* one or more *monks* or *nuns*; **a.** *cell* *ὑποστρέψαντες εἰς τὰς μ. αὐτῶν, εἶχοντο τῆς προκειμένης ἀσκήσεως* Pall.*v.Chrys.*6(p.38.5; M.47.23); *περὶ ὥραν ἐννάτην...ἀφ' ἑκάστης μ. ψαλμῳδίαι ἐξέρχονται* id.*h.Laus.*7(p.26.7; M.34.1020C); Gr.Nyss.*v.Macr.*(p.388.20; M.46.976D); **b.** *monastery, PLond.*1913. 2 (334); Pach.*reg.*B 49(M.40.949A); Ath.*apol.sec.*67(p.145.18; M.25. 368C); *τὴν τῆς μ. φροντίδα καὶ τῶν ἀδελφῶν* Gr.Naz.*ep.*219(M.37. 357C); *Αὐδιανοὶ...τὰς ἑαυτῶν μ. ἤτοι μάνδρας ἔχουσιν* Epiph.*haer.*70.1 (p.232.18; M.42.340A); Pall.*h.Laus.*21(p.63.20; M.34.1068D); *τοῦ τῆς μ. ἡγεμονεύοντος* Thdt.*h.rel.*3(3.1149); *κατὰ τὴν Θηβαΐδα μ. τινα... χιλίους μοναχοὺς ἔνδον ἔχουσαν* ‡Pall.*h.mon.*19(p.78.13; M.34.1175C); Cyr.S.*v.Euthym.*44(p.65.20); v. *κοινόβιον*; of women's convent, Pach.*reg.*B 49(M.40.952D); Pall.*h.Laus.*11(p.32.19; 1033D); Sergia *Olymp.*2(p.44.15); **c.** met., *monastic life* *μ. δέ μοι σύνταγμα πρὸς σωτηρίαν* Gr.Naz.*carm.*1.2.34.178(M.37.958A); *τρόπων γὰρ εἶναι τὴν μ., οὐ σωμάτων ib.*2.1.11.329(1052A).

μονήμερος, *of a single day*; neut. as subst. *ἐν μ.* ‡Pall.*h.mon.*13 (M.34.1161C; *ἐν μιᾷ ἡμέρᾳ* p.66.5).

***μονηρεμίτης, ὁ,** for *μονερημίτης,* Nil.*Eulog.*20(M.79.1120B).

μονήρης, 1. *solitary,* epithet of *βίος*; **a.** *single, unmarried,* Clem. *str.*7.12(p.51.5; M.9.497C); *ib.*3.9(p.226.23; M.8.1169A); **b.** *eremitical,* Bas.*reg.br.*74(2.441B; M.31.1133C); Mac.Aeg.*hom.*45.1(M.34.785C); *ἐν τῇ ἀδελφῶν πολιτείᾳ...καὶ τῷ μ. βίῳ* Pall.*h.Laus.*proem.(p.10.1; M. 34.1002); *ib.*1(p.16.16; 1010B); *Apophth.Patr.*(M.65.88C); **c.** *monastic* in gen., Ath.*ep.mon.*(M.26.1185C); †Bas.*ep.*42.1(3.125B; M.32.348B); Chrys.*sac.*6.7(p.154.12; 1.427B); Cyr.*ep.*1(p.10.2; 5^2.1A); *τὸν μ. φιλοσοφούντων βίον* Diad.*perf.*9(p.10.24); Thdt.*Ps.*118:108(1.1465); Dor.*doct.*1.10(M.88.1628D); *τὸν ἀγγελικὸν καὶ μ. βίον* Eustrat.*v.Eutych.* 1.4(M.86.2286A); written as one word *μονηρίβιον,* Ephr.3.336A; without *βίος*: *μ. σχολῇ* Isid.Pel.*epp.*1.220(M.78.321A); **2.** *sole, unique* *ὦ τῆς μ. δυνάμεως πάτερ* Const.ap.Gel.Cyz.*h.e.*3.19.26(M.85.1352A).

***μονήρια, ἡ,** *virgin, ascetic,* Mac.Mgn.*apocr.*2.7(p.7.20).

***μονηρίβιος,** v. *μονήρης.*

***μόνητα (*μόνιτα), ἡ,** (Lat. *moneta*) **1.** *mint,* Jo.Mal.*chron.*12 p.308(M.97.464B); **2.** *coinage, coined money, μόνιτα,* Cosm.Ind.*top.* 11(M.88.448D); Thphn.*chron.*p.18(M.108.104B); *ib.*p.305(741B); **3.** a *coin* of unstated value, †Gregent.*leg.Hom.*43(M.86.605A).

***μονητήριον, τό,** *resting-place,* Mac.Mgn.*apocr.*3.11(p.78.14); *ib.* 3.12(p.82.20); *ib.*4.12(p.176.11).

***μονητικός,** *solitary,* Leont.et Jo.*sacr.*2(M.86.2097D).

μονία, ἡ, 1. *steadfastness, stability,* Ephr.2.109C; **2.** *solitude* *τῷ ἐθίσαντι ἐν κοινοβίῳ, δυσχερὴς ἡ μ.* id.2.105B; Jo.Clim.*scal.*27(M.88. 1112D); †Jo.D.*B.J.*12(M.96.968C); of a widow, Steph.Diac.*v.Steph.* (M.100.1184A); **3.** *independence* *μ. καὶ αὐτοβουλία* Ephr.3.255F.

***μονίδια, τά,** *group of cells, monastery,* Jo.Mosch.*prat.*151(M.87. 3016D); *ib.*152(3017A).

μονιμότης, ἡ, 1. *permanence, eternity*; of God, Dion.Ar.*d.n.*2.4(M. 3.640D); Max.*ambig.*(M.91.1288D); of Logos, *ib.*(1317D); id.*ep.*15(M. 91.556A); **2.** *fast dye,* fig. *ἀνέκπλυτον μονιμότητα ἐμμολυνθεῖσα ψυχή cat.Apoc.*12:9(p.361.27).

μονιός, ὁ, *solitary wild boar,* ref. Ps.79:14, cited to describe persecution of Church, *M.Pion.*12.3; *μ. ... ἄγριον καλεῖ* [sc. *τὸν Ναβουχοδονόσορ*] Thdt.*Ps.*74:19(1.1176); fig., of evil thoughts *ὅταν ...καρποφορῇ ἡ ψυχὴ ἄξια τῶν αἰωνίων ἀποθηκῶν...πόρρωθεν ἀπείργει* [sc. *τὸ πνεῦμα*] *τὰς τοῦ μ. τοῦ ἀγρίου ἐπιβουλάς* †Bas.*Is.*20(1.392E; M. 30.153A); Gr.Nyss.*hom.4 in Cant.*(M.44.841D); ‡Max.*cap.al.*232(M. 90.1457A).

***μόνιτα, ἡ,** v. **μόνητα.*

μονόβολος, *in one piece,* Proc.G.*Jos.*8:29(M.87.1020B).

***μονοβόλως,** *so as to be in one piece,* Epiph.*haer.*61.3(p.383.8; M. 41.1041D).

μονογαμ-έω, 1. *be the husband of one wife at a time,* Thdr.Abuc. *opusc.*24(M.97.1556D); **2.** *be married once only to ~ήσας παρθένον* Phot.*nomoc.*1.23(M.104 516A).

μονογαμία, ἡ, *marrying only once,* Thphl.Ant.*Autol.*3.15(M.6. 1141B); Clem.*str.*3.1(p.197.11; M.8.1104B); Or.*hom.20.4 in Jer.* (p.182.22; M.13.508C); *μ. κατὰ νόμον γινομένη δικαία, ὡς ἂν κατὰ γνώμην θεοῦ ὑπάρχουσα Const.App.*3.2.2; *τὴν μ. ἐκ τῆς πλάσεως ἐδείκνυεν, ὡς μία ἐνὶ ἐπλάσθη* ‡Pion.*v.Polyc.*20; Epiph.*haer.*48.9 (p.231.14; M.41.868D).

***μονογαμικός,** *monogamous,* Thdr.Stud.*epp.*1.50(M.99.1093A).

***μονογάμιον, τό,** v. *κακογάμιον.*

***μονογαμίς, ἡ,** *woman who marries only once,* Meth.*symp.*3.12 (p.40.19; M.18.71A).

μονόγαμος, ὁ, ἡ, *one who marries only once*; of the man, Athenag. *leg.*34.2(M.6.968B); Meth.*symp.*3.12(p.40.18; M.18.71A); *ἐπίσκοπον καὶ πρεσβύτερον καὶ διάκονον εἴπομεν μονογάμους καθίστασθαι, κἂν ζῶσιν αὐτῶν αἱ γαμεταὶ κἂν τεθνήκασιν Const.App.*6.17.1; of the woman, Or. *hom.20.4 in Jer.*(p.182.24; M.13.508C); *διακόνισσαι...μ. ἐγκρατευσάμεναι ἢ χηρεύσασαι ἀπὸ μονογαμίας ἢ ἀειπάρθενοι οὖσαι* Epiph.*exp. fid.*21(p.522.20; M.42.845A).

μονογενής, A. in gen.; **1.** *only, one and only,* of a child *ἡ παιδεία*

Αἰγυπτίων] *τὰς χεῖρας ἐκτείναντος, ἀφανισμὸς τῶν βατράχων γίνεται... οἱ γὰρ τὴν ἔκτασιν τῶν χειρῶν τοῦ νομοθέτου κατανοήσαντες (συνήσεις ...διὰ μὲν τοῦ νομοθέτου τὸν ἀληθινὸν νομοθέτην, διὰ δὲ τῆς τῶν χειρῶν ἐκτάσεως, τὸν ἐπὶ τοῦ σταυροῦ τὰς χεῖρας ἐκτείναντα) οἱ...τοῖς ῥυπαροῖς...καὶ βατραχώδεσι λογισμοῖς συζῶντες...ἀπαλλάσσονται τῆς πονηρᾶς αὐτῶν συνοικήσεως* Gr.Nyss.*v.Mos.*(M.44.348D); ref. battle with Amalek *λέγει εἰς τὴν καρδίαν Μωϋσέως τὸ πνεῦμα, ἵνα ποιήσῃ τύπον σταυροῦ καὶ τοῦ μέλλοντος πάσχειν...σταθεὶς ὑψηλότερος πάντων ἐξέτεινεν τὰς χεῖρας, καὶ οὕτως ἐνίκα ὁ Ἰσραήλ Barn.*12.2; Just. *dial.*90.5(M.6.692A); *ἡ ἔκτασις τῶν χειρῶν τοῦ νομοθέτου γίνεται, ἡ τὸ μυστήριον τοῦ σταυροῦ προδεικνύουσα* Gr.Nyss.*v.Mos.*(373B); **3.** of the Christian *τῷ μητρῴῳ γάλακτι...τιθηνούμενος* [sc. *M.*]. *ὅπερ μοι δοκεῖ διδάσκειν ἵν' εἰ τοῖς ἔξωθεν λόγοις καθομιλοίημεν ἐν τῷ καιρῷ τῆς παιδεύσεως, μὴ χωρίζεσθαι τοῦ ὑποτρέφοντος ἡμᾶς τῆς ἐκκλησίας γάλακτος ib.*(329C); *θεὸς ἐξείλετό τε καὶ σέσωκε* [sc. *ἡμᾶς*]*...παρούσομεν γὰρ εἰς εἰκόνα καὶ ὑποτύπωσιν τῆς διὰ Χριστοῦ σωτηρίας τὰ ἐπὶ τῷ θεοπεσίῳ M. γεγραμμένα* Cyr.*glaph.Ex.*1(1.248A); *τοῦ M. ἡ ἐπὶ τὸ ἐνδοξότερον μεταποίησις...ὁ γὰρ διορθωτὴς τῆς συντετριμμένης ἡμῶν φύσεως πλακὸς...ἐπειδὴ πάλιν εἰς τὸ ἀρχαῖον ἐπανήγαγε τὴν...πλάκα τῷ θείῳ δακτύλῳ...καλλωπισθεῖσαν, οὐκέτι χωρητὸς ταῖς ὄψεσι τῶν ἀναξίων γίνεται* Gr.Nyss.*v.Mos.*(M.44.397C); **4.** various moral and spiritual lessons drawn from events in his life *ταύτην ἔλαβεν τὴν χάριν* [sc. *τὴν ἐγκράτειαν*] *καὶ ὁ M. τὸ ἐνδεὲς σῶμα περικείμενος, ἵνα τεσσαράκοντα ἡμέρας μήτε πεινάσῃ μήτε διψήσῃ* Clem.*str.*3.7(p.222.20; M.8.1161A); *τῷ M. ἐκ τῆς δικαιοπραγίας καὶ τῆς κατὰ τὸ συνεχὲς πρὸς τὸν θεὸν τὸν λαλοῦντα αὐτῷ ὁμιλίας ἐπίχροά τις ἐπεκάθιζε τῷ προσώπῳ ib.*6.12(p.484.12; M.9.325A); *εἰς καθαίρεσιν τῶν τῇ φύσει τοῦ σώματος ἀκολουθησάντων ἁμαρτημάτων τεσσαράκοντα νηστεύει M. ἡμέρας, ὁμοίας δὲ καὶ Ἠλίας καὶ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων ὁ σωτὴρ* Or.*fr.*79 *in Jo.*(p.546.30); *ἐπὶ μὲν τῇ πρώτῃ τεσσαρακονταετηρίδι ἐπαιδεύθη τὰ Αἰγυπτίων, ἐπὶ δὲ τῇ δευτέρᾳ τεσσαρακονταετηρίδι ἐπὶ προφάσει τοῦ ποιμαίνειν ἐπὶ τὰς ἐρημίας ἀναχωρήσας, τῇ θεωρίᾳ τῶν ὄντων ἀπεσχόλασε* †Bas.*Is.*7(1.382D; M. 30.129A); *ἡ κατὰ Μωϋσέα παραινίσσεται ἱστορία, τοὺς προκόπτοντας μὴ ἐξομαλίζειν τὰς πράξεις, ἀλλὰ ποτὲ μὲν κρεῖττον βιοῦν, ποτὲ δὲ δι' ἀτονίαν ἐκλύεσθαι καὶ ἀσθενέστερον ἐνεργεῖν ib.*35(408C; M.189A); ref. Jer.3:1, Ex. 34:34 *ὀρῇς ὡς M. ποτε λαμβάνεται καὶ ἐπὶ τοῦ λαοῦ. ὅσον οὐκ ἐπέστρεφεν πρὸς κύριον, σύμβολον ὢν τοῦ λαοῦ τοῦ μὴ ἐπιστρέφοντος πρὸς κύριον, κάλυμμα εἶχεν ἐπικείμενον αὐτοῦ τῷ προσώπῳ* Or.*hom.*5.8 *in Jer.*(p.38.20; M.13.308A); *τροπικῶς τὸ δεδοξασμένον πρόσωπον Μωϋσέως, θεοποιηθέντος αὐτοῦ τοῦ νοῦ* id.*Jo.*32.27(17; p.472.33; M.14.817A); *πρόσωπον Μωϋσέως νόησον εἶναι τὸ φῶς τῆς πεντατεύχου, κάλυμμα δὲ τὸ ἀσαφὲς τῶν μακαρίων λόγων, καὶ τὸ παραβολικόν, ἢ συμβολικόν, καὶ τὸ αἰνιγματῶδες* Nil.*epp.*1.119(M.79. 136A); ref. Ex.33:7 *M. ... ἔξω τῆς παρεμβολῆς πηξάμενος ἑαυτοῦ τὴν σκηνήν· τουτέστι τὴν γνώμην καὶ τὴν διάνοιαν ἱδρυσάμενος ἔξω τῶν ὁρωμένων, προσκυνεῖν τὸν θεὸν ἄρχεται· καὶ εἰς τὸν γνόφον εἰσελθών, τὸν ἀειδῆ καὶ ἄυλον, τῆς γνώσεως τόπου, ἐκεῖ μένει τὰς ἱερωτάτας τελούμενος τελετάς* Max.*cap.theol.*84(M.90.1117C); *μετὰ τὸ προφητεῦσαι Μωϋσῆν οὐκέτι γυναικὶ συνῆπται, οὐκέτι τέκνα κυΐσκει, οὐκέτι γεννᾷ ὁ τοιοῦτος* Epiph.*ep.Arab.*ap.*haer.*78.16(p.466.20; M.42. 724D); ‡Gr.Naz.*sign.in Ezech.*(M.36.668C); *οἱ μὲν τὸ σῶμα τῶν γραφῶν, τὰς λέξεις καὶ τὰ ὀνόματα, καθάπερ τὸ σῶμα τὸ Μωϋσέως, προσβλέπουσιν, οἱ δὲ τὰς διανοίας καὶ τὰ ὑπὸ τῶν ὀνομάτων δηλούμενα διορῶσι, τὸν μετὰ ἀγγέλων M. πολυπραγμονοῦντες* Clem.*str.*6.15 (p.498.30; M.9.357A); *ὅταν περὶ τοῦ M. ἀκούσῃς σώματος ἐν τῷ νόμῳ, γραφῇ νόμιζέ σοι χαρακτηρίζεσθαι τὸν ὅλον Ἰσραηλίτην λαόν, καὶ περὶ αὐτοῦ γεγονέναι τὴν ἀμφισβήτησιν τοῦ διαβόλου πρὸς τὸν ἀρχάγγελον* Chrysipp.*enc.in Mich.*(p.93.9); ref. Jo.4:36 *θερισμός πως ἦν ἡ μεταμόρφωσις Ἰησοῦ ἐν δόξῃ φαινομένου οὐ μόνον τοῖς θερισταῖς Πέτρῳ καὶ Ἰακώβῳ καὶ Ἰωάννῃ...ἀλλὰ καὶ τοῖς σπείρασιν M. καὶ Ἠλίᾳ* Or.*Jo.*13.47(46; p.273.31; M.14.484A); *M., νομοθέτης ὁμοῦ καὶ ἀρχιερεὺς καὶ προφήτης καὶ βασιλεύς, καὶ Ἠλίας...συνῆσαν ἐν τῇ μεταμορφώσει τοῦ κυρίου...ὡς φίλοι Χριστοῦ καὶ οἰκεῖοι, ἀλλ' οὐχ ὡς ἐχθροὶ ἢ ἀλλότριοι Const.App.*6.19.4; *ἡ M. καὶ Ἠλίου παρουσία τὴν ζώντων καὶ νεκρῶν ἐμαρτύρησεν αὐτῷ δεσποτείαν* Isid.Pel.*epp.*1.239 (M.78.329B); *ἡ Μωσέως καὶ Ἠλία παράστασις...οἰκονομία τις ἦν... καταδεικνύουσα δορυφορούμενον ὑπὸ νόμου καὶ προφητῶν τὸν κύριον ...ὡς καὶ νόμου καὶ προφητῶν δεσπότην* Cyr.*hom.div.*9(5².368B); *νεκρῶν πιστοῦται ἀνάστασις, καὶ νεκρῶν καὶ ζώντων ἀναδείκνυται κύριος, ἐκ νεκρῶν μὲν τὸν M. προηκάμενος, ζῶντα δὲ τὸν Ἠλίαν προσαγόμενος μάρτυρα* Jo.D.*hom.*1.3(M.96.549C).

C. Moses = the Law, Or.*comm.in Mt.*12.43(p.168.8; M.13.1084A); id.*Jo.*20.39(31; p.381.17; M.14.665C); Meth.*fr.Job* 9:5(p.511.9); Bas. *Spir.*33(3.27D; M.32.125C); *Const.App.*5.14.9; Cyr.*Is.*1.5(2.133A); Thdt.*qu.*1 *in Jos.*(1.299); *συμμεταμορφωθῶσιν...M. καὶ Ἠλίας, τουτέστιν, ὁ νόμος καὶ οἱ προφῆται, ὅταν μεταμορφωθῶσιν αὐτῶν οἱ λόγοι, καὶ κινηθῶσιν αἱ τοῦ νόμου σκιαί, τότε καὶ πιστευθήσεται M. ... περὶ Χριστοῦ γράψας πάντα* Anast.Ant.*serm.*1.5(M.89.1369B); *M. καὶ Ἠλίας...ὁ μὲν τὸν γραπτόν,...ὁ δὲ τὸν φυσικὸν νόμον δηλοῖ* Andr.Cr. *or.*7(M.97.953C).

D. 'new Moses', 'second Moses'; S. Paul, Eustrat.*stat.anim.*5 (p.349); S. Basil, Jo.Mon.*hymn.Bas.*3(M.96.1372C); an abbot of Sinai, †Anast.S.*relat.*32(*OC* 2 p.79.5; M.88.609A).

N

[*]νά, 1. (from *ἵνα*) conjunction put before subjunctive to express a final clause, *to, in order that ἐγὼ νὰ ἀναθρέψω τὸν ἀνέψιον* Barth.Edess.*Agar.*(M.104.1425D); **2.** emphatic interjection, *lo! verily! ὁ θεὸς καλὰ νὰ ποιήσει μετὰ τοῦ δεῖνος* Eus.Al.*serm.*21.8(M. 86.433B); *πῶς αὐτοὺς καταλείψω πτωχούς; καὶ νά με καταροῦνται ib.*21.16(441C).

***νάας (νάς), ὁ,** (Hebr. נָחָשׁ) *serpent*; **1.** of Devil *τὸ γὰρ Σατὰν τῇ Ἰουδαίων καὶ Σύρων φωνῇ ἀποστάτης ἐστί, τὸ δὲ νὰς ὄνομα ἐξ οὗ ἡ ἑρμηνεία ὄφις ἐκλήθη* Just.*dial.*103.5(M.6.717B); related to name of Nahash (1Reg.11:2) *ὁ ὄφις ὁ νοητός. ν. γὰρ ἑρμηνεύεται ὄφις, ὅστις τοῖς Ἰσραηλίταις...ἐπηπείλησε...νικῆσαι τὸν...ν. τὸν ἐν σοὶ Ἀμμανίτην* Nil.*epp.*2.198(M.79.304C); **2.** in interpretation of Nehushtan *Νεεθάν ...χαλκὸς αὖτη. οἱ δὲ λοιποὶ τὸν Νεεθὰν N.* Thdt.*qu.*49 *in 4Reg.* (1.543); **3.** source of name Naassene (v. *Ναασσηνοί*), Hipp.*haer.*5.6 (p.78.1; M.16.3126A); *ν. δὲ ἐστὶν ὁ ὄφις, ἀφ' οὗ φησι πάντας εἶναι τοὺς...προσαγορευομένους ναοὺς ἀπὸ τοῦ ν.· κἀκείνῳ μόνῳ τῷ ν. ἀνακεῖσθαι πᾶν ἱερὸν καὶ πᾶσαν τελετὴν καὶ πᾶν μυστήριον, καὶ...μὴ δύνασθαι τελετὴν εὑρεθῆναι...ἐν ᾗ ναὸς οὐκ ἔστι καὶ ὁ ν. ἐν αὐτῷ, ἀφ' οὗ ἔλαχε ναὸς καλεῖσθαι ib.*5.9(p.100.19; 3155B); Thdt.*qu.*49 *in 4Reg.* (1.543); **4.** as angel identified with tree of knowledge in system of Justinus *τὸ δὲ ξύλον τοῦ εἰδέναι γνῶσιν καλοῦ καὶ πονηροῦ ὁ τρίτος τῶν μητρικῶν ἀγγέλων, ὁ N.* Hipp.*haer.*5.26(p.127.25; M.16.3195A); seducer of Adam and Eve, *ib.*(p.130.12; 3199B); responsible for temptation and crucifixion of Jesus, *ib.*(p.131.28; 3202C); identified with eagle, Adam being represented by Ganymede, *ib.*(p.132.11; 3202D).

***Ναασσηνοί (-ινοί), οἱ,** *Naassenes*, Gnostic sect who revered the serpent (*νάας*, q.v.) *οἱ N. ... οἱ ἑαυτοὺς γνωστικοὺς ἀποκαλοῦντες... ἐκεῖνα δογματίζουσιν ἃ πρότερον οἱ Ἑλλήνων φιλόσοφοι ἐδογμάτισαν ...τὰ μυστικὰ παραδόντες* Hipp.*haer.*5.2(p.77.4; M.16.3123A); *N. τῇ Ἑβραΐδι φωνῇ οὕτως ὠνομασμένοι...μετὰ δὲ ταῦτα ἐπεκάλεσαν ἑαυτοὺς γνωστικούς, φάσκοντες μόνοι τὰ βάθη γινώσκειν ib.*5.6(p.77. 30; 3126A); *τιμῶσι δὲ οὐκ ἄλλο τι ἢ τὸν νάας οὗτοι, N. καλούμενοι ib.* 5.9(p.100.19; 3155B); their doctrine of man and of Jesus, *ib.*10.9 (p.268.12; 3419A); *ἐκ τῶν Βαλεντίνου σπερμάτων τὸ τῶν...Βορβοριανῶν ἢ Ναασιανῶν...μῦσος* Thdt.*haer.*1.13(4.304); id.*qu.*49 *in 4Reg.*(1.543).

νάβλα, ἡ, (Hebr. נֵבֶל, נְבָלָא), a musical instrument of 10 or 12 strings; symbolism and suitability to David discussed, ‡Hipp.*fr.* 9 *in Pss.*(p.140.21; M.10.716D).

***Ναβουχοδονοσορικός,** *as of Nebuchadnezzar N. δόγματι* Thdr. Stud.*epp.*2.17(M.99.1169D).

***Ναζιραῖος (Ναζαραῖος), ὁ,** (Hebr. נָזִיר) *Nazirite*; **1.** in gen. *ἀπὸ οἴνου καὶ σίκερα ἁγνισθήσεται, καὶ τὰ ἑξῆς περὶ τοῦ καλουμένου N.* Or. *or.*3(p.306.5; M.11.425D); *N. τὸ πεφυλαγμένον κατὰ τὴν Σύρων φωνὴν ὀνομάζει* id.*sel.in Jud.*16:17(M.12.949B); spiritual interprn. of law against cutting of hair, id.*hom.*8.11 *in Lev.*(p.413.23; M.12.505B); id.*dial.*22(p.164.6); *ἡγιασμένοι γὰρ τὸ Ναζιραῖοι δηλοῖ* id.*fr.*102 *in Lam.*4:7–8(p.271.27; M.13.653A); *εἰ δὲ οἶνου οἱ Ναζαραῖοι κατὰ τὸν νόμον ἀπέχονται, θυμοῦ ἄρα τοὺς N. ἐκτὸς εἶναι νενομοθέτηται* id.*exp.in Pr.*20:1(M.17.209C); *τὸ ν. ὄνομα σημαίνειν ἤτοι τὸν ἅγιον ἢ τὸν ἀφωρισμένον, ἢ τὸν ἄθικτον* Eus.*d.e.*7.2(p.336.26; M.22.549A); of Jo. Bapt., Epiph.*haer.*29.5(p.327.12ff.; M.41.400B); **2.** exeg. Mt. 2:23 *κληθεὶς δὲ...N. ἀπὸ τῆς Ναζαρέθ,...ἔδει...αὐτὸν...φύσει...N. ὄντα, τοῦτ' ἔστιν ἅγιον καὶ ἄθικτον καὶ ἀφωρισμένον ἐξ ἀνθρώπων, κληθῆναι...ἀλλ' ἐπεὶ μὴ ἐκ τοῦ ναζὲρ ἐλαίου ταύτης ἔτυχεν τῆς προσηγορίας, μὴ δεηθεὶς ἀνθρωπίνου χρίσματος, ἐκ τοῦ τόπου τῆς Ναζαρὲθ τὴν ἐπωνυμίαν ἐκτήσατο* Eus.*d.e.*7.2(p.336.34; M.22.549B); cf.Tert.*adversus Marcionem* 4.8(M.*PL*.2.372ff.); **3.** *'Christian Nazirite', ascetic*, Bas.*ep.*44.1(3.131E; M.32.361C); *Ναζαραίων χοροστασίαι* Gr.Naz.*or.*42.26(M.36.489C); *τοὺς καθ' ἡμᾶς Ναζιραίους ib.*43.28(533C); Thdr.Stud.*or.*11.17(M.99.820B).

***Ναζωραῖος, ὁ,** *man of Nazareth*; **1.** of Christ *ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ N. A.Jo.*47(p.174.33); *ὁ N. ἄνθρωπος* Cels.ap.Or.*Cels.* 7.18(p.169.18; M.11.1445C); *A.Phil.*19(p.10.12); *ἐγὼ Ἰουδαῖος...καὶ οὐκ ἄν ποτε τῷ N. πιστεύσω A.Phil.epit.*27/28(p.98.17); Juln.Imp. ap.Cyr.*Juln.*3(6².100A); id.*ib.*10(335C); **2.** exeg. Mt.2:23, where interpreted both as *Nazarene* and as *Nazirite* (v. *Ναζιραῖος*) *N. κληθήσεται ὁ κυρίως τῷ θεῷ ἀεὶ ἀνακείμενος* Or.*comm.in Mt.*16.19 (p.540.27; M.13.1437C); Eus.*d.e.*7.2(p.336.12ff.; *Ναζαραῖον* M.22. 548D); prophecy cited in Mt. may belong to one of prophetical books lost through Jewish neglect; *οἱ προφῆται, καὶ οἱ ἀπόστολοι πολλαχοῦ N. αὐτὸν καλοῦσι* Chrys.*hom.9.4 in Mt.*(7.135C); **3.** as title of Christians *πάντες δὲ Χριστιανοὶ N. τότε ὡσαύτως ἐκαλοῦντο· γέγονε δὲ ἐπ' ὀλίγῳ χρόνῳ καλεῖσθαι...Ἰεσσαίους, πρὶν ἢ...ἀρχὴν λάβωσιν... καλεῖσθαι Χριστιανοί* Epiph.*haer.*29.1(p.322.1; M.41.389A); **4.** plur., name of early Judaistic Christian sect, observing sabbath and circumcision, Epiph.*haer.*29.7(p.329.4ff.; M.41.401Bff.); flourishing at Beroea, in Coele-Syria, Decapolis, district of Pella, originating with move of Jerusalem Christians to Pella in A.D. 68, *ib.*(p.330.4; 401D); using Mt. in Hebrew; cursed by orthodox Jews thrice daily, *ib.*29.9(p.332.4ff.; 404Dff.); revering Christ as a righteous man, Thdt.*haer.*2.2(4.329); Jo.D.*haer.*29(M.94.696A); dist. from *Νασαραῖοι* q.v., Epiph.*haer.*29.6(p.327.18; M.41.400B); ass. Elxai and Ebionites, *ib.*19.5(p.222.27; *Ναζαραίοις* 268C).

***Ναζωρικός,** *of a 'Nazirite' (Christian ascetic)*, Steph.Diac.*v. Steph.*(M.100.1120B).

***ναῖς,** *? populous ναΐδων πόλεων οἰκήτορες ἔνδοξοι* Mac.Mgn.*apocr.* 2.7(p.7.7).

***νακοτάπητον, τό,** *thick carpet*, Thphn.*chron.*p.268(M.108.665A).

νᾶμα, τό, *stream*; met.; **1.** in gen. *ἔπιες τὸ διειδὲς ν. τοῦ βίου* Bas. *hom.*21.11(2.172D; M.31.561B); **2.** of 'living water' (cf. Jo.4:12) *θείου καὶ καθαροῦ ν. τοῦ ζῶντος ὕδατος* Clem.*str.*2.2(p.116.30; M.8.937C); *νοερὰ...τῆς διδασκαλίας τοῦ Ἰησοῦ ν.* Or.*fr.54 in Jo.*(p.528.27); Meth.*symp.*4.3(p.49.8; M.18.92A); *ζωὴ ὑπῆρχεν ἀληθῶς, καθ' ὃ πᾶσιν τοῖς ζῶσιν τὸ τῆς ἐξ αὐτοῦ χορηγίας παρέχει ν.* Eus.*e.th.*2.14 (p.118.16; M.24.933B); *ζωοποιὰ ν. παρέχεται ὁ Χριστὸς...διὰ τῶν μυστηρίων, οὗ τύπος ἦν ἡ πέτρα* Cosm.Ind.*top.*5(M.88.200C); **3.** of Christian gospel *ἐνθένδε* [sc. Palestine] *τοῦ ζωοποιοῦ ν. ἀνομβρήσαντος εἰς πάντας* Eus.*l.C.*9(p.221.6; M.20.1369B); Thdt.*h.e.*5.31.1 (3.1070); id.*affect.*8(p.196.2; 4.899); **4.** of doctrine *τὰ ὦτα νάμασιν εὐσεβείας καθηράμενοι* Eus.*l.C.*proem.(p.196.4; M.20.1317B); *ἵν'... ἀπονίψωνται τὰς ἑαυτῶν ἀσεβεῖς ἀκοὰς τῷ τῆς ἀληθείας ν. καὶ τοῖς τῆς εὐσεβείας δόγμασιν* Ath.*decr.*2(p.2.34; M.25.'428'(420)B); *τῶν πνευματικῶν Διοδώρου ν. ἀπήλαυον* Thdt.*h.e.*5.40.1(3.1087); **5.** of baptism *σωτηρίων ν.* Cyr.H.*catech.*19.3; *τῆς κολυμβήθρας τοῦ ἁγίου πνεύματος τὰ ἀθάνατα ν.* Didym.*Trin.*2.22(M.39.556C); Chrys.*ep.*2. 2(3.536B); **6.** of eucharist *αἷμα τῆς ἀμπέλου τὸν λόγον τὸν περὶ πολλῶν ...εἰς ἄφεσιν ἁμαρτιῶν, εὐφροσύνης ἄγιον ἀλληγορεῖ ν.* Clem.*paed.*2.2 (p.176.4; M.8.428C); *ὁπόταν μορφωθῇ εἰς τοὺς νεοφωτίστους ὁ Χριστός, δι' αὐτῶν τῶν ἀναγεννωμένων ποτίζεται ἀπὸ τοῦ μυστηριώδους ν.* Ph.Carp.*Cant.*223(M.40.141A); Thdt.*qu.27 in Ex.*(1.144); hence *eucharistic wine*, Anast.*temp.*(p.279); cf.*Lit.Chrys.*(p.357.21); *Nomoc.* 76; *σφραγίζει τὸ ν. καὶ τὸ ὕδωρ Euchol.*(p.86); *ib.*(p.166).

***ναματίζ-ω,** *give to drink*, met. *ἐπιστατεῖ τοῖς λογικοῖς θρέμμασι..., ~ων κατηχήσεως ῥείθρῳ* Thdr.Stud.*or.*11.24(M.99.825C).

***ναματικός,** *of the spring* or *stream*, Nil.*exerc.*71(M.79.804D).

***ναματοφόρος,** *bearing the stream* (of living water, i.e. Christ); of BMV, *Pers.*(p.15.18; M.10.104C).

[*]νανούδιον, τό, *dwarf ὃ ν. καλοῦσιν κατὰ στέρησιν τοῦ ἄνω ἰέναι Schol.Clem.paed.*3.4(p.337.23; *νεννούδιον* M.9.793A).

ναοποι-έω, *make into a temple*; of H. Ghost making faithful into a spiritual temple, Gr.Naz.*or.*31.29(p.184.6; M.36.168A); *ib.*41.9 (441C); *τοῦ τὰς ψυχὰς ~οῦντος πνευματικοῦ νόμου* ‡Proc.G.*Pr.*5:14 (M.87.1264C).

ναός (νεώς), ὁ, *temple, shrine*;

I. lit.; **A.** of pagan temples; of tombs as *ναοὶ τῶν νεκρῶν* Clem. *prot.*4(p.38.20; M.8.141A); ref. Celsus' complaint that Christians have no temples, Or.*Cels.*8.19(p.236.15; M.11.1545C); of temples at Oxyrhynchus inhabited by monks, ‡Pall.*h.mon.*5.2(p.29.6; M.65. 445D).

B. of Tabernacle, Gr.Nyss.*v.Mos.*(M.44.321); ref. Ps.27:1 *οὐδέπω μὲν ὁ ν. ᾠκοδόμητο· τὴν δὲ σκηνὴν ὀνομάζει ν.* Thdt.ad loc.(1.775).

C. of Jewish Temple; **1.** in gen. *εἰσελεύσεται εἰς τὸν πρῶτον ν. καὶ ἐκεῖ κύριος ὑβρισθήσεται...καὶ ἔσται τὸ ἄπλωμα τοῦ ν. σχιζόμενον καὶ μεταβήσεται τὸ πνεῦμα θεοῦ ἐπὶ τὰ ἔθνη T.Benj.*9.3; *πλανώμενοι* [sc. Jews]*...εἰς τὴν οἰκοδομὴν ἤλπισαν, καὶ οὐκ ἐπὶ τὸν θεὸν...σχεδὸν γὰρ ὡς τὰ ἔθνη ἀφιέρωσαν αὐτὸν ἐν τῷ ν. Barn.*16.2; its destruction due to divine providence, Or.*Cels.*7.26(p.177.20; M.11.1457C); interval of 42 years (between 15th year of Tiberius and Temple's destruction) given to enable some Jews to be converted, id.*hom. 14.13 in Jer.*(p.118.19; M.13.420C); Eus.*h.e.*3.5.4(M.20.224B); in prayer at appointment of deaconesses *θεὸς...ὁ...ἐν τῷ ν. προχειρισάμενος τὰς φρουρὰς τῶν ἁγίων σου πυλῶν Const.App.*8.20.1; **2.** ref. appearance of antichrist, Iren.*haer.*5.30.4(M.7.1207B); **3.** never to be rebuilt, Chrys.*hom.76.2 in Mt.*(7.734A); id.*Jud.*5.4(1.633D); ref. Julian's attempt, Soz.*h.e.*5.22.4(M.67.1284B); Philost.*h.e.*7.14(M.65. 553A); **4.** as symbol of Old Covenant, Oecum.*Apoc.*11:2(p.126).

D. its inner *shrine ἔμπροσθεν τοῦ ν. πρὸς τὸ θυσιαστήριον 1Clem.* 41.2.

E. Christian *church*, Eus.*h.e.*10.2.1(M.20.845B); id.*m.P.*11(p.945. 25; M.20.1456C); id.*v.C.*3.45(p.96.29; M.20.1105B); *ib.*3.50(p.99.2; 1109C); *ib.*4.46(p.136.28; 1197A); Gr.Nyss.*or.catech.*18(p.75.19; M.45. 56A); *εὐκτηρίους...ν.* id.*v.Gr.Thaum.*(M.46.944B); Chrys.*hom.18.5 in Ac.*(9.151A); Thdt.*h.e.*2.12.2(3.853); *ἅγιος ν. ... τῶν...μαρτύρων CIG* 8625 (Bostra, 511).

F. *nave* of church, accessible to laity, unlike *ἱερατεῖον*, Max. *myst.*2(M.91.668D); *Euchol.*(p.2).

II. met.; **A.** of heaven as God's dwelling, Meth.*symp.*9.5(p.120. 5; M.18.188C); Thdt.*Abac.*2:20(2.1549); and as shrine of image of God in righteous who enter it, Meth.*symp.*6.2(p.65.13; M.18.116A).

B. of Church as temple of God (Father, Son, or Holy Ghost), built of living stones *πάντες ὡς εἰς ἕνα ν. συντρέχετε θεοῦ* Ign.*Magn.* 7.2; *ὡς ὄντες λίθοι ναοῦ πατρός* id.*Eph.*9.1; *γενώμεθα πνευματικοί, γενώμεθα ν. τέλειος τῷ θεῷ Barn.*4.11; Clem.*paed.*1.1(p.89.26); id. *str.*7.5(p.21.24; M.9.437C); *ν. δέ ἐστιν ὁ μὲν μέγας, ὡς ἡ ἐκκλησία, ὁ δὲ μικρός, ὡς ὁ ἄνθρωπος ib.*7.13(p.58.30; 516A); id.*fr.*36(p.219.1; M.9. 769A); Or.*Cels.*8.19(p.237.2; M.11.1548A); *παρ' ἡμῖν γὰρ ὁ ἀληθινὸς ν.* id.*hom.26.3 in Jos.*(p.463.15; M.87.1041C); *μᾶλλον γὰρ τοῦ πατρὸς ὁρῶ ἔμψυχον ν., τὸν καλόν τε καὶ ἀγαθόν, ἢ τὸν ν. ἐκεῖνον· ἐξῆλθε γὰρ ἀπὸ τοῦ ν. ἐκείνου εἰπών· ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν, καὶ ἀπῆλθεν ἐπὶ τὸν ν. τοῦ πατρός, τὰς ἐκκλησίας τὰς πανταχοῦ* id.*hom.20 in Lc.* (p.132.17); *ib.38*(p.224.25); of Church as body of Christ, in detailed typological interpretation of Temple, id.*Jo.*10.39–42(p.215.10ff.; M.14.380Cff.); Meth.*symp.*8.5(p.87.3; M.18.145B); *νύμφην ἁγίαν καὶ ν. πανίερον ἑαυτῷ τε καὶ τῷ πατρὶ κατειργάσατο* Eus.*h.e.*10.4.56(M.20. 872A); *ib.*10.4.69(877B); *ἕκαστος ὑμῶν ν. ἐστι, καὶ κοινῇ πάντες, καὶ ὡς ἐν σώματι Χριστοῦ οἰκεῖ* [sc. *θεός*], *καὶ ὡς ἐν ν. πνευματικῷ οἰκεῖ* Chrys.*hom.6.1 in Eph.*(11.40A); to be occupied by antichrist, Thdt.*2Thess.*2:4(3.533).

C. of Church as shrine of virtue, Const.*or.s.c.*1(p.155.9; M.20. 1236B).

D. of individual believer as dwelling of God (Logos, Christ, or H. Ghost) *πάντα...ποιῶμεν...ἵνα ὦμεν αὐτοῦ ναοὶ καὶ αὐτὸς ἐν ἡμῖν θεός* Ign.*Eph.*15.3; *τὴν σάρκα ὑμῶν ὡς ν. τηρεῖτε* id.*Philad.*7.2; *δεῖ... ὡς ν. θεοῦ φυλάσσειν τὴν σάρκα 2Clem.*9.3; *ν. γὰρ ἅγιος...τῷ κυρίῳ τὸ κατοικητήριον ἡμῶν τῆς καρδίας Barn.*6.15; *ib.*16.7,8; *ν. οὐκ ἔχω καὶ ναοὺς ἔχω A.Jo.*95(p.198.10); Clem.*prot.*1(p.6.16; M.8.60A); *λόγος... ὁ ἐν ἀνθρώποις οἰκοδομήσας ν. ib.*11(p.83.1; 237A); *οὐδὲ ν. τῶν παθῶν τῶν αἰσχρῶν τὸν ν. τοῦ θεοῦ ποιητέον* id.*paed.*2.10(p.217.25; M.8. 517B); *τὸν ν. τοῦ πνεύματος ἁγιάζοντες* id.*str.*3.7(p.223.18; M.8. 1164A); *τούτῳ τέθνηκεν ἡ σάρξ, ζῇ δὲ αὐτὸς μόνος ἀφιερώσας τὸν τάφον εἰς ν. ἅγιον κυρίῳ ib.*4.22(p.309.10; 1348B); *τὸ κάλλος τῆς ψυχῆς ν. γίνεται τοῦ ἁγίου πνεύματος, ὅταν διάθεσιν ὁμολογουμένην τῷ εὐαγγελίῳ κατὰ πάντα κτήσηται τὸν βίον ib.*7.11(p.46.21; M.9.489B); *τὰ σώματα ἡμῶν ν. τοῦ θεοῦ ἐστι, καὶ εἴ τις...φθείρει τὸν ν. τοῦ θεοῦ, οὗτος ὡς ἀληθῶς ἀσεβὴς εἰς τὸν ἀληθῆ ν. φθαρήσεται* Or.*Cels.*8.19(p.236. 19; M.11.1545C); *ὁ ἀκολασταίνων...τὸν...ν. τοῦ θεοῦ ὡς Ναβουχοδονόσορ καταστρέφει* id.*hom.12.11 in Jer.*(p.97.23; M.13.393B); *ἀμήχανον...ν. εἶναι τοῦ θεοῦ μετὰ τοῦ ναὸν τυγχάνειν εἰδώλων* id.*Jo.*19.21(5; p.323. 5; M.14.565C); *ἵνα...γένωμαι ν. ἅγιος καὶ κατοικήσῃ ἐν ἐμοὶ αὐτός A.Thom.*87(p.203.3); *τὴν καρδίαν...ἐν ᾗ μάλιστα καὶ τὸ ἅγιον ὡς ἐν ν. κατοικοῦν ἀναπαύεται πνεῦμα* Meth.*symp.*11(p.138.30; M.18.217A); *γινόμεθα ν. θεοῦ, ὅταν μὴ φροντίσι γηΐναις τὸ συνεχὲς τῆς μνήμης διακόπτηται...ἀλλὰ πάντα ἀποφυγὼν ὁ φιλόθεος ἐπὶ θεὸν ἀναχωρῇ* Bas.*ep.*2.4(3.73D; M.32.229B); *διὰ ψυχῆς καὶ σώματος ν. γινόμεθα τοῦ ἐνοικοῦντος ἐν ἡμῖν* Gr.Nyss.*Eun.*2(p.368.18; M.45.548D); *ἡ παρθένος ...ἔστω ἁγία...ὡς ν. θεοῦ, ὡς οἶκος Χριστοῦ, ὡς πνεύματος ἁγίου καταγώγιον Const.App.*4.14.2; *τοὺς...ν. τοῦ θεοῦ καὶ λιμῷ...περιορῶν ἀπολλυμένους* Chrys.*hom.11.6 in Rom.*(9.540B); Anast.*poenit.*4(p.282).

E. of body as temple of soul, Meth.*symp.*1.1(p.8.9; M.18.37B); *τὸν ν. κατέλυσαν καὶ τὴν ψυχὴν οὐκ ἔβλαψαν M.Thdot.*3(p.141.2).

F. of world as temple wherein God has set man as his image, Meth.*res.*1.34(p.271.9; M.41.1097B).

G. of holiness as temple wherein Christ dwells, *A.Thom.*A 86 (p.202.8).

H. of Christ's human nature; **1.** in rel. to character of all believers as temples of God (v. D supra) *πάντων δὲ τῶν οὕτως ὀνομαζομένων ν. κρείττων ἦν καὶ διαφέρων ν. τὸ…σῶμα…'Ιησοῦ, ὅστις ἐπιστάμενος ἐπιβουλεύεσθαι μὲν δύνασθαι ὑπὸ τῶν ἀσεβῶν τὸν ν. τοῦ ἐν αὐτῷ θεοῦ, οὐ μὴν ὥστε ἰσχυροτέραν εἶναι τὴν τῶν ἐπιβουλευόντων προαίρεσιν τῆς τὸν ν. οἰκοδομούσης θειότητος, φησὶ…λύσατε τὸν ν. τοῦτον* Or.*Cels.*8.19(p.236.22; M.11.1545D); *εἰ θεοῦ ν. ἐγεννήθη ἐκ τῆς Μαρίας, περιττὴ ἡ καινότης τῆς ἐκ παρθένου γεννήσεως· ν. γὰρ θεοῦ καὶ ἄνευ ταύτης ἄνθρωποι* Apoll.*anac.*22(p.244.19; M.28.1276C); *εἰ δέ τινες ἀνθρωποι ναοί, ἀλλ' οὐχ οὕτω, ὡς καὶ Χριστοί· οὐδεὶς δὲ αὐτῶν συντεθεὶς τῷ θεῷ λόγῳ Χριστός* ‡Ath.*dial.Trin.*5.22(M.28.1276C); *οὐκ ἐν μόνῃ τῇ μήτρᾳ Μαριὰμ ἔπλασεν ἑαυτῷ ν. τὸ θεῖον, ἀλλὰ καὶ ἐν πάσῃ τῇ μήτρᾳ γυναικός, ἡ σοφία πλάττει καὶ ἁγιάζει τοὺς ἀνθρώπους Dial. Ath.et Zacch.*22(p.18); **2.** in gen., of Christ's humanity *τὸ τοῦ Χριστοῦ πρόσωπον εἰσιδὼν ἔργῳ μὲν ἔνδοθεν ἑόρα καὶ πράξει θεὸν καὶ φύσει θεοῦ γνήσιον υἱόν, ἄνθρωπον δὲ καθαρόν, ἄχραντον,…ἐξωτάτω περικείμενον ἐποπτεύων καὶ ναοῦ χρῆμα περικαλλές, ἀφιερωμένον* Eust.*engast.*10(p.31.14; M.18.633B); *ν. γὰρ κυρίως ὁ καθαρὸς καὶ ἄχραντος, ἡ κατὰ τὸν ἄνθρωπόν ἐστι περὶ τὸν λόγον σκηνή* id.*fr.in Pr. 8:22*(M.18.677B); *συνεχώρει μὲν αὐτοῖς λύειν ἀβούλως τὸν ν. ἐγχειροῦσιν ib.*(681C); *τὴν ἀσώματον σοφίαν οἰόμεθα…μεταλλάττειν τὴν φύσιν, εἰ ὁ ν. αὐτῆς σταυρῷ προσηλοῦται…; ἀλλὰ πάσχει μὲν ὁ ν., ἡ δὲ ἀκηλίδωτος οὐσία…ἄχραντος τὴν ἀξίαν καθέστηκεν ib.*(684C); *τοῦ λόγου τε καὶ θεοῦ τὸν ἑαυτοῦ ν. ἀξιοπρεπῶς ἀναστήσαντος* id.*fr.*(p.72; M.18.685C); *ν. πανάγιον αὐτὸς αὑτῷ σωματικὸν ὄργανον κατεσκευάσατο, λογικῆς δυνάμεως αἰσθητικὸν οἰκητήριον* Eus.*l.C.*14(p.241.28; M.20.1409A); *ἐν τῇ παρθένῳ κατασκευάζει ἑαυτῷ ν. τὸ σῶμα, καὶ ἰδιοποιεῖται τοῦτο ὥσπερ ὄργανον* Ath.*inc.*8.3(M.25.109C); *τὸν ἑαυτοῦ ν. καὶ τὸ σωματικὸν ὄργανον προσάγων ἀντίψυχον ib.*9.2(112A); *ib.*20.2(132A); *αὐξάνοντος ἐν ἡλικίᾳ τοῦ σώματος, συνεπεδίδοτο ἐν αὐτῷ καὶ ἡ τῆς θεότητος φανέρωσις, καὶ ἐδείκνυτο παρὰ πᾶσιν, ὅτι ν. θεοῦ ἐστι, καὶ θεὸς ἦν ἐν τῷ σώματι* id.*Ar.*3.53(M.26.433C); *ν. δὲ τοῦ λόγου τυγχάνον* [sc. *τὸ σῶμα*], *πεπληρωμένον ἦν τῆς θεότητος* id.*ep.Epict.*10(p.16.9; M.26.1068A); Gr.Nyss.*Eun.*2(2 p.368.19; M.45.548D); *εἴ τις βούλοιτο καταχρηστικῶς καὶ τὸν υἱὸν τοῦ θεοῦ τὸν θεὸν λόγον, υἱὸν Δαβὶδ ὀνομάζειν, διὰ τὸν ἐκ σπέρματος Δαβὶδ τοῦ θεοῦ λόγου ν., ὀνομαζέτω* Diod.*synous.*1(M.33.1560B); *ib.*(1560C); *οὐκ εἰς σάρκα μεταβέβληται οὐδὲ ἀπέστη τοῦ εἶναι θεός, ἀλλ' ἐκεῖνο μὲν ἦν ἀιδίως, τοῦτο δὲ γέγονεν οἰκονομικῶς, αὐτὸς οἰκοδομήσας τὸν ἑαυτοῦ ν. καὶ ἐνοικήσας* Flav. Ant.*fr.*4(p.106)ap.Thdt.*eran.*1(3.46); *ὁ γὰρ σὸς δημιουργὸς τὸν σωματικὸν ν. παρὰ σοῦ τικτόμενον δημιουργεῖ ib.*2(p.105; 1.66); *ἕτερον ἡ σκηνὴ καὶ ἕτερον ὁ λόγος, ἕτερον ὁ ν. καὶ ἕτερον ὁ ἐνοικῶν αὐτῷ θεός* Gel.Caes.*fr.*(p.47.19)ap.Thdt.*eran.*1(4.46); *τὸν μὲν λόγον ὡς θεόν, τὴν δὲ σάρκα ὡς ν. τιμήσωμεν θεοῦ ib.*(p.46.11)ap.Leont.B. *Nest.et Eut.*1(M.86.1313B); *ἔπλασε…τὸ πνεῦμα τὸν ν.* Chrys.*hom.4.3 in Mt.*(7.51A); *οὐδὲ ἁπλῶς ν. πλάττεται, ἀλλὰ κύησις γίνεται ib.7.3* (123C); *ν. ἑαυτῷ κατασκευάσας ὁ θεὸς ζῶντα ἐκ πνεύματος ἁγίου* id. *nativ.*6(2.363B); ‡Chrys.*mart.*2(3.813C); *ὅ γε…ὁμοούσιος τῷ πατρί, τῷ μὲν ἐκ τῆς παρθένου ν. ὃν ἐγὼ κτίσας ἐμαυτῷ περιέθηκα* ‡Chrys. *serm.pasch.*19; *ἀνέστησε…τὸν ἑαυτοῦ ν. ὁ ἐνοικήσας θεός* ‡Chrys. *serm.ascens.*1.11; *γεννηθέντι…καὶ…ἀναπλασθέντι…ἐνῆν· ἐπειδὴ ἅμα τῷ διαπλασθῆναι καὶ τὸ εἶναι ν. θεοῦ εἰλήφει. οὐ μὴν τὸν θεὸν γεγενῆσθαι ἡγητέον ἡμῖν ἐκ τῆς παρθένου, εἰ μὴ ἄρα ταὐτὸν ἡγητέον ἡμῖν τό τε γεννηθὲν καὶ τὸ ἐν τῷ γεννηθέντι, τὸν ν. καὶ τὸν ἐν τῷ ν. θεὸν λόγον* Thdr.Mops.*fr.Apoll.*3.1(p.312.14; M.66.997B); *τῷ θεῷ λόγῳ συναφθεὶς…ἐξ αὐτῆς τῆς μήτρας ὁ τεχθεὶς ἐκ τῆς παρθένου ν. μεμένηκεν ἀδιαίρετος* id.*ep.Domn.*(p.339.7; M.66.1013A); *γέγονε σὰρξ ὁ λόγος, καὶ κατῴκησε καθάπερ ἐν ν., τῷ ἐκ τῆς…παρθένου…σώματι· ἤγουν ἀνθρώπῳ τελείῳ, τῷ ἐκ ψυχῆς λέγω, καὶ σώματος ἀμέσως τε καὶ οἰκονομικῶς ἡνῶσθαι πεπιστευμένῳ* Cyr.*Mal.*32(3.850A); *τὸν ἐκ τῆς… παρθένου ν. λαβὼν ἄνθρωπος γέγονε* id.*Jo.*1.1(4.13C); *σοφία…τὴν ἀληθεστέραν ἔστησε σκηνήν, τουτέστι, τὸν ἐκ παρθένου ν. ib.*4.4(384E); *τριήμερον δὲ τὸν ἑαυτοῦ ν. ἀναστήσας* id.*hom.pasch.*1(5².16A); *θεοποιουμένου τοῦ ἀναληφθέντος ν.* id.*thes.*20(5¹.196E); *ib.*21(214E); *φασὶ παραιτητέον εἰκότως, ἄνθρωπον δοῦναι τέλειον, τὸν συνενωθέντα τῷ λόγῳ ν., ἵνα καὶ ἡ σύνθεσις, ἥπερ ἂν ἐπὶ Χριστῷ νοοῖτο τυχόν, ἀκριβῆ… τὸν ἐπ' αὐτῆς ἀποσώζοι λόγον* id.*Thds.*17(p.53.5; 5².15D); *υἱοὺς δὲ οὔτι πω δύο προσκυνήσομεν, ἀλλ' οὐδὲ Χριστοὺς ἐροῦμεν δύο, κἂν ἐψυχῶσθαι πιστεύωμεν ψυχῇ λογικῇ τὸν ἑνωθέντα τῷ λόγῳ ν. ib.*18(p.53.21; 16B); *χρῆναι…φημί, μήτε τὸν ἐκ θεοῦ λόγον ἀνθρωπότητος δίχα, μήτε μὴν τὸν ἐκ γυναικὸς ἀποτεχθέντα ν., ὡς μὴ ἑνωθέντα τῷ λόγῳ, Χριστὸν 'Ιησοῦν ὀνομάζεσθαι ib.*28(p.60.19; 25B); *ὁμολογοῦμεν τὴν…παρθένον θεοτόκον, διὰ τὸ τὸν θεὸν λόγον σαρκωθῆναι…καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῷ τὸν ἐξ αὐτῆς ληφθέντα ν.* episcopi orientales ap.eund.*ep.*39(p.17.17; 5².106C); *εἶναι μὲν οὖν τῆς τοῦ υἱοῦ θεότητος τὸ σῶμα ν., καὶ ν. κατὰ ἄκραν τινὰ καὶ θείαν ἡνωμένον συνάφειαν, ὡς οἰκειοῦσθαι τὰ τούτου τὴν τῆς θεότητος φύσιν, ὁμολογεῖσθαι καλόν* Nest. *ep.Cyr.*2(p.31.26; M.77.56A); cf. *Christi appellatio modo templum, modo inhabitantem deum in illo demonstrat,* id.*fr.*C 10(p.270.8); *non dixi alterum filium aut alterum deum verbum; sed dixi deum verbum naturaliter et templum naturaliter aliud, filium conjunctione unum, ib.*18(p.308.10); *οὐκ αὐτὸς φύσει ἐκ τῆς παρθένου γεγέννηται…ἀρχὴν ἐκεῖθεν τοῦ εἶναι λαβὼν…ἀλλ' ἑαυτῷ ν. ἐν τῇ…γαστρὶ διαπλάσας συνῆν τῷ πλασθέντι* Thdt.ap.Cyr.*apol.Thdt.*1(p.109.16; 6¹.204D); *ἐπειδὴ δὲ οὐ γυμνὴ ἦν* [sc. *ἡ τοῦ δούλου μορφή*] *τῆς τοῦ θεοῦ μορφῆς, ἀλλὰ ν. ἦν θεὸν ἔνοικον ἔχων…οὐκ ἀνθρωποτόκον, ἀλλὰ καὶ θεοτόκον τὴν παρθένον προσαγορεύομεν* id.*ib.*(p.109.26; 205A); *ἀπαθὴς μὲν ὁ… λόγος…, παθητὸς δὲ ὁ ν. id.ep.*171(p.163.31; 4.1355); *ν. γὰρ τὴν ἀνθρωπείαν ὠνόμασε φύσιν, ἣν ὁ…λόγος ἀνέλαβεν* id.*Mal.*3:1(2.1685); views of Ibas *τὴν ἀσεβῆ ἐπιστολὴν περιέχουσαν, ὅτι ὁ λέγων αὐτὸν τὸν θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι τὴν διαφορὰν ἀναιρεῖ τοῦ ν. καὶ τοῦ ἐνοικοῦντος ἐν τῷ ν.* Justn.*ep.Thdr.Mops.*(p.50.20; M. 86.1051A); condemnation by Justn. *διαφορὰν δὲ τοῦ ν. καὶ τοῦ ἐνοικοῦντος ἐν αὐτῷ οὐδεὶς τῶν…πατέρων ἐδίδαξεν, ἀλλὰ μόνοι οἱ ἀσεβεῖς Νεστόριος καὶ Θεόδωρος εἰρήκασι δύο ἐντεῦθεν πρόσωπα εἰσάγειν βουλόμενοι· κἂν γὰρ αἱ γραφαὶ καὶ οἱ πατέρες τῇ τοῦ ν. ὀνομασίᾳ κέχρηνται, ἀλλὰ τὸ σῶμα τοῦ μονογενοῦς υἱοῦ…σημαίνοντες τοῦτο λέγουσιν ib.* (p.50.22,25; M.l.c.); *φανερός ἐστι…δύο πρόσωπα εἰσάγων, ὅτι εἰπεῖν· πῶς δυνατὸν ληφθῆναι τὸν…λόγον ἐπὶ τοῦ ν. τοῦ ἐκ Μαρίας γεννηθέντος; δι' ὧν ῥημάτων δείκνυται φανερῶς ὅτι οὐ τὸν θεὸν λόγον σαρκωθῆναι…ἐκ τῆς…Μαρίας λέγει, ἀλλὰ ψιλὸν ἄνθρωπον τὸν Χριστὸν ὃν ν. ἀποκαλεῖ ib.*(p.53.6,8; 1057A); *λέγων· ὅτι δεῖ ὁμολογεῖν εἰς τὸν ν. καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῷ ν. … ἡ γὰρ καθολικὴ ἐκκλησία ἕνα κύριον …Χριστὸν…ὁμολογεῖ, καὶ οὐχὶ εἰς τὸν ν. καὶ εἰς τὸν ἐνοικοῦντα ἐν τῷ ν. πιστεύειν…διδάσκει* [a doctrine which implies a fourth Person of the Trinity] *ib.*(p.62.14ff.; 1077B,C); ref. Mt.8:25ff. *οὐδὲ καθεύδοντα ἑώρακέ ποτε* [sc. *τὸν θεόν*]*…καθεύδει τοίνυν ὁ τοῦ…λόγου ν.* Bas.Sel. *or.*22.1(M.85.265B); *περὶ τοῦ ἁγίου αὐτοῦ ν., ὃς ἔσται ἐκ σπέρματος αὐτοῦ τοῦ Δαυίδ, καὶ τῆς συναφθείσης τῷ ν. θεότητος* ‡Bas.Sel.*or.*38. 2(M.85.405C); *εἰ μὴ εἰς ν. ἡ φόρημα ἔχει ὁ λόγος τὸν ἄνθρωπον, ἐξ ἀνάγκης εἰς οὐσίαν ἔχει· ὁ δὲ λαμβάνων τὴν σάρκα εἰς οὐσίαν τοῦ Χριστοῦ, αὔξησιν ποιεῖ τῆς οὐσίας τοῦ υἱοῦ, τρέπων…αὐτὴν εἰς ἕτερον. ἀλλ' ἔστι μὲν καὶ ὡς ἐν ν. καὶ ὡς εἰς σκηνὴν καὶ ὡς εἰς φόρημα κατὰ ἀναλογίαν τινὰ ὁ λόγος ἐν τῇ σαρκί· οὐ μέντοι κατὰ ἀπαραλλαξίαν ὡς ἐν ἑνὶ τούτων ἐστίν· εἴπερ γὰρ μὴ ταὐτόν ἐστιν, οὐδὲ ὡσαύτως τὸ ἐν τοῖσδε αὐτοῖς πᾶσιν ἓν εἶναι, πολλῷ μᾶλλον τὸ μηδὲ ὡς ἓν τῶνδε πάντη εἶναι, τὸ ἐχόμενον πρὸς τὸν ἔχοντα ἕξει ἑν Χριστῷ τὴν διαφοράν· εἰ δὲ τὸ παρὰ τάδε ὄν, εὐθὺς εἰς οὐσίαν προσληφθῆναι καὶ οὐκ εἰς ὑπόστασιν μᾶλλον, διὰ τῆς πρὸς οὐσίαν συνελεύσεως οὐσίας δηλοῖ, ἆρα γε…τῆς ψυχῆς πρὸς τὸ σῶμα ἐν τῷ ἀνθρώπῳ* Leont.H.*Nest.*7.4(M.86.1756A,B).

I. BMV *Χαῖρε, ὁ ἔμψυχος ν. τοῦ θεοῦ* ‡Gr.Thaum.*annunt.*3(M.10. 1177A); ‡Epiph.*hom.*5(M.43.496D); †Cyr.*hom.div.*11(5².380D); *οὐκ αὐτὴ θεός, ἀλλὰ θεοῦ ν.* Procl.CP *or.*2.6(M.65.700D); *ib.*6.17(753B); Mod.*dorm.*10(M.86.3301B); Jo.Eub.*concept.BMV* 14(M.96.1481A); *ib.*16(1485A); Thdr.Stud.*nativ.BMV* 1(M.96.680D).

***ναουργ-έω,** *make into a shrine,* Christol. *τὸν ἄνθρωπον ~ήσας ἐφόρεσεν ὁ λόγος* Eust.*fr.in Pr.8:22*(M.18.677C); *~ὢν Χριστὸς ἑαυτῷ τὸ σῶμα* Thdr.Stud.*nativ.BMV* 7(M.96.689C).

***ναουργία, ἡ,** *construction of a shrine, making into a shrine,* Christol. *φύσει θεὸς…γεννηθεὶς ὁ χρίσας· ὁ δὲ χρισθεὶς ἐπίκτητον εἴληφεν ἀρετήν, ἐκκρίτῳ ν. κοσμηθεὶς ἐκ τῆς τοῦ κατοικοῦντος ἐν αὐτῷ θεότητος* Eust.*fr.in Ps.*(p.69; M.18.688B).

***ναοφόρος, ὁ,** *shrine-bearer*; met., of Christians *θεοφόροι καὶ ν., Χριστοφόροι, ἁγιοφόροι* Ign.*Eph.*9.2.

***ναργέλλιον, τό,** *coconut,* Cosm.Ind.*top.*11 (v.l. *ἀργέλλια* M.88. 445C); *ib.*(conj. for *ἀργελλίων* codd., 445A).

***νάρδιον, τό,** ? *receptacle for unguent* (or ? = *νάρδος, spikenard*), *Euchol.*(p.503).

νάρθηξ, ὁ, 1. *giant fennel,* used as thyrsus, Clem.*prot.*2(p.17.8; M.8.89A); **2.** *forecourt* of church; **a.** in gen., long and narrow vestibule along west end of church, Paul.Sil.*Soph.*428(M.86.2136A); with seven gates at S. Sophia, *ib.*440(2136B); Cyr.S.*v.Jo.Hes.* 17(p.214.24); also extending along sides of nave, hence *ἐν τῷ τρίτῳ ν. τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας* Const.Pogon.*edict.*tit. (H.3.1445C); **b.** used in penitential discipline *ἡ ἀκρόασις ἔνδοθι τῆς πύλης ἐν τῷ ν., ἔνθα ἑστάναι χρὴ τὸν ἡμαρτηκότα ἕως τῶν κατηχουμένων, καὶ ἐντεῦθεν ἐξέρχεσθαι* Gr.Thaum.*ep.can.*11(M.10.1048A); †Jo.Jej.*poenit.*(M.88.1912D); for psalm-singing at vigils, Paul.Sil. *Soph.*428ff.(M.86.2136A,B); as repository for corpse at funerals, Cyr.S.*v.Jo.Hes.*17(p.215.5); *Euchol.*(p.424); for confessions of

women, *Nomoc.*40; as place of congregation, esp. in monastic churches *ν. ἐστὶ διὰ τὸ ἑστάναι τὸν λαὸν ἔξω ἐν τῇ τοῦ θυμιάματος ὥρᾳ* ‡Sophr.H.*liturg.*4(M.87.3985A).

ναρκ-άω, *be numb, be stiff*; met.; **1.** *be torpid, slack,* mentally or spiritually *ψυχὴν...~ῶσαν A.Jo.*69(p.184.18); Chrys.*hom.25.4 in Mt.*(7.312B); *ib.57.4*(582A); id.*hom.9.1 in Eph.*(11.68D); *εἰς βασιλείαν κέκλησαι...καὶ ~ᾷς;* id.*hom.2.4 in Col.*(11.338B); Isid.Pel.*epp.*1.13 (M.78.188B); Cyr.*Jo.*1.9(4.88A); **2.** *shrink, lose heart βίαν πάσχων, καὶ οὐδὲ οὕτως ἐνάρκα* Chrys.*hom.36.2 in Jo.*(8.208D); *οὐ ~ᾷ πρὸς τὸ μῆκος* id.*hom.39.1 in Gen.*(4.396A); *οὐδὲ πρὸς τοῦτο ἐνάρκησεν* id. *hom.8.3 in Mt.*(7.123A); *ib.25.1*(306C); id.*hom.7.7 in 1Cor.*(10.61D); *~ᾷ ἡ ψυχὴ καὶ τὸ σῶμα ib.22.4*(197E); id.*hom.7.5 in Col.*(11.378A); **3.** *shrink from,* c. infin. *οὐδὲ...ἀπογεύσασθαι ~ήσαντες* Evagr.*h.e.* 2.8(p.56.25; M.86.2524A); **4.** *be shocked, horrified ἀπὸ τῆς ὄψεως μόνης εἰκὸς ἦν ~ῆσαι λοιπόν* Chrys.*hom.48.4 in Mt.*(7.499C); **5.** *be amazed, stupefied,* ‡Caes.Naz.*dial.*48(M.38.920); *ib.*183(1157); **6.** *be bewildered ~ᾷ πρὸς τὰς τῶν προφητῶν πολυσήμους φωνάς Clem.ep. Petr.*1(M.2.25B); *μὴ συγχέῃς τὰς φύσεις καὶ οὐ ~ήσεις περὶ τὴν οἰκονομίαν* Ant.Ptol.*fr.*ap.Leont.B.*Nest.et Eut.*1(M.86.1316A); Procl.CP *or.* 18.3(M.65.821A); **7.** *slacken, grow feeble, A.Andr.fr.*5(p.40.9); *ἀνθρακίαν ~ήσασαν* ‡Nil.*perist.*10.5(M.79.893C); *ib.*11.6(912C); Procl.CP *or.*18.3(M.65.821B).

[*]ναρκ-ιάω, = *ναρκάω*; **1.** *be numb, paralysed, A.*(*Pass.*)*Andr.*14 (p.32.12, v.l. *ἐνάρκουν* M.2.1244B); met. *οὐ ~ιᾷ τὴν χεῖρα* Ephr.*Abr. et Is.* (v.l. *ναρκεῖ* M.56.541); *~ιᾷ μου ἡ ψυχή* Rom.Mel.(*ABAW* 24[3] p.26); **2.** *be slack*; met., Tim.Ant.*nativ.Jo.Bapt.*(M.28.908C).

ναρκ-όω, *hesitate, shrink from μὴ ~οῦντες λέγειν Mir.Artem.*40 (p.70.12).

νάρκωσις, ἡ, *insensibility* (to passion, bodily desire); of Adam and Eve before Fall, Gennad.*fr.Gen.*3:8(M.85.1637A).

***νάς, ὁ,** v. *νάας.*

***Νασαραῖοι (Νασαρηνοί), οἱ,** name of a Jewish sect, mentioned with Essenes, etc., Epiph.*haer.*1 proem.5(p.159.29; M.41.164C); *N. ἑρμηνευόμενοι ἀφηνιασταί, οἳ πᾶσαν σαρκοφαγίαν ἀπαγορεύουσιν, ἄχρι δὲ Μωϋσέως καὶ 'Ιησοῦ τοῦ Ναυῆ τοῖς ἐν τῇ πεντατεύχῳ ἁγίοις ὀνόμασι πατριαρχῶν κεχρημένοι τε καὶ πιστεύοντες...τὰς δὲ τῆς πεντατεύχου γραφὰς οὐκ εἶναι Μωϋσέως δογματίζουσιν, ἄλλας δὲ παρ' αὐτὰς ἔχειν διαβεβαιοῦνται* id.*anac.*19(p.168.4; M.41.172C); *N. οἵτινες 'Ιουδαῖοί εἰσι τὸ γένος, ἀπὸ τῆς Γαλααδίτιδος καὶ Βασανίτιδος καὶ τῶν ἐπέκεινα τοῦ 'Ιορδάνου ὁρμώμενοι* id.*haer.*18.1(p.215.15; *Ναζαραῖοι* M.41.257A); dist. from Christian *Ναζωραῖοι, ib.*29.6(p.327.18; 400B); a few surviving in upper Thebaid and Arabia, *ib.*20.3 (*Νασαρηνοί* p.226. 21; 273A).

***νάτιβος, ὁ,** (Lat. *nativus*) a gem, one of the varieties of the hyacinth stone (identified by Epiph. with the lyncurium or tourmaline), so called prob. because of its natural colour, Epiph. *gemm.*7(M.43.300A).

ναυάγιον, τό, *shipwreck*; met., *disaster*; financial, Chrys.*hom. 56.6 in Mt.*(7.574D); *ib.61.3*(614B); of troubles of Job, id.*hom.28.3 in 1Cor.*(10.253D); of Flood *κοινὸν τῆς οἰκουμένης ν.* id.*hom.6.6 in Mt.*(7.98C); *ib.12.3*(163E); Bas.Sel.*or.*14.1(M.85.185B); Cosm.Ind. *top.*5(M.88.220D); moral *τὰ τῆς μέθης ν.* Clem.*paed.*2.2(p.169.21; M.8. 413C); *ib.*(p.173.14; 424A); *τρυφὴ...ἀνθρώποις ν. γίνεται ib.*3.7(p.258.4; 608B); Chrys.*hom.26.7 in Mt.*(323D); *ib.55.5*(561D); *ib.57.4*(582B).

***ναυάγιος,** *shipwrecked, T.Abr.*A 19(p.102.5).

***ναυαγιοφόρος,** *bringing shipwreck,* ‡Chrys.*hom.in Mt.12:14* (10.759E).

***Ναυαταῖος,** v. **Ναυατιανός.*

***Ναυατιανικός,** *Novatianist N. ἀπανθρωπίας* Thdr.Stud.*epp.*2. 162(M.99.1512A).

***Ναυατιανός (*Ναυαταῖος, *Νοουατιανός),** (Lat. *Novatianus*); **1.** *Novatianist, N. ἀπόνοια* Eulog.*fr.Novat.*(M.104.329C); **2.** masc. plur. as subst., *followers of Novatian, Novatianists, Νοουατιανοί* Const.ap.Eus.*v.C.*3.64(p.111.17; *Ναυατιανοί* M.20.1140B); *Νοουατιανοί* Ath.*Ar.*1.3(M.26.17A); otherwise known as *καθαροί,* Epiph.*haer.*59.13 (p.379.2; M.41.1037B); *Ναυαταῖοι* id.*anc.*13(p.21.29; M.43.40C) cit. s. *Μοντήσιοι*; *Ναυᾶτοι* id.*rescr.*4(p.158.24; M.41.161D); similar to Donatists except in their Trin. orthodoxy, *ib.*; persecuted by Valens, Socr.*h.e.*4.9.4–6(M.67.477D); refusing post-baptismal repentance, *ib.*6.22.10(729A); for mortal sins in addition to apostasy, *ib.*7.25.18–19(796C,D); their observance of Easter *N. δοκοῦσιν ἄλλως πως τὰ καθ' ἡμᾶς ἠρέμα μιμεῖσθαι· δουλεύουσι μὲν καὶ αὐτοὶ τῇ προθεσμίᾳ τῶν 'Ιουδαίων καὶ πρῶτον μῆνα καὶ αὐτοὶ νομίζουσι, καὶ τεσσαρακαιδεκάτην κατὰ σελήνην τὴν παρ' ἐκείνοις μεταδιώκοντες ἀλλ' οὐχὶ ἕως τούτου γε ἵστανται, ἀλλ' ὅταν ἐν τούτοις γένωνται, καὶ ἐπὶ τὴν τριήμερον ἔρχονται, εἰ καὶ μάλιστα ἀκύρως, καὶ οὐ καθ' ἁρμονίαν ἐκκλησιαστικήν* ‡Chrys.*pasch.*7(8.276B); attitude to re-baptism, Bas. *ep.*199 *can.*47(3.296D; M.32.732A) cit. s. *ἀναβαπτίζω*; *ποῦ εἰσιν οἱ N.*; Oecum.*2Cor.*12:21(p.446.1).

***Ναυᾶτοι, οἱ,** v. foreg.

***ναύκλα, ἡ,** *ship, Vaticin.*2(p.54).

***ναυλομάχος, ὁ,** s.v.l., ? nickname for *ναυλοδόκ(χ)ος, receiver of freights,* Sophr.H.*mir.Cyr.et Jo.*6(M.87.3433D), perh. error for *ναυλοδόχος.*

***ναυμάχης, ὁ,** = *ναυμάχος, one who fights on shipboard, marine,* Chrys.*sac.*4.4(p.111.20; 1.408D); cf. *ναυμαχῶν ib.*6.12(p.167.3; *ναυμάχων* 433B).

***ναυμάχιον, τό,** a *lake* at Rome *for exhibition of sea-fights,* near Vatican *ὁ Νέρων εἶπεν...κελεύω αὐτοὺς ἐν τῷ ν. τόπῳ ἀναλωθῆναι A.Petr.et Paul.*79(p.212.12); *ἦραν δὲ τὸ σῶμα τοῦ...Πέτρου...καὶ ἔθηκαν αὐτὸ ὑπὸ τὴν τερέβινθον πλησίον τοῦ ν. εἰς τόπον καλούμενον Βατικάνον ib.*84(p.216.16).

ναῦς, ἡ, *ship*; met.; **1.** of man in voyage of life, Clem.*q.d.s.*34 (p.182.29; M.9.640C); ‡Just.*ep.Zen.et Ser.*4(M.6.1188B); **2.** of Church, Hipp.*antichr.*59(p.39.13; M.10.777C); *Clem.ep.*14(M.2.49A); of assembled congregation where bishop acts as captain of ship, *Const. App.*2.57.2; of heretical sect as *ν. πειρατική,* Clem.*str.*3.8(p.224.14; M.8.1164C); **3.** Pythagorean name for unity *ἔτι ἐπενόουν...ναῦν, ἅρμα, φίλον* Anat.Laod.*decad.*(p.30).

***ναυσηρός,** *nauseous*; met., of heret. dogma, Ath.*Ar.*2.43(M.26. 240A).

***ναυσιασμός, ὁ,** *nausea*; met., ‡Chrys.*circ.*(8.89A).

***ναυσιπορ-έομαι,** *be navigable ~εῖται...τούτων ἕκαστος μυριοφόροις ὁλκάσιν* ‡Caes.Naz.*dial.*147(M.38.1096).

ναυστολία, ἡ, *fleet,* Thphn.*chron.*p.285(M.108.701A).

ναυστολόγος, ὁ, *ship's steward* who assigned passengers their places and directed them; hence, met., of catechists in comparison of Church with a ship, *Clem.ep.*14(M.2.49A); and of deaconesses showing women members of congregation to their places, *Const. App.*2.57.10.

***ναυταρίδιον, τό,** *lubber,* contemptuous term for *sailor,* Gr.Naz. *carm.*2.1.11.841(M.37.1087A).

***ναυτηλόγος, ὁ,** = *ναυστολόγος, A.Phil.epit.*30–33(p.92.17).

ναύτης, ὁ, *sailor,* in comparison of Church with a ship *ἔχει δὲ καὶ ναύτας δεξιᾷ καὶ εὐωνύμῳ ὡς ἁγίους ἀγγέλους παρέδρους* Hipp. *antichr.*59(p.40.4; M.10.780A); *παρεικάσθω ὁ μὲν...πρωρεὺς ἐπισκόπῳ, οἱ ν. πρεσβυτέροις Clem.ep.*14(M.2.49A).

***ναυτίασις, ἡ,** *nausea,* Epiph.*exp.fid.*1(p.496.27; M.42.776A).

ναυτιασμός, ὁ, = foreg.; met., Isid.Pel.*epp.*1.143(M.78.280A); Nest.*ep.Cyr.*2(p.29.9; M.77.49B); Thdr.Stud.*epp.*2.7(M.99.1129A).

ναυτιλία, ἡ, *fleet,* Thphn.*chron.*p.239(M.108.601A).

ναυτίλλω, 1. *sail, navigate,* Thdr.Stud.*epp.*1.11(M.99.945B); **2.** med., c. acc., *sail on, navigate,* Philost.*h.e.*3.11(M.65.496A).

***ναυφράγιον, τό,** (Lat. *naufragium*) *shipwreck, Hom.Clem.*12.10; *ναυάγιον ib.*12.16,25 (v.l. *ναυφράγιον*).

νεάζ-ω, 1. *be young*; hence *be junior, inferior ὁ γὰρ ἐλθὼν* [sc. *Χριστός*] *πρεσβυτέρας ἀξίας ὧν τοὺς ~οντας ἐν αὐτῇ σείσει Pers.*(p.14. 9; M.10.104A); **2.** = *νεάω, plough up,* met. *νόμος...~ων τὴν ψυχὴν εἰς ὑποδοχὴν τοῦ...λόγου* ‡Chrys.*pasch.*6(p.137.17; 8.267B); Rom. Mel.(*AS* 1 p.66).

***νεαλογέω,** *teach innovations,* Didym.*Trin.*2.1(M.39.617C); *ib.* 2.24(745C).

νέαμα, τό, *fallow land, Nomoc.*516.

νεανίας, ὁ, *young man,* of Christ as revealed in visions *ὤφθη αὐτοῖς ν. λαμπάδα ἀνημμένην κατέχων A.Thom.*A 27(p.143.5); with angels *ἔρχεται πρός με ν. τις εὐμορφώτατος...ἐξαστράπτων, καὶ ἕτεροι μετ' αὐτοῦ ν. ὡραῖοι M.Perp.*10(p.77.13); *ν. εὐειδής, ἔχων κυκλόθεν ἀκτῖνας A.Xanthipp.*15(p.68.20).

***νεανιότης, ἡ,** *youthfulness*; hence **1.** *freshness, vigour,* met. *ν. πίστεως* Ph.Carp.*Cant.*4(M.40.41A); **2.** *ardour,* Epiph.*exp.fid.*13 (p.513.9; M.42.805A); **3.** *impetuosity, wilfulness, ib.*9(p.504.28; 788C); **4.** exeg. Is.7:14 *τὸ τῆς ν. ὄνομα ἐπὶ τῆς παρθενίας εἴωθεν ἡ γραφὴ τιθέναι, οὐκ ἐπὶ γυναικῶν μόνον, ἀλλὰ καὶ ἐπὶ ἀνδρῶν* Chrys.*hom.5.3 in Mt.*(7.76A).

νεᾶνις, ἡ, *young woman, girl*; **1.** in gen. (unmarried or married) *οὗ μοι δοκεῖς Ἀττικῆς ἐπαίειν φωνῆς, παρ' ἧς ἔστιν ἐκμαθεῖν τὰς καλὰς καὶ ὡραίας, ἔτι δὲ καὶ ἐλευθέρας ν. παιδίσκας καλουμένας, παιδισκάρια δὲ τὰς δούλας, καὶ ν. δὲ καὶ αὐτάς* Clem.*paed.*1.5(p.98. 3; M.8.265A); *νέοι μὲν καὶ ν. ib.*2.7(p.190.4; 457A); *M.Perp.*20(p.91. 9); Meth.*symp.*proem.(p.6.18; M.18.36A); **2.** exeg. Is.7:14 [AQ, THDN, SM], cited in this form, *Pers.*(p.40.16); *ὑμεῖς* [sc. Jews] *καὶ οἱ διδάσκαλοι ὑμῶν τολμᾶτε λέγειν μηδὲ εἰρῆσθαι...ἰδοὺ ἡ παρθένος ἐν*

γαστρὶ ἕξει, ἀλλ', ἰδοὺ ἡ ν. ἐν γαστρὶ λήψεται...καὶ ἐξηγεῖσθε τὴν προφητείαν ὡς εἰς Ἐζεκίαν Just.*dial.*43.8(M.6.569A); *ib.*67.1(629A); *ib.*71.3(644A); ὑμεῖς δὲ...παραγράφειν τὰς ἐξηγήσεις, ἃς ἐξηγήσαντο οἱ πρεσβύτεροι ὑμῶν παρὰ Πτολεμαίῳ...τολμᾶτε, λέγοντες μὴ ἔχειν τὴν γραφὴν ὡς ἐκεῖνοι ἐξηγήσαντο, ἀλλ', ἰδοὺ ἡ ν. ... ὡς μεγάλων πραγμάτων σημαινομένων, εἰ γυνὴ ἀπὸ συνουσίας τίκτειν ἔμελλεν, ὅπερ πᾶσαι αἱ ν. γυναῖκες ποιοῦσι *ib.*84.3(673C); οὐχ ὡς ἔνιοί φασι τῶν νῦν μεθερμηνεύειν τολμώντων τὴν γραφήν· ἰδοὺ ἡ ν. ... ὡς Θεοδοτίων... καὶ Ἀκύλας...οἷς κατακολουθήσαντες οἱ Ἐβιωναῖοι, ἐξ Ἰωσὴφ αὐτὸν γεγενῆσθαι φάσκουσι Iren.*haer.*3.21.1(M.7.946A); ἡ μὲν λέξις ἡ ἀλμά (Hebr. עַלְמָה), ἣν οἱ μὲν ἑβδομήκοντα μετειλήφασι πρὸς τὴν παρθένον ἄλλοι δ' εἰς τὴν ν. κεῖται...καὶ ἐν τῷ Δευτερονομίῳ ἐπὶ παρθένου [Dt.22:23–26]...ποῖον οὖν σημεῖον τὸ ν., μὴ παρθένον τεκεῖν; Or.*Cels.*1.34–35(p.86.3; M.11.725C); Eus.*d.e.*7.1(p.303.20; M.22.497A); *ib.*(p.305.1; 500A); οὐδὲν δὲ ἡμᾶς κωλύει, εἰ καὶ ν. κατ' αὐτοὺς περιέχει τὸ Ἑβραϊκόν, ὡς περὶ παρθένου δηλοῦσθαι νομίζειν τὰ εἰρημένα· καὶ γὰρ οὖν ἐν τῷ Λευτικῷ εὕροις ἂν τὴν...παρθένον...ν. ὑπὸ τῆς γραφῆς ὀνομαζομένην [i.e. Dt.22:27] id.*ecl.*4.4(M.22.1204Af.); Cyr.H.*catech.* 12.21; ἀνθίστανται οἱ Ἰουδαῖοι τῇ ἐκδόσει τῶν ἑβδομήκοντα, λέγοντες μὴ κεῖσθαι παρὰ τῷ Ἑβραίῳ τό, ἡ παρθένος, ἀλλ', ἡ ν., ὡς δυναμένης νεάνιδος ὀνομάζεσθαι τῆς ἀκμάζουσης καθ' ἡλικίαν, οὐχὶ δὲ τῆς ἀπειρογάμου γυναικός· πρὸς οὓς ῥᾴδια...ἡ ἀπάντησις. εἰ γὰρ σημεῖόν ἐστι τεραστίου τινὸς...τί θαυμαστὸν ἦν, μίαν τῶν πολλῶν γυναῖκα...μητέρα γενέσθαι παιδίου;...εἰ μὲν σημεῖόν ἐστι τὸ διδόμενον παράδοξος ἔστω καὶ ἡ γέννησις...ὅτι μέντοι ἡ ν. ἐπὶ παρθένων ἰδίως ὠνομάσθη, δῆλον ἐκ τῶν...οὕτως εἰρημένων [Dt.22:25ff.]. ἡ τοίνυν βοῶσα πρὸ τῆς φθορᾶς παρθένος ἦν, δηλονότι. ἴσον οὖν δύναται εἰπεῖν, ἐβόησεν ἡ παρθένος καὶ ἐβόησεν ἡ ν. ... καὶ...ἡ Σωμανῖτις, ἡ συνθάλπουσα τὸν Δαβίδ, παρθένος οὖσα...ν. προσαγορεύεται †Bas.*Is.*201(1.528E–529C; M.30.464A–C); cf.Chrys.*hom.*5.3 *in Mt.*(7.76A); *Dial.Ath.et Zacch.*32(p.22); εἰ μέντοι ν. εἶπε, ν. ἐν τῷ Ἑβραϊκῷ ἐστιν· ἵνα δὲ καὶ οὕτως συμπερινεχθῶ σοι, ἡ ν. παρθένος ἑρμηνεύεται· φησὶ γὰρ ἐν τῷ Δευτερονομίῳ [22:25ff.]... γνῶθι οὖν...ὅτι ἡ ν. καὶ ἡ παρθένος ἓν ἐστιν *Dial.Tim.et Aquil.*111 r°; **3.** exeg. Cant.1:3,6:7; cf. *adulescentulae vero, quae nondum in id beatitudinis venerant neque summam perfectionis acceperant neque usu et operibus fructus perfectae caritatis expleverant,* Or.*comm.in Cant.*1(p.110.31; M.13.100A); ἑτέραις δὲ ψυχαῖς κοινωνεῖ [sc. ὁ λόγος] παιδαγωγουμέναις φόβῳ θεοῦ· αὗται εἰσιν αἱ παλλακίδες· εἰσί τινες καὶ ἄλλαι ψυχαὶ ὑποδεέστεραι, ἐλάττονα φόβον ἔχουσαι· αὗται εἰσιν αἱ ν. id.*schol.in Cant.*6:7(M.17.277D); αὗται εἰσιν αἱ...ν., διὰ τὸ νέαν ἄγειν τὴν πνευματικὴν ἡλικίαν, αἳ γεννηθεῖσαι μὲν τῷ λόγῳ τῆς πίστεως, οὐδέπω διὰ τῆς προσηκούσης αὐξήσεως τοιαῦται γεγόνασιν ὡς ἐπὶ γάμων ἀκμὴν προελθεῖν Gr.Nyss.*hom.*15 *in Cant.*(M.44.1112B); ν. δὲ...ἐν ταῖς λοιπὸν κατὰ πάντα κόσμον φιλοσοφίαις καὶ ἑκάστης ψυχῆς πολιτείαις, τῆς μὲν οὔσης ἐπαινετῆς, τῆς δὲ οὔ Epiph.*exp.fid.*9(p.504.23; M.42.788C); *ib.*13(p.513.4; 804D); ν. ... αἱ διά τινας προφάσεις κοσμικὰς σωφρονοῦσαι Isid.Pel.ap.Proc.G.*Cant.*6:7–8(M.87.1721C); ν. ... τὰ ἔθνη τὰ ἀπηλλοτριωμένα τοῦ θεοῦ καὶ ξένα τῶν διαθηκῶν Nil. *ib.*(1720C); ν. ... αἱ ψυχαὶ τῶν δικαίων Ph.Carp.*Cant.*4(M.40.40B); **4.** as adj., *fresh, youthful,* Just.*dial.*84.3(M.6.673C); *A.Jo.*20 (p.162.6).

νεανίσκος, ὁ, A. *young man*; **1.** in gen., of one described as παῖς ἐτῶν κγ' *A.Phil.*29(p.15.22); cf.*ib.*28(p.15.7); **2.** of Christ in visions ὁ κύριος ὤφθη...ὡς ν. *A.Jo.*87(p.193.24); ἀρχιγένειος ν. *ib.*89(p.194. 23); *A.Andr.*6(p.71.4); ἐξαστράπτων ὥσπερ τις ν. εὔμορφος *A.Mt.*17 (p.238.5); in gen., description, *M.Ner.et Ach.*8(p.7.23); **3.** of angels in a vision, Herm.*vis.*3.4.1; **4.** met.; **a.** ref. Lam.1:18 παρθένους νόει τοὺς ἐν ἀφθαρσίᾳ βιοῦντας, ν. δὲ τοὺς ἐν ἀρετῇ εὐδοκίμους Or.*fr.* 39 *in Lam.*(p.253.13; M.13.629C); **b.** as adj., *vigorous, active* οἱ σφόδρα ν. πρὸς εὐσέβειαν Cyr.*ador.*4(1.130E).

B. *slave, A.Jo.*19(p.161.26); *ib.*111(p.210.2); *A.Thom.*A 64(p.181.1).

***νεαρότης, ἡ,** *freshness, new vigour,* Chrys.*hom.*15.6 *in Mt.*(7. 194A).

***νεαρότμητος,** *freshly cut,* Pall.*h.Laus.*36(p.107.13; M.34.1179D).

***νέβελ,** (Hebr. נֵבֶל) a Hebrew measure = 150 ξέσται, about 18 gallons, Gr.Nyss.*Eun.*2(1 p.283.19; M.45.992B); Epiph.*mens.*21(M. 43.272B).

***νεελαία, ἡ,** *young olive,* met. ὦ τοῦ Χριστοῦ ν. (cf. Ps.127:3), ‡Ign.*Ant.*6 (v.l. νεολαία).

[*]**νεήκονος,** *newly whetted,* Isid.Pel.*epp.*5.479(M.78.1605C).

νέηλυς, ὁ, *newcomer, novice*; **1.** in gen., Jo.VI H.*v.Jo.D.*23(M.94. 464A); of university freshmen τῶν ν. συστέλλειν τὸ φρόνημα Gr.Naz. *or.*43.16(M.36.516C); *ib.*43.17(517C); of catechumens, Cyr.H.*catech.* 12.17; **2.** as adj., of Church as new people of God opp. Jews λαοῖο ν. Gr.Naz.*carm.*1.1.9.30(M.37.459A); of Arian Christ οὔτε ν. οὔτε πρόσφατον σέβοντες θεόν Petr.II Al.*encycl.*5 ap.Thdt.*h.e.*4.22.17(M. 33.1284A).

***νεήπιος,** *newly gentle* νήπιος δὲ ὁ ν., ὡς ἤπιος ὁ ἀπαλόφρων, οἷον ἤπιος νεωστί Clem.*paed.*1.5(p.101.7; M.8.272A).

νεῖκος, τό, *strife*; hence *the separative principle* in the cosmos, acc. Empedocles, Clem.*prot.*5(p.49.6; M.8.165A); whose doctrine Marcion borrowed, Hipp.*haer.*6.25(p.152.1; M.16.3231A); *ib.*7.29 (p.210.12; 3323B).

***Νειλαγαθίον, τό,** a kind of fruit growing by the Nile and Indus, Cosm.Ind.*top.*2(M.88.117B).

***νεκρεγερσία, ἡ,** *raising of the dead,* ‡Chrys.*Marth.*(10.754E); Germ.CP *or.*2(M.98.277C).

***νεκρέγερσις, ἡ,** *resurrection from the dead,* ‡Gr.Naz.*Chr.pat.*239 (M.38.136A).

***νεκρέγερτος, ὁ,** *one risen from the dead,* ‡Gr.Naz.*Chr.pat.*239(M. 38.136A); *ib.*780 (νεκρεγέρτην 198A).

***νεκρικός,** *putting to death, fatal* ἀγνωσία θεοῦ νεκρικῆς ἀναισθησίας ὁμοίωμα Nest.*hom.tent.*1(p.339, v.l. νεκρωτικῆς M.61.683).

νεκροβόρος, *devouring the dead* or *corpses*; **1.** lit., Or.*hom.*10.8 *in Jer.*(p.78.8; M.13.368A); Eus.*fr.Lc.*12:22(M.24.557A); *ib.*17:37(588B); Gr.Nyss.*v.Mos.*(M.44.409D); of flesh-eating birds proscribed as unclean by Law, signifying duty to abstain from greed, Thdt.*qu.*11 *in Lev.*(1.190); **2.** met., *battening on the dead* by hunting legacies, Gr.Naz.*carm.*2.1.17.33(M.37.1264A).

***νεκροδρομία, ἡ,** *escape of the dead,* i.e. the delivery of the righteous souls at Christ's descent into Hades, Ephr.3.472A.

***νεκροειδής,** *corpse-like,* ‡Chrys.*hom.in Ps.*100(5.639E).

***νεκροκόμος, ὁ,** *one who attends to corpses, undertaker*; of those who honour martyrs only by external devotion to their tombs, Gr.Naz.*carm.*2.2(epigr.)48.18(M.38.109A).

***νεκρολατρεία, ἡ,** *worship of the dead,* ref. hero cults προσκυνητέον...θεῷ μόνῳ τῷ κατὰ φύσιν...καὶ λόγος ἔστω μηδεὶς τῶν... ἀνθρώπων οἷς ἐπεγράφη τὸ θεῶν ὄνομα. ν. γὰρ τοῦτο Cyr.*Is.*3.5(2. 515D).

***νεκρολάτρης, ὁ,** *worshipper of a dead man* οὐ καθ' ἑαυτὸ θεὸς τὸ ταφὲν ἐπὶ μνήματος· οὕτω γὰρ ἂν ἦμεν ἀνθρωπολάτραι καὶ ν. σαφεῖς Nest.*fr.*C 9(p.262.10)ap.Cyr.*Nest.*2.13(p.51.7; 6[1].58B).

νεκρομαντεία, ἡ, *necromancy* ψυχῆς ἀναπομπήν, τὴν λεγομένην ν. *Hom.Clem.*1.5; μὴ κατὰ νεκρομαντείαν ὁ τρόπος αὐτῷ [sc. Apollonius of Tyana] τῆς φανείσης ὄψεως γένοιτο. οὔτε γὰρ βόθρον...Ὀδυσσέως ὀρυξάμενος, οὐδ' ἀρνῶν αἵμασι ψυχαγωγήσας Eus.*Hierocl.*28(529A; M. 22.836B); forbidden to Christians, *Const.App.*2.62.2.

***νεκροπαθεία, ἡ,** *mortification of the passions, Hymn.*(*AS* 1 p.607).

***νεκροποιέω,** *put to death,* Iren.*haer.*5.12.1(M.7.1151C).

νεκροποιός, *death-dealing,* Eus.*h.e.*10.4.14(M.20.853C); *Const. App.*2.61.3.

***νεκροπρεπής,** *befitting the dead,* ‡Gr.Naz.*Chr.pat.*2145(M.38. 305A); *ib.*2159(306A).

***νεκροπρεπῶς,** *in a manner befitting the dead,* ‡Epiph.*hom.*2(M. 43.448D); Germ.CP *or.*2(M.98.253B).

νεκρός, ὁ, I. *corpse, dead body*;

A. lit.; of serpent in the wilderness as type of Christ ὧν ν. δύναται ζωοποιῆσαι *Barn.*12.7; ref. difference between Christ's body and other *νεκροί* in that blood and water flowed therefrom, and of appropriateness that being καινὸς ν. it should be laid ἐν καινῷ...μνημείῳ, Or.*Cels.*2.69(p.191.8; M.11.904C); applied contemptuously by Jews to Christ's body εἰώθασι τὸν ἐσταυρωμένον ν. καλεῖν Thdt.*Ps.*17:47(1.714).

B. met.; **1.** of false teachers τάφοι νεκρῶν, ἐφ' οἷς γέγραπται μόνον ὀνόματα ἀνθρώπων Ign.*Philad.*6.1; τοὺς γὰρ ἐν ἀγνοίᾳ τῆς ἀσεβείας ὄντας ν. ὑπὸ τοῦ ᾅδου καταπίνεσθαί φησιν ἡ γραφή· ν. γάρ, καὶ ζῆν δοκοῦντες, ἐτύγχανον ὄντες Marcell.*fr.*88 ap.Eus.*Marcell.*1.4 (p.27.12; M.24.768B); **2.** of pagans and non-Christians in gen. πρὶν ...φορέσαι τὸν ἄνθρωπον τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ, ν. ἐστιν. ... εἰς τὸ ὕδωρ οὖν καταβαίνουσι ν., καὶ ἀναβαίνουσι ζῶντες Herm.*sim.*9.16.3,4; ἀθεωτάτους ὄντας καὶ ν. τῶν ἀνθρωπίνων λογισμῶν *A.Jo.*39(p.170. 16); *νεκροί, τῆς ὄντως οὔσης ἀμέτοχοι ζωῆς* Clem.*prot.*1(p.5.31; M.8. 57C); πάντας εἶναι ν. τοὺς μὴ ζῶντας θεῷ Or.*Jo.*2.16(10; p.73.17; M. 14.144A); id.*fr.*14 *in Lc.*8:39(p.239.16); **3.** of men as sinful ἔγραψας νεκροῦ νεκρὰν εἰκόνα *A.Jo.*29(p.167.6); Clem.*str.*3.5(p.215.4; M.8. 1145A); **4.** of actual sinners τίς ὁ ν.; ὁ ἁμαρτωλός, ὁ μὴ ἔχων τὸν εἰπόντα· ἐγώ εἰμι ἡ ζωή Or.*hom.*9.3 *in Jer.*(p.67.25; M.13.353A); among Pythagoreans, of those who offend against tenets of their philosophy, Clem.*str.*5.9(p.364.29–31; M.9.88C–89A); Or.*Cels.*3.51 (p.247.22; M.11.988B); **5.** Gnost.; of χοϊκοί, opp. πνευματικοί, who are not reborn so as to enter gate of heaven, Hipp.*haer.*5.8(p.93.

20; M.16.3146C); Or.*Cels.*6.35(p.105.3; M.11.1349C); **6.** of one to whom life is worthless *σύ με ν. ἐποίησας γενέσθαι τοῦτό μοι παρασχομένη A.Jo.*20(p.162.10).

II. plur., *the dead*;

παρθενεύ-ω, *live a virgin life, be celibate*; 1. in gen. τοὺς μὲν ἀπ' ἀρχῆς ~οντας ὁρῶμεν, τοὺς δὲ ἀπὸ χρόνου †Just.*fr.res.*(p.39; M.6.1577A); Meth.*symp.*3.14(p.44.10; M.18.85A); ἀγνείαν...ἣν...γεωργοῦμεν ἡμεῖς αἱ ~ουσαι καὶ προσφέρομεν κυρίῳ *ib.*9.4(p.119.16; 188A); διαφέρουσιν οἱ μὴ ἐπιθυμοῦντες καὶ ἀγνεύοντες τῶν ἐπιθυμούντων τε καὶ ~όντων *ib.*11(p.138.10; 216B); ref. Mt.19:11 δέδοται γὰρ...τοῖς βουλομένοις...εἰ γὰρ τῆς ἄνωθεν δόσεως μόνης ἐστί, καὶ οὐδὲν αὐτοῖ συνεισφέρουσιν οἱ ~οντες, περιττῶς αὐτοῖς τὴν βασιλείαν τῶν οὐρανῶν ἐπηγγείλατο Chrys.*hom.*62.4 *in Mt.*(7.624C); as counsel, not precept, id.*hom.*21.5 *in 1Cor.*(10.186B); ὁ πορνεύων καὶ ὁ ~ων ἀμφότεροι τοῦ νόμου τὰ μέτρα ἐξέβησαν...ἀλλ' ὁ μὲν ἐπὶ τὸ χεῖρον κατενεχθείς, ὁ δὲ ἐπὶ τὸ βέλτιον ἐπαρθείς id.*comm.in Gal.*5:13(10.718C); οὐ πᾶς ὁ ποθῶν τὸ πρᾶγμα καὶ ~ει, ἀλλ' ὁ δυνάμενος Pall.*v.Chrys.*1(p.4.15; M.47.5); ref. inferiority of virginity to humility οὐ γὰρ ὁ ~ων γέγραπται, ἀλλ' ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται Isid.Pel.*epp.*1.286(M.78.352A); τῶν γὰρ...ἀνοήτων φροντίδων ἐλευθέραν ὁ ~ων ἔχει ψυχήν, καὶ τὸν μέλλοντα μιμεῖται βίον ὡς ἔνεστι Thdt.1*Cor.*7:32(3.210); Gr.Mag.*dial.*(tr.Zach.)4.17(M.*PL.*77.349A); motive prescribed εἴ τις ~οι...ὡς ἂν βδελύττων τῶν γάμων ἀναχωρήσας καὶ μὴ δι' αὐτὸ τὸ καλὸν καὶ ἅγιον τῆς παρθενίας, ἀνάθεμα ἔστω CGangr.*can.*9; of BMV πρὶν τόκου ~ουσα, παρθένος μετὰ τόκον Ephr.1.545F; Isid.Pel.*epp.*1.404(M.78.408C); Jo.D.*carm.pasch.*33(p.219; M.96.841A); myst., of birth of Christ in soul ὅπερ...ἐν τῇ...Μαρίᾳ γέγονε σωματικῶς, τοῦ πληρώματος τῆς θεότητος ἐν τῷ Χριστῷ διὰ τῆς παρθενίας ἐκλάμψαντος· τοῦτο καὶ ἐπὶ πάσης ψυχῆς κατὰ λόγον παρθενευούσης γίνεται ...τοῦ κυρίου...πνευματικῶς εἰσοικιζομένου Gr.Nyss.*virg.*2(p.254.27; M.46.324B); 2. met.; a. of purity of life and actions ἅπας ὁ βίος καὶ ἡ ζωὴ καὶ τὸ ἦθος ~ειν ὀφείλει Bas.*ascet.*1.1(2.319B; M.31.872B); πᾶν δὲ μέλος...ὄντως ~ειν Gr.Naz.*or.*43.62(M.36.577A); γλῶσσα ~έτω id.*carm.*1.2.3.51(M.37.636A); Gr.Nyss.*virg.*2(p.254.27; M.46.324B); Nil.*epp.*3.298(M.79.532A); ~ειν οὖν χρὴ τὰς κόρας τῶν ὀφθαλμῶν, ἰσωνυμίαν τῶν παρθένων τετιμημένας ‡Caes.Naz.*dial.*140(M.38.1060); b. of freedom from heresy κατὰ τὴν πίστιν π. Thdr.Stud.*epp.*2.19(M.99.1176B); 3. *be a monk* or *nun* Ἀγαλίαστος διάκονος καὶ Εὐτυχία ~σασα καὶ Κλαυδιανὴ ~σασα *ICG As.Min.*209 (Melos, ? saec. iv); ἐπέστη...τινι ~ούσῃ ‡Pall.*h.mon.*11.2(p.54.6; M.65.448D); θυγάτηρ ~ουσα ἐτελεύτησε Jo.Mosch.*prat.*78(M.87.2933C); †Jo.D.*B.J.*30(M.96.1148A); 4. of Indian ascetics, Clem.*str.*3.7(p.224.8; M.8.1164B).

παρθενία, ἡ, *virginity*;

A. def. and descriptions; etym. παρθεία γὰρ ἡ π. κατὰ μίαν ὑπαλλαγὴν καλεῖται στοιχείου, ὡς δὴ μόνη τὸν ἔχουσα καὶ τετελεσμένον αὐτῆς τὰς ἀφθόρους τελετὰς θεῷ παρεικάζουσα Meth.*symp.*8.1(p.81.4; M.18.137C); π. δέ, ὅτι παρὰ τῷ θεῷ τὸ νοούμενον τῆς τοιαύτης σωφροσύνης ἐστί ‡Pion.*v.Polyc.*14; οὐ γὰρ ἐν μόνῳ τῷ φείσασθαι τῆς παιδοποιΐας κατορθοῦται τὸ χάρισμα τῆς π., ἀλλ' ἅπας ὁ βίος...καὶ τὸ ἦθος παρθενεύειν ὀφείλει, διὰ παντὸς ἐπιτηδεύματος τοῦ ἀγάμου τὴν

ἀφθορίαν ἐπιδεικνύμενος. ἔστι γὰρ καὶ λόγῳ πορνεῦσαι, καὶ ὀφθαλμῷ μοιχεῦσαι...ὁ γὰρ ἐν τούτοις πᾶσιν ὑπὸ τὸν κανόνα τῆς π. ἑαυτὸν ἐγκρατείᾳ φυλάσσων, ἀληθῶς δείκνυσι τελείαν ἐν ἑαυτῷ...τῆς π. τὴν χάριν Bas.*ascet.*1.1(2.319B); M.31.872B); *π. μέν, τὴν ὄντως φημί...τοῦ κατὰ ψυχὴν ἀφθόρου κάλλους...ἐστὶν ἐξαίρετος* †Bas.Anc.*virg.*2(M.30.672D); *ἀληθὴς π. ἡ παντὸς τοῦ ἐξ ἁμαρτιῶν μολυσμοῦ καθαρεύουσα* Gr.Nyss. *virg.*proem.(p.248.14; M.46.317C); *νέκρωσις δὲ σώματος ἡ π. ἐστί ib.* 19(p.323.9; 396B); *παρθενίας ὅρος τό, καὶ σώματι καὶ πνεύματι εἶναι ἁγίαν* Chrys.*virg.*6(1.272C); *οὐκ ἐν τοῖς ἱματίοις, οὐδὲ ἐν τοῖς χρώμασιν ἡ π., ἀλλ' ἐν σώματι καὶ ψυχῇ ib.*7(272E); *ἡ π. διὰ τοῦτο καλόν, ὅτι πᾶσαν ἐκκόπτει φροντίδος ὑπόθεσιν περιττῆς ib.*77(329D); *ἡ ὄντως π. ἐν κυρίῳ, ἁγία ἐστὶν τῷ σώματι καὶ τῷ πνεύματι, ἀπερισπάστως...τῷ κυρίῳ λατρεύουσα ἐν πνεύματι θεοῦ, καθαρῶς...ἀρέσκουσα τῷ κυρίῳ... καὶ ἐν πνεῦμά ἐστιν πρὸς κύριον* Ant.Mon.*hom.*21(M.89.1497C).

B. as highest state of human life; **1.** unknown in OT and pagan antiquity *μὴ...νομίσῃς τὸ τῆς π. μέγεθος μικρὸν εἶναι. τοσοῦτόν ἐστιν ἡ π., ὅτι οὐδεὶς ἠδυνήθη τῶν ἀρχαίων τοῦτο τηρῆσαι. διὰ τοῦτο γὰρ ἡ χάρις μεγάλη, ὅτι ἃ ἦν φοβερὰ ἐν τοῖς προφήταις...ταῦτα ἐγένετο νῦν εὐκαταφρόνητα...βάρυ γὰρ τὸ τῆς π. κτῆμα οὕτως, ὡς μηδένα ταύτην ἀσκῆσαι. Νῶε...γυναικὶ προσωμίλησεν· ὁμοίως δὲ Ἀβραὰμ...βάρυ γὰρ ἦν τὸ ἐπάγγελμα τῆς π. ἐκ τότε ἰσχυρὰ ἡ π. ἐγένετο, ἐξ ὅτε τὸ ἄνθος τὸ τῆς π. ἐβλάστησεν· οὐδεὶς τοίνυν τῶν παλαιῶν ἠδυνήθη π. ἀσκῆσαι· μέγα γὰρ πρᾶγμα, σῶμα χαλινῶσαι* Chrys.*poenit.*3.3(2.298A–C); *χρημάτων μὲν ἕνεκεν ὀλίγους, εἶχον δὲ ὅμως δεῖξαί τινας Ἕλληνες παρ' αὐτοῖς φιλοσοφήσαντας...π. δὲ ἄνθος οὐδαμοῦ παρ' αὐτοῖς...ὁμολογοῦντες ἀνωτέρω τῆς φύσεως εἶναι τὸ κατόρθωμα* id. *fem.reg.*1(1.249A); *τὸ τῆς π. καλὸν ἀποστρέφονται μὲν Ἰουδαῖοι...θαυμάζουσι δὲ Ἕλληνες καὶ καταπλήττονται, ζηλοῖ δὲ μόνη ἡ ἐκκλησία τοῦ θεοῦ* id.*virg.*1(1.268A); *παρὰ δὲ Ἕλλησιν καὶ...φιλοσόφοις, οὐ μόνον δὲ ὅτι οὐδέπω ἐφάνη π., ἀλλ' οὐδὲ πιστεύουσίν τινα ἄνθρωπον...ταύτῃ ἀντοφθαλμῆσαι· καὶ δικαίως· πῶς γὰρ πιστεύσωσιν περὶ παρθενίας, οἱ τὰ αἰσχρὰ πάθη θεοποιήσαντες...; Ἰουδαῖοι δὲ μέχρι τῆς σήμερον, π. μὲν οὔτε ἀσπάζονται, οὔτε μετέρχονται* Ant.Mon.*hom.*21(M.89.1496C,D); though practised by some OT saints, Jo.D. *f.o.*4.24(M.94.1209A); **2.** revealed by Christ and present in Church *ἐξεταστέον, δι' ἣν αἰτίαν πολλῶν προφητῶν...πολλὰ καὶ καλὰ διδαξάντων...π. οὐδεὶς οὔτε ἐνεκωμίασεν οὔτε εἵλετο. μόνῳ...ἐφυλάσσετο τοῦτο πρεσβεῦσαι τὸ μάθημα τῷ κυρίῳ, ἐπεὶ καὶ μόνος παρελθὼν ἄνθρωπον ἐδίδαξε χωρεῖν εἰς θεόν...τὸ δὲ παλαιὸν οὐδέπω τέλειος ὁ ἄνθρωπος ἦν, καὶ διὰ τοῦτο τὸ τέλειον οὐδέπω χωρῆσαι, τὴν π., ἴσχυεν* Meth.*symp.*1.4(p.12.16ff.; M.18.44C); *ἡ π. διαδεξαμένη τὸν νόμον Χριστοῦ ταγαῖς τῶν ἀνθρώπων ἐβασίλευσεν ib.* 10.1(p.122.7; 193A); *τίς οὖν ἀνθρώπων μετὰ θάνατον ἢ ὅλως ζῶν περὶ παρθενίας ἐδίδαξε, καὶ οὐκ ἐνόμισεν ἀδύνατον εἶναι τὴν ἀρετὴν ταύτην ἐν ἀνθρώποις; ἀλλ' ὁ ἡμέτερος σωτὴρ...τοσοῦτον ἴσχυσεν ἐν τῇ περὶ ταύτης διδασκαλίᾳ, ὡς καὶ παιδία μήπω τῆς νομίμης ἡλικίας ἐπιβάντα τὴν ὑπὲρ τὸν νόμον ἐπαγγέλλεσθαι π.* Ath.*inc.*51.1(M.25.185D–188A); *μέγα π. ... καὶ τὸ μετ' ἀγγέλων τετάχθαι...ὀκνῶ γὰρ εἰπεῖν Χριστοῦ, ὅς, καὶ γεννηθῆναι θελήσας διὰ τοὺς γεννητοὺς ἡμᾶς, ἐκ παρθένου γενναῖται, π. νομοθετῶν* Gr.Naz.*or.*43.62(M.36.576C); id.*carm.*1.2.1.193(M. 37.537A); *εἶδες...τῆς π. τὸ ἄνθος; τοῦτο τῆς ἐκκλησίας τὸ ἱμάτιον* Chrys.*exp.in Ps.*44:15f.(5.180D); foretold in Ps.44:16, †Chrys.*Jud. et gent.*7(1.568A); *ἐφ' οὗ γὰρ...Χριστὸς...ηὐδόκησεν ἐκ τῆς...ἀειπαρθένου Μαρίας τῷ κόσμῳ ἐπιφανῆναι...εὐχερῶς ἐξανύεται παντὶ τῷ βουλομένῳ· τοιαύτη τῆς π. ἡ ἀρετή* Ant.Mon.*hom.*21(M.89.1497A); highest grade of life in Church, Epiph.*exp.fid.*21(p.521.33f.; M.42. 824A); **3.** even in Church only counselled, not prescribed; **a.** in gen. *οὐ νομοθετεῖ...οὔτε διὰ Μωϋσέως π. ὁ κύριος...οὔτε ἐν εὐαγγελίῳ ...οὐδαμοῦ ἐν ταῖς ἐντολαῖς π., οὔτ' ἐν παλαιᾷ, οὔτε ἐν καινῇ διαθήκῃ, νομοθετήσας* †Bas.Anc.*virg.*55(M.30.780C); *τοσοῦτον γάρ ἐστιν ἡ π. πρᾶγμα...ὅτι κατελθὼν ὁ Χριστὸς ἐξ οὐρανοῦ...οὐδὲ τότε ἐθάρρησεν ἐπιτάξαι τοῦτο...ἀλλ' ἀποθνήσκειν μὲν ἐνομοθέτησεν...καὶ ἐχθροὺς εὐεργετεῖν, παρθενεύειν δὲ οὐκ ἐνομοθέτησεν* Chrys.*ep.*2.7(3.542C); Ant. Mon.*hom.*21(M.89.1496B); **b.** exeg. Mt.19:11 *μεγάλα περὶ παρθενίας διελέχθη εἰπών· εἰσὶν εὐνοῦχοι...ἐστι φύσει τὸ πρᾶγμα μέγα, καὶ δείκνυται ἐξ ὧν οὔτε ἐν τῇ παλαιᾷ ὑπὸ τῶν...ἁγίων ἀνδρῶν...κατωρθώθη, καὶ ἐν τῇ καινῇ δὲ οὐκ ἦλθεν εἰς ἀνάγκην νόμου* Chrys.*hom.78.1 in Mt.* (7.751B); **c.** exeg. 1Cor.7:25ff. *θεοδώρητον εἶναι τὸ τῆς π. ἐπιτήδευμα παρεγγυᾷ· ὅθεν τοὺς κατὰ πρόφασιν κενοδοξίας τῶν ἀκρατεστέρων ἐπὶ τοῦτο παρελθόντας ἀποβάλλεται, συμβουλεύων γαμεῖν* Meth.*symp.* 3.14(p.44.2; M.18.84C); *ἐπὶ...τῆς παρθένου γνώμην δίδωσιν, ἐνταῦθα* [i.e. for marriage] *δὲ συγγνώμην. ἐπιτάττει δὲ οὐδέτερον οὐ διὰ τὴν αὐτὴν αἰτίαν, ἀλλ' ἐνταῦθα μέν, ἵνα μή τις ἀναβῆναι ἀπὸ τῆς ἀκρασίας βουλόμενος κωλύηται, ὡς ἐπιτάγματος ἀνάγκῃ δεδεμένος· ἐκεῖ δέ, ἵνα μή τις ἀναβῆναι πρὸς τὴν π. ἀδυνατῶν κατακρίνηται, ὡς προστάγματος παρακούων* Chrys.*virg.*34(1.293E); *ἐπειδὴ ὁ κύριος οὐκ ἐπέταξε π., διὰ τοῦτο οὐδὲ ἐγώ· συμβουλεύω δὲ ὑμῖν ib.*42(1.303A); *ib.*47(1.307D); *ib.* 76(329A); Thdt.*1Cor.*7:26f.(3.208); cf. *ὡς οὖν ὁ κύριος τοὺς τρόπους τῆς κατὰ τὴν π. εὐνουχίας ἐρωτηθείς, οὕτως ὁ μαθητὴς τῆς π. τὴν συμβουλὴν εἰσηγήσατο* †Bas.Anc.*virg.*56(M.30.781C); **4.** as gift of God needing divine grace *τὸ γὰρ μέγιστον...δῶρον, οὗ μηδὲν ἀντάξιον ἄλλο προσενέγκασθαι πάρεστιν ἀνθρώποις θεῷ, τὸν ἆθλον τῆς π. εἶναι πέπεισμαι* Meth.*symp.*5.1(p.53.8; M.18.97A); Gr.Nyss.*virg.*1(p.251. 14; M.46.320C); *ib.*19(p.323.20; 396C); *τῆς π. τὸ ἀξίωμα...ὑπεραναβαῖνον τὴν φύσιν τὴν ἀνθρωπίνην, καὶ τῆς ἄνωθεν δεόμενον χειρός* Chrys. *hom.18.4 in Gen.*(4.155B); **5.** as angelic state of life, Ath.*apol.Const.* 33(M.25.640A); †Bas.Anc.*virg.*68(M.30.808D); Cyr.H.*catech.*6.35; *ib.* 15.23; Gr.Nyss.*virg.*13(p.308.23; M.46.380D) cit. s. *ἀνάστασις; π., τὸ τῶν ἀγγέλων πολίτευμα, τὸ πάσης ἀσωμάτου φύσεως ἰδίωμα* Jo.D. *f.o.*4.24(M.94.1209B); **6.** as higher state than marriage *δύο γὰρ οὐσῶν ὁδῶν ἐν τῷ βίῳ...μιᾶς μὲν μετριωτέρας καὶ βιωτικῆς, τοῦ γάμου λέγω· τῆς δὲ ἑτέρας ἀγγελικῆς καὶ ἀνυπερβλήτου, τῆς π.* Ath.*ep.Amun.*(M. 26.1173C); *εἰ γάρ τις...ἐξετάζειν ἐθέλοι τοῦ βίου τούτου* [sc. marriage] *τὸ πρὸς τὴν π. διάφορον, τοσαύτην εὑρήσει τὴν διαφοράν, ὅση σχεδὸν τῶν ἐπιγείων ἐστὶ πρὸς τὰ οὐράνια* Gr.Nyss.*virg.*3(p.257.8; M.46.325C); *ἔτι οὖν τολμήσει τις,...τῇ π. τὸν γάμον παραβάλλειν;...οὐκ ἀφίησιν ὁ ...Παῦλος, πολὺ τὸ μέσον ἑκατέρου τοῦ πράγματος θείς· ἡ μὲν γὰρ τὰ τοῦ κυρίου, φησίν, ἡ δὲ τὰ τοῦ κόσμου μεριμνᾷ* Chrys.*virg.*34(1.293A); *ὅσῳ...ἄγγελος ἀνθρώπου ὑπέρτερος, τοσούτῳ π. γάμου τιμιωτέρα* Jo.D. *f.o.*4.24(M.94.1209C); superior to widowhood, Chrys.*hom.in 1Tim.* 5:9(3.316B); because surpassing nature, †Bas.Anc.*virg.*55(M.30. 780D); because not, like marriage, followed by death, Chrys.*virg.*14 (1.279E); ref. idea that marriage was consequence of Fall *παρὰ τὴν ἀρχήν, εἰ τοῖς προστάγμασιν αὐτοῦ πεισθέντες οἱ περὶ τὸν Ἀδὰμ τῆς ἡδονῆς ἐκράτησαν τοῦ ξύλου, οὐκ ἂν ἠπόρησεν ὁδοῦ δι' ἧς τὸ τῶν ἀνθρώπων γένος αὐξήσει. οὔτε γὰρ ὁ γάμος μὴ βουλομένου θεοῦ δυνήσεται ποιῆσαι πολλοὺς τοὺς ὄντας ἀνθρώπους, οὐδὲ ἡ π., βουλομένου πολλοὺς εἶναι, λυμανεῖται τὸ πλῆθος ib.*15(280B); as having sanctifying efficacy *εἰ καὶ τίμιος ὁ γάμος, ἀλλὰ μέχρι τοσούτου φθάσαι δύναιτ' ἄν, ὥστε μὴ μολῦναι τὸν χρώμενον, τὸ δὲ καὶ ἁγίους ἀποφαίνειν, οὐκέτι τῆς ἐκείνου δυνάμεως, ἀλλὰ τῆς π. ἐστίν ib.*30(290B); but marriage not therefore to be disparaged, CGangr.*can.*9 cit. s. *παρθενεύω; ὁ δὲ τίμιος γάμος ὑπέρκειται παντὸς δώρου γηΐνου, ὡς ἔγκαρπον δένδρον... ὡς ῥίζα τῆς π. ... περίελε...γάμον, καὶ ποῦ εὑρήσεις τὸ τῆς π. ἄνθος; ἔνθεν γὰρ καὶ οὐκ ἀλλοθεν, τὸ τῆς π. ἄνθος ἀναλέγεται. ταῦτα δὲ λέγοντες, οὐ μάχην παρεισβάλλομεν μεταξὺ π. καὶ γάμου...ἄνευ γὰρ... θεοσεβοῦς εὐσεβείας οὔτε π. σεμνή, οὔτε γάμος τίμιος* Amph.*hom.*2.1 (M.39.45Af.); *ὁ...τὸν γάμον κακίζων καὶ τὴν τῆς π. ὑποτέμνεται δόξαν. ὁ δὲ τοῦτον ἐπαινῶν μᾶλλον ἐκείνης ἐπαίρει τὸ θαῦμα...καλὸν ὁ γάμος. καὶ διὰ τοῦτο ἡ π. θαυμαστόν, ὅτι καλοῦ κρεῖττόν ἐστι. καὶ τοσοῦτῳ κρεῖττον, ὅσῳ τῶν ναυτῶν ὁ κυβερνήτης* Chrys.*virg.*10(1.275Bf.); Jo.D. *f.o.*4.24(M.94.1209B).

C. virginity as spiritual rather than physical state; **1.** in gen. *πολλοὶ τῷ ὀνόματι τῆς π. μόνῳ προσέχοντες, οὐδέν τι τῆς ἀληθοῦς π. φροντίζουσι· διὰ τοῦτ' ἀναγκαίως οἶμαι τοῖς τὸν ὑπὲρ παρθενίας στέφανον ποθοῦσι λαβεῖν, ὑποφωνῆσαι τὰ ἑνόντα σπουδάσω, ὡς ἂν μὴ δι' ἄγνοιαν ἀμελήσαντες τοῦ προηγουμένου καλοῦ, προσαναλώσωσι μὲν τῇ τῆς θεραπαίνης δουλείᾳ πάντα τὸν βίον, διὰ δὲ τὸ μηδέποτε τὴν δέσποιναν ταύτης θεραπεῦσαι, καὶ τὴν τοῦ σώματος π. οὐ κοσμουμένην τῷ τῆς ἐνδοθεν κάλλει, μετὰ πολλοὺς ἰδρῶτας ζημιωθῶσιν* †Bas.Anc.*virg.*2(M. 30.673A); cf.*ib.*13(696D); *οὐκ ἀπὸ σωμάτων...ἐπὶ ψυχὰς αὐτὴ ὁδεύει· ἀλλὰ ψυχῆς τῆς ἀσωμάτου οὖσα ἐξαίρετος, τῇ ταύτης θεοφιλεῖ π. ἄφθορα φυλάττει τὰ σώματα. τοῦ γὰρ ὄντως καλοῦ ἡ ψυχὴ φαντασίαν λαβοῦσα...τὴν τοῦ σώματος π., θεράπαιναν εἰς τὴν τοῦ καθ' ἑαυτὴν κάλλους θεραπείαν ἐπάγεται, καὶ πάρεδρον...πρὸς τὴν τοῦ θεοῦ θεωρίαν ταύτην ἔχειν ἀεὶ βουλομένη, τὰς...τοῦ σώματος ἡδονὰς...ἐλαύνει. τὴν μὲν τῶν ὑπὸ γαστέρα ἡδονῶν ἐγκράτειαν, τῆς σωματικῆς π. θεράπαιναν ...ποιουμένη· ὡς τὰ ἄλλα μὲν ἅπαντα, καὶ τροφῶν ἐγκράτειαν...μαχομένην ταῖς ῥεούσαις κατὰ τῆς ἐν σώματι π. διὰ τῶν αἰσθήσεων ἡδοναῖς· ἀλλὰ καὶ αὐτὴν τὴν τοῦ σώματος π. ... δι' ἑαυτὴν...ἀσκεῖσθαι, ἵνα τὴν ἑαυτῆς π. ἄφθορον ἁπάσης μοχθηρᾶς ἐννοίας φυλάξασα, τὴν πρὸς τὸν ἄφθαρτον θεὸν ἐξομοίωσιν...κερδήσῃ ib.*2(672B,C); *οὐχ ἁπλοῦν...τὸ κατόρθωμα τοῦτό ἐστιν, οὐδὲ μέχρι τῶν σωμάτων ἱστάμενον, ἀλλ' ἐπὶ πάντα...διαβαῖνον τῇ ἐπινοίᾳ, ὅσα κατορθώματα ψυχῆς ἐστι...ἡ γὰρ τῷ...νυμφίῳ προσκολληθεῖσα διὰ παρθενίας ψυχή, οὐ μόνον τῶν σωματικῶν μολυσμάτων ἑαυτὴν ἀποστήσει, ἀλλ' ἐντεῦθεν μὲν ἄρξεται τῆς καθαρότητος, ἐπὶ πάντα...μετὰ τῆς ἴσης ἀσφαλείας πορεύσεται* Gr. Nyss.*virg.*14(p.310.3; M.46.381C); hence π. not affected by rape, ‡Chrys.*hom.in Ps.*95:1(5.635E); **2.** preservation of true virginity; **a.** in struggle against temptations *ἐπειδὴ οὖν θεῖον...τι χρῆμα ἡ π. ἐστί...ἡ δὲ παρθένος οὐδὲν τῆς θήλεος ἡδονῆς ἐπιφερομένη ἐκ σώματος μόλυσμα, πάντα δὲ τὰ σαρκὸς πάθη ἐκδῦσα, καθαρὰν ἑαυτὴν τῷ θεῷ... παραστῆσαι φιλοτιμεῖται· δῆλον ὡς βιαστῶν ἆθλον εἶναι τὴν τῶν οὐρανῶν*

βασιλείαν γινώσκουσα βιάσασθαι πρὸς τὸν προκείμενον σκοπὸν τὴν ἑαυτῆς φύσιν ὀφείλει †Bas.Anc.*virg.*4(M.30.677B); τοῦ πολέμου τοῦ πρὸς τὴν π. οὐκ ἔστιν ἀποχή· διάβολος γάρ ἐστιν ὁ πολεμῶν...ἔστηκεν ἀεὶ ζητῶν τὴν παρθένον γυμνὴν εὑρεῖν, ἵνα καιρίαν ἐπαγάγῃ τὴν πληγήν Chrys.*poenit.*3.3(2.298C); πολλῶν ἱδρώτων καὶ μεγάλης ἡ π. δεῖται τῆς ἀγωνίας id.*virg.*13(1.277E); cf.*ib.*(278C); *ib.*41(301E); **b.** in practice of virtue ὑποκείσθω...ἀντὶ θεμελίου τοὺς τῷ κατ' ἀρετὴν βίῳ ἡ περὶ τὴν π. σπουδή, ἐποικοδομείσθω δὲ τῷ θεμελίῳ τούτῳ πάντα τὰ ἔργα τῆς ἀρετῆς Gr.Nyss.*virg.*17(p.317.1; M.46.389A); ὁ τῆς π. κόσμος...οὐ γὰρ λίθοι καὶ χρυσός...ἀλλ' ἀντὶ τούτων νησταία,...πραότης, ἐπείκεια, πενία...ταπεινοφροσύνη Chrys.*virg.*63(1.320D); *ib.*84(335E); μέγα τὸ τῆς π. ἀξίωμα...π. γὰρ ἀξίωμα οὐκ ἀποσχέσθαι γάμων μόνον, ἀλλὰ τὸ φιλάνθρωπον εἶναι καὶ φιλάδελφον καὶ συμπαθητικόν. τί γὰρ ὄφελος π. μετὰ ὠμότητος id.*hom.*1.7 *in 2Cor.*4:13(3.266B); ref. almsgiving, id.*poenit.*3.3(2.298E); id.*hom.in 1Tim.*5:9(3.316B); ὅτι ἄμωμον...τὴν οἰκείαν π. φυλάξαι σπουδάζουσι...οὐ μόνον τὴν ἐπιθυμίαν κολάσαι ὀφείλουσιν, ἀλλὰ καὶ φιλοχρηματίαν, καὶ κενοδοξίαν, καὶ γαστριμαργίαν ...σὺν πάσῃ κακίᾳ Nil.*epp.*3.298(M.79.532A); v. ἐλεημοσύνη; **c.** in mortified life ἀναγκαῖον τὴν μέλλουσαν τῶν πρὸς τὰς μίξεις ἡδονῶν διὰ παρθενίας κρατεῖν, πολλῷ πλέον πρότερον τῆς κατὰ τὴν γεῦσιν ἡδονῆς, ὡς ἐπαντλούσης ἐκείνῃ τὰς ὕλας, ἄρχουσαν δείκνυσθαι †Bas.Anc.*virg.* 7(M.30.681C); οἷδεν ἀρίστη πολιτεία τρέφειν τοὺς τῆς π. καρποὺς· μᾶλλον δὲ καὶ ῥίζα καὶ καρπὸς παρθενίας ὁ ἐσταυρωμένος βίος ἐστίν Chrys.*virg.*80(1.332C); **d.** in retirement, ref. Rom.10:6ff. οὕτω καὶ ἐπὶ τῆς π. φησί· μὴ εἴπῃς, πῶς ἀναβῶ εἰς τὸν οὐρανόν, ἐκεῖθεν τὴν τῆς π. μου ἀφθορίαν καταγαγεῖν; ἢ πῶς καταβήσομαι εἰς τὴν ἄβυσσον...; ἐγγύς σου ἐστί...καὶ κατὰ φύσιν σοι συγγενναῖται ἡ π. ... καὶ εἰ βούλει ταύτην παρά σοι ἄσυλον μένειν, διὰ βίου σαββάτιζε· τουτέστι, μένε ὃ ἐγενήθης·...οὐκ ἔχεις τοίχους καὶ περιβόλους ὑπεράλλεσθαι, ἵνα τὴν π. θηράσῃς. ἀλλὰ ταῦτα μὲν πράττουσα, καὶ ἀπολέσεις ἴσως τὴν π. ἐπὶ τῆς κοίτης δὲ σαββατίζουσα, καθαρὰν αὐτὴν φυλάξεις, καὶ οὕτω μὲν εὐκόλως...τὴν π. ... ἕξεις †Bas.Anc.*virg.*59(M.30.788B,C); **e.** with help of a guide ἐπειδὴ νέοι ἔτι καὶ ἀτελεῖς τὴν διάνοιαν οἱ πολλοὶ τῆς π. ἀντιλαμβάνονται, τοῦτο πρὸ πάντων αὐτοῖς ἐπιτηδευτέον ἂν εἴη, τὸ ζητῆσαι τῆς ὁδοῦ ταύτης ἀγαθὸν καθηγεμόνα Gr.Nyss.*virg.*23(p.336. 19; M.46.408D); **3.** as implying consecration to God ἀνατιθέναι λέγομεν τελείως ἑαυτὸν τῷ θεῷ, ὃς καὶ τὴν σάρκα ἄχραντον ἐκ παίδων φιλοτιμεῖται φυλάττειν, π. ἀσκῶν Meth.*symp.*5.3(p.56.12; M.18.101B); ἡ δὲ παρθένος τὸν ἑαυτῆς νυμφίον...περιέπουσα...τούτῳ μᾶλλον τὰς ἀχράντους νύμφας πρὸς ἀφθορίαν προμνηστευέσθω...ἑπομένη τῷ νυμφίῳ, ᾗ τῷ οἰκείῳ φωτὶ τῆς π. καὶ ἑτέρας πρὸς παρθενίαν νυμφεύουσα †Bas. Anc.*virg.*21(M.30.713A); τὴν Χριστῷ διὰ τῆς κατὰ τὴν π. ὑποσχέσεως ἁρμοσθεῖσαν...σοφὴν προσήκει...εἶναι *ib.*50(768C); π. μὲν ὅλην ἀνάθημα θεοῖο Gr.Naz.*carm.*1.2.1.527(M.37.562A); τάχα ὁ τολμήσας εἰπεῖν τὴν σωματικὴν π. τοῦ ἔνδοθεν καὶ πνευματικοῦ γάμου συνεργόν...γίνεσθαι, οὐ πόρρω τοῦ εἰκότος ἀποτολμήσει Gr.Nyss.*virg.*19(p.325.6; M.46. 397A): ‡Chrys.*Thecl.*(2.750E); hence mere fact of physical virginity of no value, ‡Chrys.*hom.in Ps.*95:1(5.635D,E).

D. effects; **1.** natural advantages εἰ βούλει μαθεῖν τὰ δυσχερῆ τοῦ κοινοτέρου βίου, ἄκουσον οἷα λέγουσιν αἱ τῇ πείρᾳ τὸν βίον γνωρίσασαι, ὅπως μακαρίζουσι τὴν ζωὴν τῶν...τὸν ἐν π. βίον προελομένων...ὅτι πάντων τῶν τοιούτων κακῶν ἀνεπίδεκτός ἐστιν ἡ π.· οὐκ ὀρφανίαν θρηνεῖ, οὐ χηρείαν ὀδύρεται Gr.Nyss.*virg.*3(p.264.8; M.46.333C); λυσιτελὲς εἶναι νομίζομεν τοῖς ἀσθενεστέροις εἰς τὴν π. ὡς εἰς ἀσφαλές τι φρούριον καταφεύγειν *ib.*9(p.287.18; 357D); less trouble than in married life, Chrys.*virg.*55–58(1.315A–319A); **2.** union with God τὸ ἐν π. ... μεῖναι μᾶλλον παρίστησι τῷ θεῷ Athenag.*leg.*33.1(M.6. 965A); Meth.*symp.*6.2(p.65.14; M.18.116A); Chrys.*virg.*78(1.331C); θυσιαστήρια, καὶ ναός, καὶ κειμήλια θεοῦ διὰ τῆς π. πεφήνατε Nil.*epp.* 2.31(M.79.212D); **3.** likeness to angels οἱ τὴν π. ἀσκοῦντες ἄγγελοί εἰσιν, ἐν ἀφθάρτοις σαρξὶ τὸν τῶν ἀνθρώπων βίον περιπολοῦντες· καὶ ἄγγελοι οὐκ ἀσημοί τινες, ἀλλὰ...ἐπιφανέστατοι. ὅτι ἐκείνων ἄνευ σαρκῶν κατὰ τὸν οὐρανὸν τὴν ἀφθαρσίαν καὶ τόπῳ καὶ ἀβιάστῳ φύσει παρὰ τῷ...θεῷ φυλαττόντων, οὗτοι ἐπὶ γῆς σαρκὸς ἡδοναῖς ἐνοχλούμενοι, καὶ τῇ πείρᾳ τοῦ διαβόλου ἐκκείμενοι, τὴν ἀφθαρσίαν ἰσάγγελον δι' ἀρετῆς τῷ ποιητῇ παραδοξότερον διεφύλαξαν †Bas.Anc.*virg.*51(M. 30.772B); τῆς ὑψηλῆς ἐπιθυμίας συνεργόν...τῷ ἀνθρώπῳ τὴν π. δεδόσθαι φαμὲν...δοκεῖ καὶ τὸ τῆς π. ἐπιτήδευμα τέχνη τις εἶναι...τῆς θειοτέρας ζωῆς, πρὸς τὴν ἀσώματον φύσιν τοὺς ἐν σαρκὶ ζῶντας ὁμοιοῦσθαι διδάσκουσα Gr.Nyss.*virg.*5(p.276.24; M.46.348B); εἴδες τῆς π. ἀξίωμα; τοὺς ἐπὶ τῆς γῆς διατρίβοντας τοῖς ἐν οὐρανοῖς διαιτωμένοις ὁμοίως πολιτεύεσθαι ποιεῖ...ἀνθρώπους ὄντας εἰς τὸν αὐτὸν τῶν ἀγγέλων ἄγει ζῆλον Chrys.*virg.*11(1.276A); cf. θεῖον...καὶ τῆς...τῶν ἀσωμάτων τάξεως, τὸ...τῆς π. ἔνδυμα Procl.CP *or.*6.2(M.65.724A); **4.** deification μέγα...π., τῷ ἀφθάρτῳ θεῷ...ἐξομοιοῦσα τὸν ἄνθρωπον †Bas.Anc.*virg.*2(M.30.672B); εἰ γὰρ τὸ κατόρθωμα τῆς...π. ἐστὶ τὸ ἄμωμόν τινα γενέσθαι καὶ ἅγιον (ταῦτα δὲ τὰ ὀνόματα κυρίως...εἰς δόξαν προλαμβάνεται τοῦ ἀφθάρτου θεοῦ), τίς μείζων ἔπαινος παρθενίας, ἢ τὸ ἀποδειχθῆναι διὰ τούτων θεοποιοῦσαν τρόπον τινὰ τοὺς τῶν καθαρῶν αὐτῆς μυστηρίων μετεσχηκότας εἰς τὸ γενέσθαι αὐτοὺς κοινωνοὺς τῆς δόξης τοῦ...ἁγίου...θεοῦ, διὰ καθαρότητος αὐτῷ καὶ ἀφθαρσίας οἰκειουμένους; Gr.Nyss.*virg.*1(p.252.4ff.; M.46.320D); **5.** overcoming of death, *ib.*13(p.305.10ff.; 377A,C,D); **6.** access to heaven π. γὰρ βαίνειν μὲν ἐπὶ γῆς, ἐπιψαύειν δὲ τῶν οὐρανῶν ἡγητέον Meth.*symp.*1.1(p.8.4; M.18.37B); ref. Ps.136 αἱ τὸ...εὐπρεπὲς τῆς π. ὑποδῦσαι...κάλλος, καὶ στεῖραι...τῶν ῥευστῶν...εὐρεθεῖσαι παθῶν, ἐπὶ γῆς ἀλλοτρίας οὐ μελῳδοῦσι τὴν ᾠδήν, ὅτι μὴ φέρονται τὰς ἐλπίδας τῇδε...ἀλλ' εὖ καὶ γενναίως μετὰ φρονήματος ὑψηλοῦ τὰς ἐπαγγελίας ἄνω περιαθροῦσι *ib.* 4.5(p.50.21; 93A); *ib.*8.2(p.83.7; 141A); ἡ π. ... τοῦ ἀφθάρτου βίου ...σπέρμα †Bas.Anc.*virg.*51(M.30.772A); ἡ π. κατὰ φύσιν γνωρίσασα, ὅτι ὥσπερ εἰς τὴν τοῦ παρόντος βίου σποράν διὰ τῆς τῶν γάμων ἡδονῆς τὰ σπέρματα τῆς ἀνθρωπότητος κατεβάλετο, οὕτω καὶ εἰς τὸν ἐκεῖ βίον τὰ σπέρματα τοῦ βίου ἡμῶν διὰ τῆς ἀφθορίας ἐντεῦθεν ἤδη καταβάλλεσθαι, σπουδάζει δι' ἑαυτῆς καθαρὰ τὰ τῆς ἀφθαρσίας σπέρματα πρὸς τὸν ἄφθαρτον βίον τῷ γεωργῷ εὐτρεπίζειν *ib.*54(776D); ἡ ἀληθινὴ π. ... εἰς τοῦτον τὸν σκοπὸν καταλήγει, τὸ δι' αὐτῆς δυνηθῆναι τὸν θεὸν ἰδεῖν Gr.Nyss.*virg.*11(p.297.4; M.46.368D); hence linking of earth to heaven, *ib.*2(p.255.4; 324B).

E. types of virginity; **1.** willow, exeg. Ps.136 ἐν τύπῳ γὰρ τῆς π. τὴν ἰτέαν πανταχοῦ παραλαμβάνουσιν αἱ θεῖαι γραφαί, ἐπειδήπερ τὸ ἄνθος αὐτῆς εἰς ὕδωρ ἀποτριβέν, ἐὰν ποθῇ, πᾶν ὅσον εἰς ὀχείας ἀναζεῖ καὶ ἐρεθισμοὺς κατασβέννυσιν...εἰς ὕψος γὰρ τότε τὸ τῆς π. ἔρνος μεγεθύνεται...ὁπόταν ὁ δίκαιος καὶ ἐγκεχειρισμένος τηρεῖν αὐτὴν καὶ ἐργάζεσθαι τοῖς ἡπιωτάτοις τοῦ Χριστοῦ νάμασιν ἀρδεύῃ, σοφίᾳ καταψεκάζων, ὃν γὰρ τρόπον τὸ δένδρον τοῦτο χλοηφορεῖν πέφυκεν ὕδατι καὶ βλαστάνειν, οὕτως ἐπανθεῖν ἀεὶ καὶ ἐπακμάζειν πιαινομένη λόγοις πέφυκεν ἡ π. Meth.*symp.*4.3(pp.48.20–49.11; M.18.89D–92A); **2.** altar in Holy of Holies, *ib.*5.8(p.63.2; 112B); **3.** instrument played by Miriam εὐθέως μετὰ τὴν θάλασσαν...εὔηχον μεταχειριζομένη τὸ τύμπανον...τάχα γὰρ διὰ τοῦ τυμπάνου τὴν π. ἔοικεν ὁ λόγος αἰνίττεσθαι ὑπὸ τῆς Μαρίας πρώτης κατορθωθεῖσαν, δι' ἧς οἶμαι καὶ τὴν θεοτόκον προδιατυποῦσθαι Μαρίαν. ὥσπερ γὰρ τὸ τύμπανον πολὺν τὸν ἦχον ἀφίησι, πάσης ἰκμάδος κεχωρισμένον...οὕτω καὶ ἡ π. λαμπρά τε καὶ περιβόητος γίνεται μηδὲν ἐν ἑαυτῇ τῆς ζωτικῆς ἰκμάδος...προσδεχομένη Gr.Nyss.*virg.*19(p.322.27ff.; M.46.396A,B); **4.** lamps of ten virgins οὐ περὶ ἐλαίου ἐνταῦθα καὶ πυρὸς διαλεγομένη ἡ γραφή, ἀλλὰ περὶ π. καὶ φιλανθρωπίας, καὶ τὴν μὲν π. ἐν τάξει πυρός, τὴν δὲ ἐλεημοσύνην ἐν τάξει ἐλαίου τίθησι, δεικνῦσα ὅτι σφόδρα δεῖται φιλανθρωπίας ἡ π. Chrys.*anom.*8.2(1.515E); λαμπάδας...τὸ τῆς π. χάρισμα id.*hom.*78.1 *in Mt.*(7.751D); **5.** ref. Ps.118:91 ἡμέραν... νοητέον τὴν φωτοειδῆ π. Nil.*epp.*2.118(M.79.252B).

F. reasons why not counselled in pre-Christian times μεγάλῃ... ὑπερβολῇ τὸ τῆς π. ἀνθρώποις ἀπ' οὐρανῶν κατεπέμφθη φυτόν, καὶ διὰ τοῦτο ταῖς πρώταις οὐκ ἀπεκαλύφθη γενεαῖς. ἔτι γὰρ ὁ ἄνθρωπος ὀλιγοστὸς ἦν, καὶ ἐχρῆν εἰς πλῆθος πρῶτον αὐτὸν αὐξήσαντα τελειωθῆναι Meth.*symp.*1.2(p.9.21; M.18.40C); †Bas.Anc.*virg.*55(M.30.780A); εἶπεν, αὐξάνεσθε καὶ πληθύνεσθε. τοῦτο γὰρ ὁ καιρὸς ἀπῄτει, τῆς φύσεως μαινομένης, καὶ τὸν τῶν παθῶν οἱστρον μὴ δυναμένης ἐνεγκεῖν τί κελεύειν ἐχρῆν; ἐν...π. διάγειν; ἀλλὰ τοῦτο μείζον ἂν τὸ πτῶμα εἰργάσατο...διὰ ταῦτα ἐξ ἀρχῆς οὐκ ἐδόθη ἡ π.· μᾶλλον δὲ ἡ π. μὲν ἐξ ἀρχῆς καὶ τοῦ γάμου προτέρα ἡμῖν ἐφάνη· διὰ ταῦτα δὲ ἐπεισῆλθεν ὕστερον ὁ γάμος...ὡς εἴ γε ἔμεινεν ὑπακούων ὁ Ἀδάμ, οὐκ ἂν ἐδέησε τούτου Chrys.*virg.*17(1.282A,B); a later development in Church οὐκ εὐθέως, τῆς ἐκκλησίας συστάσης, τὸ τῆς π. ἤνθησε καλόν, ἀλλ' ὕστερον καὶ μετὰ χρόνον τινά Nil.*exp.in Ps.*44(5.180D).

G. virginity in paradise, ref. Adam and Eve ἐν...τῷ παραδείσῳ διαιτώμενοι...ἐν ἐκείνῳ τῷ χωρίῳ τῇ π. κοσμούμενοι...ἐπειδὴ δὲ παρήκουσαν τοῦ θεοῦ...ἀπώλεσαν μετὰ τῆς μακαρίας ἐκείνης διαγωγῆς καὶ τὸ τῆς π. καλόν...ἕως μὲν γὰρ ἦσαν ἀνάλωτοι τῷ διαβόλῳ... παρέμεινε καὶ ἡ π. Chrys.*virg.*14(1.279B,D); id.*hom.*18.4 *in Gen.*(4. 155B); ἐν παραδείσῳ π. ἐπολιτεύετο Jo.D.*f.o.*4.24(M.94.1208A).

H. in rel. to martyrdom κόρην...καὶ τῇ μὲν τὸν καθ' ἡδονῶν, τῇ δὲ τὸν κατὰ κινδύνων ἀνατείνουσαν στέφανον· καὶ τῇ μὲν τὴν π., τῇ δὲ τὸ μαρτύριον τῷ...δεσπότῃ προσφέρουσαν. ἦν μὲν οὖν αὐτῇ καὶ τὰ τῆς π., ἃ τοῖς ἀκριβῶς σκοπουμένοις μέγα τι πρὸ μαρτυρίου μαρτύριον. αἱ γὰρ ἡδοναὶ δεινοί τινες τοῦ σώματος δήμιοι...ἃ δὴ πάντα τῇ μακαρίᾳ παρθένῳ μακρόν τι μαρτύριον τὴν π. εἰργάζετο· πυκτευούσῃ ταῖς ἡδοναῖς, ὡς ὁ μάρτυς θηρίοις ‡Chrys.*Thecl.*(2.749A–C).

I. vow of virginity and marriage π. γὰρ τῷ κυρίῳ ἐπαγγειλάμεναι, εἶθ' ὑπὸ τῶν σαρκὸς ἡδονῶν νικηθεῖσαι, τὴν τῆς πορνείας ἁμαρτίαν γάμου ὀνόματι περιστέλλειν ἐθέλουσιν· οὐκ ἀγνοοῦσαι...κἂν ἄγνοιαν δὴ προσποιῶνται, ὅτι ἡ παραβᾶσα τὰς πρὸς τὸν νυμφίον ἑαυτῆς δεξιάς,

οὔτε τούτου ἐστὶ νύμφη ὃν παρανόμως κατέλιπεν, οὔτ' ἐκείνου, ᾧ διὰ πάθος ἔζευξεν ἑαυτήν, κατὰ νόμους γυνὴ δύναται εὑρεθῆναι †Bas.Anc. *virg.*37(M.30.745C); *ib.*39(748B).

J. as gift made to God εἶπεν ὁ θεός...σὺ διδούς μοι ἀδιάφθορον τὸν ἀσύλητον θησαυρόν, τὸ κειμήλιον τῆς π. *Apoc.Esd.*13(p.25); Or.*Cels.* 7.48(p.199.30; M.11.1492B); ἐβούλετο [sc. God] γὰρ μὴ ἐπίταγμα εἶναι τὸ κατόρθωμα τῆς π., ἀλλὰ πλεονέκτημα φιλαρέτου ψυχῆς, ἀπὸ αὐτεξουσίου αὐθεντίας τὸ ὑπὲρ τὴν ἐντολὴν καὶ ὑπὲρ τὴν φύσιν ἀφ' ἑαυτῆς κατορθούσης †Bas.Anc.*virg.*55(M.30.780C).

K. as special responsibility οὐ δεῖ τοῦ ἑαυτῆς ἁβλαβοῦς μόνον φροντίζουσαν, τῆς τῶν βλαβῆναι δυναμένων καταφρονεῖν σωτηρίας, ἀλλὰ πανταχόθεν καὶ ἑαυτῆς ἄσυλον τὸ τῆς π. κάλλος φυλάττειν, καὶ τοῖς ὁρῶσιν αὐτὴν κέρδος ζωῆς, καὶ μὴ τὸν ἐξ ἁμαρτίας θάνατον πραγματεύεσθαι. εἰ γὰρ καὶ αὐτὴ πέποιθε τῷ τῆς π. ἀπτώτῳ, ἀλλ' ὅμως προνοεῖσθαι δεῖ...ὥστε μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ †Bas.Anc. *virg.*35(M.30.740C); as guarded by guardian angel, *ib.*29(729A).

L. its loss; irreparable, †Bas.Anc.*virg.*59(M.30.788D); τρόπον τινὰ ματαία...ἡ γνῶσις ἐμοὶ τῶν τῆς π. καλῶν, ὡς τῷ βοῒ τὰ γεννήματα τῷ μετὰ κημῶν ἐπιστρεφομένῳ τὴν ἄλωνα...μακάριοι δὲ οἷς ἐν ἐξουσίᾳ τῶν βελτιόνων ἐστὶν ἡ αἵρεσις, καὶ οὐκ ἀπετειχίσθησαν τῷ κοινῷ προληφθέντες βίῳ, καθάπερ ἡμεῖς οἷόν τινι χάσματι πρὸς τὸ τῆς π. καύχημα διειργόμεθα, πρὸς ἣν οὐκ ἔστιν ἐπανελθεῖν ἔτι τὸν ἅπαξ τῷ κοσμικῷ βίῳ τὸ ἴχνος ἐναπερείσαντα Gr.Nyss.*virg.*3(p.256.9ff.; M.46. 325A,B).

M. exeg. Mt.19:11f. οἱ καὶ καλλίονες τῶν ἄλλων ὑπάρχοντες, διότι οὔτε ἐκ τῆς φύσεως πρὸς σωφροσύνην ἐφόδιον ἔχοντες, οὔτε παρὰ ἀνθρώπων κρατούμενοι, αὐτοὶ ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν πρὸς τὴν π. ἀσκοῦσι...ὁ μὲν γὰρ ἐκ κοιλίας μητρὸς εὐνοῦχος,...οὐδὲν ἴδιον ἔργον ἐν τῷ τῆς π. κάλλει ἐπιδείξασθαι ἔχει· φύσει ὅπερ ἔφην πλεονεκτήματι, καὶ οὐχὶ τῇ πρὸς τὴν π. διαθέσει τὸν γάμον ἀποστραφείς. ὥσπερ οὖν καὶ ὁ παρ' ἀνθρώπων εὐνουχισθεὶς τηρήσει τὴν π. ἀσκεῖν βιαζόμενος, οὐκ ἴδιον κατόρθωμα τὴν ἀφθορίαν τῆς π., ἀλλὰ τῶν τηρούντων δεικνύει, ὁ δὲ ἑαυτὸν εὐνουχίσας, ἐξαίρετον ἔργον διὰ τῆς ἐγκρατείας τε καὶ πρὸς πάντα ἀσκήσεως τὸ τῆς π. κάλλος ποιούμενος, ἰδίοις καὶ οὐκ ἀλλοτρίοις κατορθώμασιν ἐν τῇ βασιλείᾳ σεμνύνεται †Bas. Anc.*virg.*57(M.30.784D–785A).

N. heret. τὰς γὰρ τῶν αἱρετικῶν οὐκ ἂν εἴποιμί ποτε παρθένους...αἱ τοίνυν τὸν ἕνα ἄνδρα μὴ στέργουσαι, ἀλλ' ἕτερον αὐτῷ τὸν οὐκ ὄντα ἐπεισάγουσαι θεόν, πῶς ἂν εἶεν ἀγναί; πρῶτον μὲν οὖν κατὰ τὸν λόγον οὐκ ἂν εἶεν παρθένοι· δεύτερον δέ, ὅτι τὸν γάμον ἀτιμάσασαι οὕτως ἦλθον ἐπὶ τὸ ἀποσχέσθαι τοῦ γάμου. τῷ γὰρ νομοθετῆσαι πονηρὸν εἶναι τὸ πρᾶγμα, προλαβοῦσαι τὰ τῆς π. ἑαυτῶν ἀφείλοντο ἔπαθλα Chrys.*virg.*1(1.269A); hence heretics not to be rewarded, but punished for their virginity *ib.*2(270C); τῆς ἐκείνου [sc. διαβόλου] πονηρίας ἐστὶν ἀκριβῶς εὕρημα ἡ τῶν αἱρετικῶν π. *ib.*5(272A); true virginity incompatible with false doctrine, *ib.*(272B).

O. feigned virginity εἰ δὲ ὅτι οὐδεὶς τῶν ἀνθρώπων ὁρᾷ, πρὸς τὸ νεῦμα ἢ τὸν λόγον τολμᾷ, μάλιστα μὲν αὐτόθεν ἑαυτῆς ἐστι κατήγορος... ὅτι τοὺς τῶν ἀνθρώπων ὀφθαλμοὺς ἀπατῶσα, ὡς αὐτῷ ἑαυτὴν διὰ βίου νυμφεύουσα, οὔτ' ἐκείνου νύμφη, οὔτ' ἀνθρώπου καθαρῶς ἐστι γυνή, ἀλλὰ τὴν παρ' ἀνθρώποις δόξαν ἐπὶ τῇ π. διὰ τοῦ παρθενικοῦ σχήματος κλέπτουσα, ἐν ὀφθαλμοῖς τοῦ νυμφίου, παρ' ἀνθρώποις τὴν π. ἑαυτῆς ἐκπομπεύουσα, μοιχεύεται †Bas.Anc.*virg.*28(M.30.728B).

P. ref. BMV; **1.** perpetual virginity; **a.** *in partu*, Gr.Nyss.*nativ.* (M.46.1136A,B); id.*virg.*19(p.324.14; M.46.396D); ὁ Χριστὸς ἐκ τῆς ἀλύτου μήτρας προελθὼν οὐκ ἠφάνισε τὴν σφραγῖδα τῆς π. ‡Chrys. *BMV* 2.3(8.240D); ὁ Ἐμμανουὴλ φύσεως μὲν πύλας ἀνέῳξεν ὡς ἄνθρωπος, π. δὲ κλεῖθρα οὐ διέρρηξεν ὡς θεός, ἀλλ' οὕτως ἐκ μήτρας ἐξῆλθεν, ὡς δι' ἀκοῆς εἰσῆλθεν Procl.CP *or.laud.BMV* 9(p.107.18; M. 65.692A); Thdot.Anc.*hom.*1.1(p.81.1; M.77.1349A); Leo Mag.*ep.*35.3 (p.42.3; M.*PL*.54.808B); Abr.Eph.*occurs.*6(p.452.17); **b.** *post partum* ἡ παρθένος καὶ μετὰ τὸ τεκεῖν παρθένος ἔμεινεν, ἐκ τοῦ τεκεῖν μὴ ζημιωθεῖσα τὴν π. ‡Chrys.*BMV* 2.2(8.240B); παρθένος γὰρ ἡ μήτηρ, καὶ μετὰ τόκον διέμεινε τῆς π. σφραγίς, ἣν ἡ φύσις ἐπέθηκεν ἀπαρασάλευτον φυλάττουσα Hesych.H.*serm.*4(M.93.1460C); **c.** both *in partu* and *post partum* εἴ τις οὐχ ὁμολογεῖ...Μαρίαν...ἀφθόρως γεννήσασαν, ἀλύτου μεινάσης αὐτῆς καὶ μετὰ τόκον τῆς π., εἷς κατάκριτος CLater. *can.*3; ὁ τόκος ἄνευ ὠδίνων τὴν τῆς γειναμένης π. οὐκ ἐλυμήνατο, μεμένηκε γὰρ αὖτη παρθένος καὶ μετὰ τόκον, ὥσπερ ἦν καὶ πρὸ τόκου ‡Cyr.*Trin.*14(6^{3}.20D; M.77.1152A); οὐ γὰρ διήνοιξεν γεννηθεὶς μόνον τὴν μήτραν...ἀλλὰ καὶ κεκλεισμένην τῆς π. τὴν πύλην κατέλιπεν Leont.N. *serm.*1(M.93.1573A); Germ.CP *or.*3.12(M.98.304C); ἡ...παρθένος...ἡ τοσοῦτον τὴν π. ποθήσασα, ὡς ὑπ' αὐτῆς οἱά τινος καθαρωτάτου ποιωθῆναι πυρός. παρθένος γὰρ ἅπασα τῷ τόκῳ τὴν π. λυμαίνεται· αὕτη δὲ καὶ πρὸ τόκου, καὶ τίκτουσα μένει παρθένος, καὶ μετὰ γέννησιν Jo.D.*hom.*9.2(M.96.724C); **d.** as proof of Christ's divinity ὅτι γάρ ἐστιν ὁ τεχθεὶς λόγος θεοῦ, δῆλον ἐξ ὧν τὴν π. οὐκ ἔλυσεν. ἡ τίκτουσα σάρκα ψιλὴν τῆς π. παύεται· ἀλλ' ἐπειδὴ ἐτέχθη σαρκὶ λόγος θεοῦ, φυλάττει τὴν π., ἑαυτὸν λόγον δεικνύς Thdot.Anc.*hom.*1.1(p.81.14ff.; M.77.1349C); εἰ γὰρ οὐκ ἠλλοιώθη ἡ παρθένος καὶ μήτηρ ἐγένετο· οὐδὲ ἀλλοιωθείσης π. τόκος ἐγένετο, θεοῦ θαυματουργήσαντος παρθένῳ τὸν τόκον· τί θαυμάζεις, εἰ ἐν ἀπαθεῖ φύσει θελήσας θεὸς ὑπεδέξατο πάθος, οὐκ ἀποθέμενος τὴν ἀπάθειαν id.*exp.symb.*14(M.77.1333A); οὐ γὰρ ἕτεκον τῷ κόσμῳ ψιλὸν ἄνθρωπον, ἀλλὰ θεὸν σεσαρκωμένον. καὶ μάρτυς ἀξιόπιστος, ἡ σφραγὶς τῆς π. μου Eulog.*palm.*10(M.86.2933A); Chrysipp.*enc.in BMV* 2(p.340.9); cf.Jo.D.*hom.*8.8(M.96.712A); monophysite ἦ γὰρ ἂν πάντη...ἔλυεν τὴν π. ἡ ἀνθρώπου φύσις· εἰ γὰρ ἦν ἄνθρωπος κατὰ φύσιν...ὁ μέλλων ἀποτελεῖσθαι ἄνθρωπος ἐν μήτρᾳ τῆς παρθένου, οὐκ ἂν ἐτέχθη ἐξ αὐτῆς, εἰ μὴ πρῶτον τῆς π. λυθείσης Tim.II Al. *fr.*(M.86.276A); **e.** hence BMV not ἀνθρωποτόκος, Thdot. Anc.*exp.symb.*18(M.77.1340C); **f.** in rel. to Assumption ἔδει τῆς ἐν τῷ τίκτειν φυλαξάσης τὴν π. ἀλώβητον, ἀδιάφθορον τηρηθῆναι τὸ σῶμα, καὶ μετὰ θάνατον. ἔδει...τοῖς θείοις ἐνδιατρίβειν σκηνώμασιν Jo.D.*hom.*9.14(M.96.741B); **2.** spiritual foundations of her virginity ἐξ ἄκρας ταπεινώσεως καὶ τῆς πρὸς θεὸν ἀγάπης, τὸν τῆς π. ἄμωμον χιτῶνα ἑαυτῇ κεχαριτωμένη ἐξύφανεν Ant.Mon.*hom.*21(M.89.1497B); εὗρε χάριτος ἄβυσσον, ἣ σῶαν τὴν ὁλκάδα τῆς διπλῆς π. τηρήσασα, καὶ τὴν ψυχὴν γὰρ παρθένον ἐτήρησεν, οὐ τοῦ σώματος ἔλαττον. ὅθεν καὶ ἡ τοῦ σώματος π. τετήρατο Jo.D.*hom.*8.7(M.96.709B); **3.** her virginity a mystery, hidden from the Devil, Ign.*Eph.*19.1; Ζαχαρίας...τὸ τῆς π. μυστήριον ἐπὶ τοῦ ἀφθάρτου τόκου κατανοήσας Gr.Nyss.*nativ.*(M. 46.1137A); πρότερον οὖν γέγονε τὸ κατὰ τὴν π. μυστήριον καὶ ἡ περὶ τὸ πάθος οἰκονομία id.*Eun.*3(2 p.20.13; M.45.585A); id.*Apoll.*3(M.45. 1128C); **4.** her vow of virginity Μαριάμ, ἡ τὸ τῆς π. ῥόδον ἀμάραντον φυλάξαι προσευξαμένη Tim.Ant.*descr.BMV* 6(M.28.952B); **5.** OT types of her virginity ὁ μέν σε ῥάβδον Ἰεσσαὶ καλεῖ, ἵνα τὸ ἄτρωτον καὶ ἀκαμπὲς τῆς π. αἰνίξηται. ὁ δὲ βάτῳ προβάλλει καιομένῃ, καὶ μὴ κατακαιομένῃ Hesych.H.*serm.*5(M.93.1461C); **6.** in epithets of BMV ὁ στέφανος τῆς π. Cyr.*hom.div.*4(p.102.21; 5^{3}.355E); ἡ στήλη τῆς π. †Serg.*acath.*228(p.145; M.92.1344D); τὸ τῆς π. κειμήλιον ‡Jo.D.*hom.* 6.5(M.96.668C).

Q. ref. Christ ὁ κύριος...ἄφθορον ἐφύλαξεν ἐν π. τὴν σάρκα κοσμήσας. καὶ ἡμεῖς ἆρα, εἰ μέλλοιμεν καθ' ὁμοίωσιν ἔσεσθαι θεοῦ, τοῦ Χριστοῦ φιλοτιμώμεθα τὴν π. τιμᾶν Meth.*symp.*1.5(p.13.13ff.; M.18.45B); *ib.* 10.1(p.122.12; 193A); ὅτι σπέρμα τοῦ ἀφθάρτου βίου τὴν π. ὁ κύριος ἡμῶν ἐκ γῆς εἰς οὐρανὸν παραδόξως πεμπόμενον ἐβουλήθη γενέσθαι, ἐμμελετῆσαι τὰ σώματα ἡμῶν τὸ τῆς ἀφθορίας κάλλος διὰ τῆς τῶν παρθένων ἀφθορίας ἤδη θελήσας, δῆλόν ἐστιν ἐξ ὧν πάντα τῷ νόμῳ πεισθεὶς μόνον τὸν γάμον ἀπείπατο †Bas.Anc.*virg.*54(M.30.777B); Χριστὸς...τὴν π. τὴν ἀληθῆ...δεικνὺς ἐν ἑαυτῷ Jo.D.*f.o.*4.24(M.94. 1209C).

R. praise of virginity μεγάλη τίς ἐστιν...ἔνδοξος ἡ π. ... τὸ οὔθαρ τῆς ἐκκλησίας καὶ τὸ ἄνθος...αὐτῆς τοῦτο τὸ ἄριστον Meth.*symp.*1.1 (p.7.10; M.18.36B); *ib.*7(p.71.22; 125A); μεγάλα ἐγκώμια τῆς π. ὦ π., πλοῦτος ἀκατάληπτος· ὦ π., στέφανος ἀμαράντινος· ὦ π., ναὸς θεοῦ καὶ ἁγίου πνεύματος οἰκητήριον· ὦ π., μαργαρῖτα τίμιε Ath.*virg.*24 (p.59.11ff.; M.28.280C); παρθενίη...θεόσδοτε, δῶτερ ἐάων, μῆτερ ἀκτημοσύνης, Χριστοῦ λάχος, οὐρανίοισι κάλλεσιν ἀζυγέεσσιν ὁμόζυγε Gr.Naz.*carm.*1.2.1.11(M.37.523A); ἔπαινος δὲ μόνος ἱκανὸς τῆς π. ἐστὶ τὸ κρεῖττονα τῶν ἐπαίνων εἶναι τὴν ἀρετὴν ἀποφήνασθαι, καὶ τῷ βίῳ θαυμάσαι μᾶλλον ἢ τῷ λόγῳ τὴν καθαρότητα Gr.Nyss.*virg.*1 (p.252.25; M.46.321B); πολλοὶ τῶν μεγάλων ἀνθρώπων τὴν π. θαυμάζουσιν· καὶ γάρ ἐστι θαυμαστή, ὡς τῶν ἀγγέλων σύμφυτος,...ὡς τῶν ἀσωμάτων φύσεων σύνδρομος, ὡς τῆς ἁγίας ἐκκλησίας λαμπαδοῦχος... θαυμαστὴ...ἡ π., ὡς ἀδούλωτον κτῆμα...ὡς συνεισελθοῦσα τῷ νυμφίῳ Χριστῷ Amph.*hom.*2.1(M.39.44C,D); οἱ καλοὶ τῆς π. λόγοι...αὕτη ὁ λογικὸς τοῦ θεοῦ παράδεισος, ἐν ᾧ πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, τουτέστιν πνευματικὴν θεωρίαν· καὶ καλὸν εἰς βρῶσιν, τὴν πνευματικὴν διδασκαλίαν...αὕτη τῆς ἀληθινῆς ἐπαγγελίας ἡ χώρα Procl.CP *or.*6.3 (M.65.724C); *M.Ner.et Ach.*8(p.7.17ff.).

S. met.; **1.** ref. Church ἡ ὑπερβάλλουσα νύμφη [sc. ἐκκλησία] τῷ κάλλει...τῆς π. πάσας Meth.*symp.*7.7(p.78.5; M.18.133B); *ib.*8.11 (p.94.3; 156A); **2.** Trin. ὁ...παράδοξον ἐν πατρὶ π. εὑρίσκεσθαι τῷ καὶ υἱὸν ἔχοντι καὶ δίχα πάθους γεννήσαντι· τῷ δὲ μονογενεῖ θεῷ τῷ τῆς ἀφθαρσίας χορηγῷ συγκαταλαμβάνεται ὁμοῦ τῷ καθαρῷ...τῆς γεννήσεως αὐτοῦ συνεκλάμψασα. καὶ πάλιν τὸ ἴσον παράδοξον υἱὸς διὰ παρθενίας νοούμενος. ἐνθεωρεῖται δὲ ὡσαύτως καὶ τῇ τοῦ ἁγίου πνεύματος φυσικῇ...καθαρότητι· τὸ γὰρ καθαρὸν καὶ ἄφθαρτον ὀνομάσας ἄλλῳ ὀνόματι τὴν π. ἐσήμανας Gr.Nyss.*virg.*2(p.253.11ff.; M.46. 321C).

παρθενικός, 1. *of the Virgin* διὰ π. μήτρας...σαρκωθέντα Just.*dial.* 84.2(M.6.673B); Meth.*symp.*3.5(p.31.19; M.18.68B); Cyr.H.*catech.*

12.28; Gr.Nyss.*Apoll.*54(M.45.1256B); *ηὐδόκησε γὰρ ὁ θεὸς...τὸν υἱὸν...κατελθόντα ἐν μήτρᾳ π. συλληφθῆναι* Epiph.*inc.*1(p.227.20; M. 41.273C); ref. Valent. Christology *μηδὲν δὲ ἀπὸ τῆς π. μήτρας εἰληφέναι, ἀλλὰ ἄνωθεν τὸ σῶμα ἔχειν* id.*haer.*31.7(p.396.11; M.41. 488A); Chrys.*hom.12.1 in Mt.*(7.160D); *τὸ μὲν γὰρ πνεῦμα αὐτὸν διέπλασεν...οὐ μὴν ἐξ οὐκ ὄντων...ἀλλ' ἐκ τῆς σαρκὸς τῆς π.* id.*hom. 26.1 in Jo.*(8.149D); id.*hom.4.1 in 1Cor.*(10.24B); *ἐβαστάζετο ἀγκάλαις π.* Sophr.H.*ep.syn.*(M.87.3173B); **2.** ***virginal, virgin*** *π. ὠδῖνος* Chrys.*hom.26.2 in Jo.*(8.151D); *π. ... μήτηρ* Nonn.*par.Jo.* 2:2(M.43.760C); *ib.*19:27(904B); *ἡ τοῦ σώματος σύμπηξις ἐκ πανάγνων αἱμάτων π.* ‡Cyr.*Trin.*14(6^{a}.20D; M.77.1152A); met. *παρθενικοῖς δὲ δραμοῦσι καλῶς ἄφθαρτον ἄεθλον δώσει Orac.Sib.*2.48; *ἀνάψυξον ἡ π. μου πίστις Apoc.Bar.rel.*6.4; in Barbeliote Gnostic system *ὑπέθεντο ...αἰῶνα τινὰ ἀνώλεθρον ἐν π. διάγοντα πνεύματι, ὃ Βαρβηλὼθ ὀνομάζουσι* Thdt.*haer.*1.13(4.304); **3.** *consisting of maidens σύλλογος π.* Cyr.H.*procatech.*14.

***παρθενικῶς,** **1.** *as befitting a virgin π. ἀποκρίνεται* Sophr.H.*or.*2. 45(M.87.3277B); Thdr.Stud.*nativ.BMV* 7(M.96.692B); **2.** *as from a virgin, virginally ὁ τόκος...θεῖος διὰ τῆς ἀρραγοῦς μήτρας π. ἐδείχθη* Leont.H.*Nest.*4.36(M.86.1709D); *ἐκυήθη π.* Thdr.Stud.*epp.*2. 23(M.99.1188C).

παρθένιος, **ἡ,** *chalk,* Clem.*str.*1.10(p.8.8; M.8.697A).

***παρθενογενής,** *of virgin birth,* Tim.Ant.*Sym.*(M.86.245B).

***παρθενογέννητος,** *born of a virgin διὰ τοῦτο ἀληθινὸς θεός, ἐπειδὴ π.* Leont.H.*Nest.*4.41(M.86.1716A).

παρθενοκομία, **ἡ,** *hostel for girls,* Gr.Naz.*or.*43.34(M.36.541C).

***παρθενόλυτος,** *ending virginity π. ... γάμων* Isid.Pel.*epp.*2.92(M. 78.536D).

***παρθενομάρτυς,** **ἡ,** *virgin martyr, Hymn.*(*AS* 1 p.644).

***παρθενομήτηρ,** **ἡ,** *virgin mother,* as adj. *π. κόρη* Ephr.3.534C.

***παρθενομήτωρ,** **ἡ,** = foreg. *π. ὡς θεοτόκος ἡ...Maria* ‡Ath.*Jov.* (M.28.532B); Cyr.*Arcad.*(p.66.33; 5^{2}.49E); id.*deip.BMV* 4(p.20.33; M.76.260C); Mod.*dorm.*3(M.86.3288A); Sophr.H.*or.*2.21(M.87.3241A); *τῆς ἀχράντου π.* CTrull.*can.*79.

***παρθενοποι-έω,** *make virgin,* exeg. parable of ten virgins *ἀποστάσας τῆς εἰδωλολατρείας τῷ παραδέξασθαι...τὸν τοῦ θεοῦ καθαρὸν λόγον καὶ ~ηθείσας* Or.*comm.ser.63 in Mt.*(p.145.23; *virginificatae* M.13.1699D).

***παρθενοπρεπῶς,** *in a manner becoming virgins ὁσίως καὶ π.* Thdr.Stud.*epp.*2.115(M.99.1384C).

παρθένος, **ἡ,** *virgin;*

I. of the consecrated virgin also called (*π.*) *κανονική* q.v.; **A.** as bride of Christ; **1.** in gen. *π. ... Χριστὸν ἔχουσα νυμφίον* Gr.Naz. *carm.*1.2.3.67(M.37.638A); *ib.*1.2.29.315(907A); **2.** as calling for renunciation *εἰ γὰρ οἱ τῷ κόσμῳ συναπτόμενοι καταλιμπάνουσι τὸν πατέρα καὶ τὴν μητέρα καὶ συνάπτονται ἀνθρώποις θνητοῖς, πόσῳ μᾶλλον ἡ π. ἐγκρατευομένη ὀφείλει καταλιπεῖν τὰ γήϊνα πάντα καὶ τῷ κυρίῳ μόνῳ κολληθῆναι* Ath.*virg.*2(p.36.25; M.28.253B); *πᾶς μὲν τόπος...ἐν τῇ ψυχῇ τῆς π. τῆς ὄψεως Χριστοῦ πεπληρώσθω...μηδενὸς οὖν...μὴ παρόντος, μὴ ἀπόντος ἀνθρώπου κάτοπτρον ἔστω ἡ τῆς π. ψυχή, ἢ τοῦ ἁγίου αὐτῆς νυμφίου* †Bas.Anc.*virg.*49(M.30.768A); *ὅλῃ τέτασο πρὸς θεόν, ὦ π., τῇ ψυχῇ...καὶ οὐ μή τί σοι φανῇ τῶν ἄλλων καλόν, ὅσα τοῖς πολλοῖς· οὐ γένος, οὐ πλοῦτος...οὐ...κάλλος...εἰ ὅλην ἐκένωσας πρὸς θεὸν τοῦ φίλτρου τὴν δύναμιν, εἰ μὴ δύο σοι εἴη τὰ ποθούμενα, καὶ τὸ ῥέον, καὶ τὸ ἀόρατον· ἆρα τοσοῦτον ἐτρώθης τῷ ἐκλεκτῷ βέλει, καὶ τοῦ νυμφίου κατέμαθες, ὥστε καὶ δύνασθαι λέγειν... γλυκασμὸς εἶ* [cf.Cant.5:16] Gr.Naz.*or.*37.11(M.36.296C); id.*carm.*1. 2.2.658(M.37.630A); **3.** as receiving blessings *ἄφθορος οὖν οὐ τῇ πρὸς τὸν ἄφθαρτον λόγον ἑνώσει ἡ π. μένει μόνον, ἀλλὰ καὶ μετὰ τὴν ἕνωσιν γίνεται...ἀλλ' ἐφθαρμένην διὰ τῶν σαρκικῶν ἡδονῶν παρὰ διαβόλου λαβών, καὶ γυναῖκα αὐτοῦ διὰ τῆς φθορᾶς κακῶς γενομένην, τῇ πρὸς αὐτὸν κοινωνίᾳ ἄφθορον ἐκ γυναικὸς παρθένον ποιεῖ* †Bas.Anc.*virg.*50 (M.30.769C); *ἡ δὲ π. καὶ ποθεῖ τὴν τελευτήν...σπεύδουσα τὸν νυμφίον ἰδεῖν πρόσωπον πρὸς πρόσωπον* Chrys.*virg.*59(1.319B).

B. compared with angels *οὐ γαμοῦσιν, οὐδὲ γαμίζονται ἄγγελοι; ἀλλ' οὐδὲ ἡ π. παρεστήκασι διαπαντὸς...τῷ θεῷ; τοῦτο καὶ ἡ π.* Chrys. *virg.*11(1.275E); *ἡ δὲ π. ἐπὶ μείζοσιν ἀπεδύσατο, καὶ τὴν ἀνωτάτω φιλοσοφίαν ἐζήλωσε, καὶ τὴν τῶν ἀγγέλων πολιτείαν δεῖξαι ἐπὶ τῆς γῆς ἐπαγγέλλεται, καὶ μετὰ τῆς σαρκὸς ταύτης τὰ τῶν ἀσωμάτων αὐτῇ δυνάμεων κατορθῶσαι πρόκειται* id.*sac.*3.17(p.88.26; 1.398B).

C. conduct; **1.** in gen., Polyc.*ep.*5.3 cit. s. *ἀγνός; δεῖν τὴν σώφρονα...π. παντὸς πάθους κατὰ πάντα τρόπον τῆς ψυχῆς ἁπτομένου χωρίζεσθαι* Gr.Nyss.*virg.*15(p.313.5; M.46.385A); *ἡ π. ... ἔστω ἁγία σώματι καὶ ψυχῇ, ὡσανεὶ θεοῦ, ὡς οἶκος Χριστοῦ, ὡς πνεύματος ἁγίου καταγώγιον. δεῖ γὰρ τὴν ἐπαγγειλαμένην, ἄξια τῆς ἐπαγγελίας ἔργα διαπρασσομένην, δεικνύειν τὸ ἐπάγγελμα αὐτῆς ὅτι ἔστιν ἀληθὲς καὶ διὰ σχολὴν εὐσεβείας, οὐ κατὰ διαβολὴν γάμου γινόμενον Const.App.*4.14.2; **2.** external appearance; should express sanctity, Gr.Naz.*carm.*1.2. 6.27(M.37.645A); *ὅλην σεαυτὴν ἁγνὴν τήρει π. ... ὅμμα σου σωφρονείτω ...μὴ νοῦς πορνεύῃ, μὴ γέλως, μὴ ποῦς ἄτακτα βαίνων. τὴν πιναρὰν στολὴν σου, καὶ τὴν αὐχμηρὰν κόμην, μᾶλλον αἰδοῦμαι μαργάρων ib.*1.2. 3.49(636A); *δεῖ...αὐτὴν εἰς ἀγορὰν ἐμβάλλουσαν, ὥσπερ ἄγαλμα φιλοσοφίας ἁπάσης φαίνεσθαι, καὶ πάντας ἐκπλήττειν, ὡς ἄγγελον ἐξ οὐρανοῦ καταβάντα...οὕτω καὶ τὴν π. τοὺς ὁρῶντας ἅπαντας εἰς θαῦμα...τῆς ἁγιωσύνης αὐτῆς ἐμβάλλειν δεῖ* Chrys.*fem.reg.*7(1.262E); should conceal beauty, †Bas.Anc.*virg.*16(M.30.704B); *ib.*18(708A); *ib.*(708B); *ἡ π. καὶ μόνη οὖσα, τῆς ἀναμαρτησίας ἑαυτῆς προνοήσεται, οὐ τὰς τῶν λοιπῶν ἀνθρώπων ὄψεις μόνον, ἀλλὰ πολλῷ πλέον...τὰς ἑαυτῆς καὶ τῶν ἁπανταχοῦ ὁρώντων ἀγγέλων ἐντρεπομένη...οὐ γὰρ δεῖ, κἂν ἐν οἴκῳ μόνῃ καθέζηται καθ' ἑαυτὴν ἡ π., διότι μηδεὶς πάρεστι τῶν ἀνθρώπων, ἀδιαφόρως γυμνοῦσθαι...αἰδείσθω οὖν...ἡ π. τοὺς ἀγγέλους ...καὶ ὅταν συμβαίνῃ ἀναγκαίως ἐπιμελεῖσθαι τοῦ σώματος, τά τε κατὰ κεφαλὴν καὶ τὰ καθ' ἕκαστον περιστέλλουσα, ἐπισπευδέτω τὸ ἔργον ib.* 34(737C–740A); **3.** custody of the senses *π. οὖν ἔστω τῆς π. καὶ ἡ ἀκοὴ καὶ τὸ βλέμμα, ἔτι δὲ ἡ ἁφὴ καὶ ὅλον τὸ κίνημα* †Bas.Anc.*virg.*15(M. 30.704A); *π., π. ἴσθι καὶ οὖσα, καὶ φαείσσι, καὶ γλώσσῃ* Gr.Naz.*carm.* 1.2.2.74(M.37.584A); *ἡ π. ὀφείλει ταῖς τῶν αἰσθητηρίων ὀπαῖς τὸν λογισμὸν φρουρὸν ἐπιστήσασα, τήν τε ἐπὶ τὰ ἔξω τούτων φορὰν... ἠρεμαῖον παρέχειν* †Bas.Anc.*virg.*4(M.30.677C); ref. individual senses *δεῖ μάλιστα τὴν π. τάς τε διὰ τῶν βλεμμάτων καὶ τῆς φωνῆς κολακείας, τῆς φθειροποιοῦ ἡδονῆς φάρμακον οὔσας, τῶν ἰδίων αἰσθήσεων...ἐλαύνειν· τὴν μὲν ἀκοὴν ἔνδοθεν σώφρονι λογισμῷ ἀποφράττουσαν, τοὺς δὲ ὀφθαλμοὺς ἀποστρέφειν κατὰ φύσιν γινώσκουσαν ib.*15 (700C); *δεῖ τὴν π. ... καὶ π. φυλάττειν τὴν γλῶσσαν...ἐκεῖνα γὰρ μόνον τῇ π. ῥητέον, ὅσα τε ἀκουσθέντα τὸν νοῦν ὠφελήσει τῶν ἀκουόντων ib.*20 (709C); reasons for these precautions *ἱστέον οὖν τοῖς τὴν θεράπαιναν τῆς ὄντως παρθενίας, διὰ τῆς ἀποχῆς τῶν τροφῶν...παρθένον φυλάττουσιν, ὅτι δυνατὸν π. ἔχοντα σῶμα, μὴ π. ἔχειν τὴν ψυχήν. ἱκανὸν γὰρ καὶ βλέμμα τύπους ἐμποιῆσαι τῶν αἰσχρῶν τῇ ψυχῇ, καὶ λόγος πεφαρμακωμένος πρὸς ἡδονὴν ἐμπεσὼν τῇ ἀκοῇ φθεῖραι πρὸς ἀκολασίαν τὸν νοῦν. εὐλαβεῖται γοῦν ὁ νυμφαγωγός, μήπως φθαρῇ οὐ τὸ σῶμα, ἀλλὰ τὰ νοήματα τῶν νυμφευομένων Χριστῷ. διὸ δεῖ τὴν π. πρὸ τοῦ σώματος μάλιστα τηρεῖν τὴν ψυχήν...ὡς ἂν μήτε διὰ φωνῆς ταύτης λόγος ῥυείς, πρὸς ἡδονὴν τὸν ἀκουστὴν τοῦ λόγου φαρμάξειε, μήτ' ἔξωθεν αὖθις διὰ τῆς ἀκοῆς λόγος...ἐμπεσών, τὴν καρδίαν αὐτῆς πρὸς ἐπιθυμίαν κυμήνῃ. οὕτω γὰρ καὶ ἐπὶ τοῦ βλέμματος προσήκει ποιεῖν...διὸ δεῖ...μηδενὶ ἀτενὲς τὴν π. ἐπιβάλλειν τὸ ὄμμα ib.*13(693C–696B); *ἐρωτικὸν βλέμμα, ἢ λόγος ἡδονῆς...εἰς τὴν τῆς π. ψυχήν, ὥσπερ εἰς καθαρὸν ὕδωρ... ἐμπεσών, ἄλλας ἐπ' ἄλλας ἐρωτικάς, ὡς ἐν βύθῳ, ἐγείρων ἐννοίας, ὅλην αὐτὴν πρὸς τὴν τοῦ βάλλοντος φαντασίαν πληγεῖσαν κυμαίνει ib.*14 (700C); **4.** abstinence and other austerities *οὕτως γὰρ οὐκ ἐξίσταται ἄνθρωπος ἀπὸ οἴνου καὶ παραπαίει, ὥσπερ ἀπὸ ζήλου καὶ ὀργῆς· οὕτως οὐ μεθύσκεταί τις ἀπὸ οἴνου καὶ παραφρονεῖ, ὡς ἀπὸ λύπης, ὡς ἀπὸ ἔρωτος, ὡς ἀπὸ ἀκρασίας. ἀπὸ ταύτης προστέτακται τῆς ἀμπέλου μὴ γεύσασθαι τὴν π., ἵνα νηφάλιος ὑπάρχουσα καὶ ἄυπνος ἀπὸ μερίμνης βιωτικῆς* Meth.*symp.*5.5(p.59.22; M.18.108A); *οὐ μόνον δὲ τῶν ἐκ τῆς ἀμπέλου κατεργαζομένων ἐκείνης προστέτακται μηδαμῶς...προσψαύειν τὴν π., ἀλλὰ καὶ τῶν ἀντιμίμων αὐτῆς...σίκερα γὰρ πᾶς ὁ σκευαστὸς οἶνος καλεῖται καὶ νόθος...ὅπως...μὴ μόνον τῶν γενικῶν ἁμαρτημάτων φυλασσομένη τῆς πονηρίας ὑπὸ τῶν ἀντιμίμων αὐτῆς χραίνηται... ἑτέρων μὲν κρατοῦσα, ὑφ' ἑτέρων δὲ κρατουμένη, τουτέστιν ἱματίων διαφερόντων ὑφαῖς ἁβρυνομένη...ἃ δὴ καὶ αὐτὰ μεθύσκει τὴν ψυχήν ib.* 5.6(p.60.6; 108A); *πρώτης οὖν τῆς γεύσεως ἡ π. κρατήσει, τὰς πηγὰς τῶν γαστρὸς ἡδονῶν...παρθένον γὰρ καὶ τὴν γεῦσιν εἶναι δεῖ τῆς π.* †Bas. Anc.*virg.*7(M.30.682B); *ἡ π. ... διὰ νηστειῶν καὶ ἀσκήσεως τούς τε ἀναδιδομένους...βρασμοὺς καταστείλασα ib.*47(761C); *καλῶς ὁδεύεις, π., εἰς ὄρος...νηστεία σε κενούτω, ἀγρυπνία, προσευχαί, δάκρυα, χαμευνία* Gr.Naz.*carm.*1.2.3.33(M.37.635A); **5.** seclusion *ἡ ὑπακοὴ τῶν π. ἔστω ἁγία, καὶ μόναι ἡσυχαζέτωσαν· ἐν δὲ ταῖς προόδοις βαδιζέτωσαν δύο δύο A.Phil.*142(p.82.8); *οὐ γὰρ ἁπλῶς ἀγελαίαν δεῖ τὴν π., ἀποστραφεῖσαν τὰ γάμων δεσμά, ἁπανταχοῦ μετὰ αὐθεντίας σοβεῖσθαι* †Bas. Anc.*virg.*19(M.30.709A); *κάλλιον τὴν π. τὸ ἀσφαλὲς ἑαυτῇ καὶ ἀπρόσκοπον τῶν ὁρώντων πραγματευομένην, πανταχόθεν φρονίμως ἀνεπίμικτον εἶναι ib.*53(776B); *χρὴ τὴν π. πανταχόθεν τειχίζεσθαι, καὶ ὀλιγάκις...προβαίνειν τῆς οἰκίας* Chrys.*sac.*3.17(p.91.19; 1.399C); **6.** various virtues *οὐκ ἀπὸ τῶν φανερῶν ἁμαρτημάτων μόνον... ἀγνεύειν χρὴ τὴν παρθένον ψυχήν,...ἀλλὰ καὶ πολλῷ πλέον ἀπὸ τῶν κρυφίων* Mac.Aeg.*perf.*5(M.34.845A); *τὴν π. οὐ τοῦτο ποιεῖ π., τὸ μὴ ὠμληκέναι γάμῳ, ἀλλὰ πολλῶν καὶ ἑτέρων δεῖ, τοῦ ἀμέμπτου, τοῦ εὐπροσέδρου* Chrys.*hom.13.2 in 1Tim.*(11.619D); id.*ep.*2.4(3.539A); *ποῖον γὰρ ὄφελος ἔσται τῷ τὸ σῶμα π. τηρήσαντι, εἰ τὴν ψυχὴν ὑπὸ τοῦ τῆς παρακοῆς μεμοίχευται δαίμονος;* Diad.*perf.*42(p.48.19); *τὸ γὰρ*

λέγεσθαι π., καὶ τὰς ἀρετὰς μὴ ἔχειν ἀναλόγους, καὶ...ἁρμοζούσας τῇ π., μωρὰν τὴν τοιαύτην π. φησὶν ὁ κύριος Ant.Mon.*hom.*21(M.89.1497B); πρὸ δὲ πάντων χρὴ τὴν π. τῷ ἐλαίῳ τῆς εὐποιΐας κατακοσμῆσαι τὴν ἑαυτῆς λαμπάδα *ib.*(1500C).

D. opp. married women; **1.** separation advocated μεμερισμένη γοῦν πρὸς τὴν ἔγγαμον ἡ π., τόν τε βίον, καὶ ὅλον τὸ ἦθος, τὰ ἐπιβάλλοντα ἔργα τῇ π. ἐν παντὶ ἐπιγνώσεται †Bas.Anc.*virg.*21(M.30.713C); *ib.*(712C); **2.** sorrows of married women and joys of virgins δεσπότην μετὰ προικὸς ἡ γυνὴ ὠνουμένη τὸν ἄνδρα, δούλη μὲν ἀντὶ ἐλευθέρας ἐστί, μικρᾶς τῆς κατὰ τὸν γάμον ἡδονῆς τὴν φυσικὴν ἐλευθερίαν ἀπεμπολήσασα, θύραν δὲ ἀμυθήτων ὠδίνων...ἑαυτῇ τὸν γάμον ἀνοίξασα...ἡ δὲ π. τὸν πρὸς τὸν ἄνδρα ζυγὸν ἀπορρήξασα, καὶ πρὸς τὸν κύριον ὅλη δραμοῦσα, συναπέρρηξε τῷ ζυγῷ καὶ τὴν ἐκ τῆς κατάρας ὀδύνην...τὴν ἐκ τῆς συμπλοκῆς τῶν σαρκῶν συμβαίνουσαν φθορὰν πρώτην φυγοῦσα, ἄφθορος ὅλη ἐν ἀσάρκῳ ψυχῇ, τῷ κυρίῳ νυμφεύεται *ib.*23(717C); ἡ δὲ π. ἀνωτέρω ταύτης ἕστηκε τῆς ὠδῖνος [sc. childbirth] καὶ τῆς ἀρᾶς. ὁ γὰρ τὴν ἀπὸ τοῦ νόμου κατάραν λύσας καὶ ταύτην ἔλυσε μετ' ἐκείνης Chrys.*virg.*65(1.322A); *ib.*68(323B); **3.** their spiritual state καὶ ἡ ὑπὸ ζυγὸν ἔστω τι Χριστοῦ· καὶ ἡ π. ὅλη Χριστοῦ. ἡ μὲν μὴ παντελῶς ἐνδεσμείσθω τῷ κόσμῳ· ἡ δὲ μηδ' ὅλως γινέσθω τοῦ κόσμου. ὃ γὰρ ἐστι τῇ ὑπὸ ζυγὸν τὸ μέρος, τοῦτο παντελὲς τῇ π. Gr.Naz.*or.*37.10(M.36.296A); αἱ ὑπὸ ζυγόν, δότε τι καὶ θεῷ...αἱ π., τὸ πᾶν θεῷ *ib.*44.8(616B); **4.** their mutual harmony ἀλλήλαις συνδεσμεῖσθε, καὶ π., καὶ γυναῖκες, καὶ ἔν ἐστε ἐν κυρίῳ, καὶ ἀλλήλων καλλώπισμα. οὐκ ἂν ἦν ἄγαμος, εἰ μὴ γάμος. πόθεν γὰρ εἰς τοῦτον παρῆλθε τὸν βίον π.; οὐκ ἂν ἦν γάμος σεμνός, εἰ μὴ π. καρποφορῶν *ib.* 37.10(293C).

E. temptations; **1.** to become '*subintroduciae*', v. συνείσακτος; **2.** spiritual trials ἡ δὲ π. δι' ὅλου θαλαττεύειν ἀναγκάζεται, καὶ πέλαγος πλεῖν ἀλίμενον· κἂν ὁ χαλεπώτατος διεγερθῇ χειμών, οὐδὲ οὕτως θέμις ὁρμίσαι τὸ σκάφος αὐτῇ καὶ ἀναπαύσασθαι...ὁ...πειρατὴς τῇ π. πολὺν ἐπάγει τὸν χειμῶνα...πάντα ἄνω καὶ κάτω κυκῶν,...ἤκουσε γὰρ ὅτι τὸ 'Ἐπὶ τὸ αὐτὸ συνέρχεσθαι ἡ π. οὐκ ἔχει, ἀλλ' ἀνάγκη δι' ὅλου παλαίειν αὐτήν Chrys.*virg.*34(1.292B,C); ἡ δὲ π. οὐκ ἔχουσα ὅπως ἀβέσῃ τὸ πῦρ...ἑνὸς γίνεται μόνου τοῦ μὴ φλεχθῆναι μαχομένην πυρί *ib.*(292E).

F. work and influence ἔστωσαν...πᾶσαι αἱ π. αἱ πιστεύουσαι καθ' ἑκάστην τὴν ἡμέραν ἐπισκέπτουσαι τοὺς νοσοῦντας *A.Phil.*142(p.79.5); ἡ π. σωφροσύνης εἰκών, μᾶλλον δὲ αὐτοαρετῆς ἄγαλμα οὖσα, καὶ μόνον ὀφθεῖσα, τὰς τῶν ὀρώντων ὄψεις πρὸς τὴν τοῦ θείου ἔννοιαν ἐπιστρέφειν ὀφείλει †Bas.Anc.*virg.*22(M.30.716A); μεταρυθμιζέσθω τῶν ἁπάντων τῇ π. καὶ βλέμμα καὶ κίνημα πρὸς τὴν τοῦ καλοῦ φαντασίαν· καὶ πάντες μὲν οἱ συντυγχάνοντες ἐπιστυφέσθωσαν τὴν διάνοιαν *ib.*(716B); ἡ π. καὶ γνώμης καὶ κινήσεως καὶ μορφῆς καὶ σχήματος...τοῖς τοῦ νυμφίου φίλοις καθαρῶς ὁμιλήσει. οὐ γὰρ εἰς μισανθρωπίαν φέροντες αὐτὴν ἀπεκλείσαμεν, ἀλλ' ἀκριβέσι τύποις ὅλην ἄνωθεν ἀπὸ κεφαλῆς ἄχρι ποδῶν θεοῦ ἄγαλμα ζωγραφήσαντες, οὕτω πρὸς τοὺς τῆς πίστεως οἰκείους ἐπιδεξίως προάγομεν, ἵνα καὶ σχήματι, καὶ λόγῳ, νύμφη ἀληθῶς τοῦ κυρίου ὀφθεῖσα, ὠφελήσῃ τοὺς ὁμιλοῦντας *ib.*36(740C).

G. reward στέφανος τῶν π. ἐγώ [sc. Christ] *A.Mt.*2(p.219.4); †Bas.Anc.*virg.*24(M.30.720B); τῶν μοναζόντων καὶ τῶν π. τάγμα, τῶν τὸν ἰσάγγελον βίον ἐν κόσμῳ κατορθούντων...μέγας ὑμῖν ἀπόκειται στέφανος Cyr.H.*catech.*4.24; *ib.*13.34; αἱ δὲ π. προσδοκώμεναί εἰσι μετὰ τῶν συνεταιρίδων ἐν οὐρανοῖς Μαρίας ἅμα ἀδελφῆς Ἀαρών, καὶ τῆς Μαρίας καὶ Θέκλης τῆς ἐκτιλάσης τὴν σαρκικὴν ἐπιθυμίαν ἀφ' ἑαυτῆς ‡Ath.*pat.*7(M.26.1305C).

H. in persecutions; gen. sufferings, Ath.*apol.Const.*33(M.25.640C); id.*ep.encycl.*4(p.173.17f.; M.25.232A,B); Gr.Naz.*or.*33.3(M.36.217C); *ib.*43.46(556C); rape, †Bas.Anc.*virg.*52(M.30.773B,C).

I. lapsed virgins; their sin λέγει...ὁ κύριος, ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ἡ π., ἐμὲ ἐγκατέλιπε τὸν ἀληθινὸν...νυμφίον, καὶ ἀπέδρα πρὸς ἀσεβῆ...ψυχῆς ὁμοῦ καὶ σώματος φθορέα Bas.*ep.*46.3(3.137E; M.32.376B); ἡ π., μετὰ τὴν τῆς παρθενίας ἐπαγγελίαν διαφθαρεῖσα, μοιχείας χεῖρον ἐτόλμησεν Chrys.*vid.*2.3(1.353B); to be judged strictly περὶ τῶν ἐκπεσουσῶν π. τῶν καθομολογησαμένων τὸν ἐν σεμνότητι βίον τῷ κυρίῳ, εἶτα...ἀθετουσῶν τὰς ἑαυτῶν συνθήκας, οἱ μὲν πατέρες ἡμῶν...πραῶς συμπεριφερόμενοι ταῖς ἀσθενείαις...ἑνομοθέτησαν δεκτὰς εἶναι μετὰ τὸν ἐνιαυτόν...ἐμοὶ δὲ δοκεῖ, ἐπειδὴ...πληθύνεται νῦν τὸ τάγμα τῶν π., προσέχειν ἀκριβῶς τῷ τε κατ' ἔννοιαν φαινομένῳ πράγματι, καὶ τῇ τῆς γραφῆς διανοίᾳ...οὐκοῦν ἡ μὲν χήρα, ὡς δούλη διεφθαρμένη, καταδικάζεται· ἡ δὲ π. τῷ κρίματι τῆς μοιχαλίδος ὑπόκειται Bas.*ep.* 199.*can.*18(3.291B–E; M.32.717A–720A); 1Cor.7:28 not applying to them, Chrys.*virg.*39(1.298C); sin of intercourse with virgins μηδεὶς οὕτως ἔστω ἀνόσιος...αὐτὸν τὸν ναὸν τοῦ κυρίου, τουτέστι, τῆς π. τὸ σῶμα, καὶ αὐτὴν τὴν...ψυχὴν τῆς π., ἱερώτατον ἐν τῷ ναῷ τοῦ κυρίου ἀνάθημα, τοῖς ἀκολασίας πυρσοῖς βαρβαρικῶς καταφλέξαι. ἀλλ' εἰ ἐκοῦσαν ἐπέδωκεν ἑαυτὴν ἡ π. ... μὴ χωρὶς τοιαύτῃ σαυτὸν εἰς κοινωνίαν τῆς ἁμαρτίας †Bas.Anc.*virg.*41(M.30.749D–752A).

J. ideal of a virgin; **1.** attitude to the world τοιοῦτον δεῖ ἔρωτα τὴν π. ἐρῶσαν, καταφρονεῖν μὲν ἡδυπαθείας, καὶ τοῦ πλούτου καὶ τῆς νομιζομένης ἐν τῷ κόσμῳ τρυφῆς· πατοῦσαν δὲ τὴν πρόσκαιρον δόξαν... καὶ τὰς ἐμπαθεῖς κολακείας, ἀμεταστρεπτὶ τῷ κυρίῳ ἀκολουθεῖν †Bas.Anc.*virg.*26(M.30.724B); **2.** perfect purity, *ib.*27(725B); Gr.Naz.*carm.* 1.2.3.1(M.37.632A); **3.** perfect equilibrium ἡ π. ... οὔτε τοῖς ἐκ σαρκὸς πάθεσι τὸ τῆς ψυχῆς φωτεινὸν συνταράξει, οὔτε τοῖς ἀπὸ ψυχῆς ἔχουσι τὴν ἀρχὴν συγχεῖν τὸ ἑαυτῆς κάλλος ἀνέξεται· ἀλλ' ἑκάτερον ἐν τῇ ἰδίᾳ χώρᾳ...καθ' ἡσυχίαν φυλάττουσα, εἰρήνην μὲν τοῖς μέρεσι μετὰ σοφίας βραβεύσει, ἐν ἠρεμίᾳ δὲ μένειν καὶ ψυχὴν καὶ σῶμα κατὰ φύσιν ἀσκήσασα, τὸ ἐξ ἀμφοῖν ἐναρμόνιον εἶδος καθαρὸν ἐπιδείξει †Bas.Anc. *virg.*47(M.30.760D); *ib.*49(765C); ἡ π. ... μυστικῶς...σαββατιζέτω, μὴ χεῖρα, μὴ πόδα, μὴ ὀφθαλμόν, μήτ' ἄλλο τι τῶν μελῶν, ἀλλὰ μηδὲ νοῦν φθοροποιὸν τοῦ φυσικοῦ κάλλους κινοῦσα· ἀλλ' ἑστηκέτω ὡς ἀγαθὸν γλύμμα θεοῦ ἀκίνητον πρὸς πᾶσαν φαντασίαν *ib.*58(785C); *ib.* 66(804B).

***Πατροπασσιανοί**, οἱ, *Patripassians* οἱ Π. μὲν παρὰ Ῥωμαίοις, Σαβελλιανοὶ δὲ καλούμενοι παρ' ἡμῖν *Symb.Ant.*(345)7(p.253.18; M. 26.732C).

πατροπάτωρ, ὁ, *father of the fathers* π. Ἀντώνιε Thdr.Stud.*cant.* 18.1(p.377).

***πατροποιέω**, *make father by adoption*, ‡Chrys.*caec.Zacch.*4(8. 126C).

***πατροπρεπής**, *suitable for a father* εἰπὲ αὐτῷ πατροπρεπεῖ διαλέξει Thdr.Stud.*epp.*2.160(M.99.1500C).

***πατροπροβλήτως**, *as sent forth from the Father*; of H. Ghost, Jo. D.*carm.pent.*73(p.215; πατριπ- M.96.836C).

***πατροσθενής**, *having the power of the Father*, Jo.D.*carm.pent.*60 (p.215, conj. for πατρόθεν M.96.836B).

πατροσύνη, ἡ, v. ***πατρωσύνη**.

***πατρότης**, ἡ, *fatherhood*; **1.** in gen. ὁ φύσει πατὴρ ὁρίζει τοὔνομα [sc. υἱόν] τοῖς τῆς π. ... ἑπομένοις νόμοις Cyr.*inc.unigen.*(5[1].699E); υἱοθεσίαι τε καὶ π. τοῖς αὐτοῖς ὑποκειμένοις...ἐμφέρονται Leont.H. *Nest.*2.1(M.86.1536C); ὁ Πλάτων φησὶν ὅτι π. ἐστὶ προϋπαρξις υἱότητος, ἡ δὲ ἐκκλησία...συνάναρχον λέγει τὸν υἱὸν τῷ πατρί Anast.S.*hod.*1(M. 89.49D); **2.** as complimentary title of bishops, *Ep.*ap.CSyr.(*ACO* 3 p.97.21; H.2.1373A); and of abbots, Thdr.Stud.*epp.*1.26(M.99. 992B); *ib.*2.16(1165A); **3.** theol. τῇ...ἀιδιότητι συμπαρεκτεινομένην ἔχει τὴν...π. Bas.*Eun.*2.12(1.247B; M.29.593B); κοινὴ μὲν ἡ θεότης· ἰδιώματα δέ τινα π. καὶ υἱότης *ib.*2.28(265C; M.637B); τῆς οὐσίας λόγος κοινός...ἡ δὲ ὑπόστασις ἐν τῷ ἰδιώματι τῆς π. id.*ep.*214.4(3.322E; M. 32.789B); αἱ περὶ τοῦ θεοῦ ὑπολήψεις...ἡ π., ἡ ἀγεννησία Gr.Nyss. *Eun.*1(1 p.187.16; M.45.432D); ὁμοούσιον ὄντα τὸν πατέρα τῷ υἱῷ, οὐκ εἰς τὸν τῆς υἱότητος τόπον...καταφέρει λόγος, οὔτε μὴν ἀνατίθησι τὸν υἱὸν εἰς τὴν τῆς π. θέσιν Cyr.*Jo.*1.4(4.35C); ἀπὸ γὰρ τῆς υἱότητος ἡ π. νοεῖται· καὶ τὸ ἀντίστροφον id.*thes.*7(5[1].59B); πάντα εἶχεν ὅσα ὁ πατήρ, πλὴν αὐτῆς τῆς π. Thdt.*Trin.*16(M.75.1173B); ἓν γὰρ θεὸν... ἐν μόναις δὲ ταῖς ἰδιότησι τῆς τε π. καὶ τῆς υἱότητος ‡Cyr.*Trin.*10(6[3]. 15D; M.77.1144A); Dion.Ar.*d.n.*2.8(M.3.645C); Max.*schol.myst.*3(M. 4.424D); υἱῷ...ἴσῳ τῷ πατρὶ χωρὶς τῆς π. ‡Ath.*Lat.*1(M.28.825C); of God's fatherhood towards man οὐκ ἀρχὴ μόνον ἐστίν, ἀλλὰ καὶ π. Chrys.*hom.15.4 in 2Cor.*(10.549E); exeg. Eph.3:15 τὸ τῆς...π. ὄνομα οὐκ ἐξ ἡμῶν κυρίως ἔχει θεός, ἀλλ' ἡμεῖς μᾶλλον ἐξ αὐτοῦ λαβόντες ὁρώμεθα. ... πῶς δ' ἂν...τὸ τῆς...π. ὄνομα καὶ εἰς τοὺς ἄλλους ἐκβῆναι παρὰ θεοῦ δοίη τις ἄν, εἴ γε ὄντως οὐκ ἔστι πατήρ; Cyr.*Jo.*1.3(4.24B).

***πατροτροφέω**, *provide for parents*, Phot.*nomoc.*11.15(p.599; M. 104.1156C).

***πατροφαής**, *deriving light from the Father*, Gr.Naz.*carm.*2.1.38. 5(M.37.1325A).

***πατροφεγγής**, *with the Father's splendour*, Geo.Pis.*hex.*1783(M. 92.1572A).

***πατροφονία**, ἡ, *parricide*, *Hom.Clem.*6.18; Bas.*hom.*12.8(2.104D; M.31.401D).

πάτρων, ὁ, (Lat. *patronus*) *patron*, Thphl.Ant.*Autol.*3.27(M.6. 1161C); Nil.ap.Jo.D.*parall.*5(M.95.1429D); of martyred apostles as patron saints, *A.Petr.et Paul.*85(p.219.12).

πατρωνεύ-ω, *be a patron, further* someone's *interests* ἑαυτῷ ~εις Ephr.3.168C.

πατρωνυμία, ἡ, *name from one's father, patronymic* ὡς γὰρ ἔοικε, π. ἦν τοῦ λῃστοῦ ὁ Βαραββᾶς, ὅπερ ἑρμηνεύεται διδασκάλου υἱός Or. *schol.in Mt.*27:12ff.(M.17.308A).

***πατρωνυμικῶς**, *after one's father's name* (Valent.) τελειότατον κάλλος...τοῦ πληρώματος...τὸν Ἰησοῦν ὃν καὶ σωτῆρα προσαγορευθῆναι καὶ Χριστὸν καὶ λόγον π. Iren.*haer.*1.2.6(M.7.465A); σοφίαν τε π. (ὁ γὰρ πατὴρ αὐτῆς σοφία κληΐζεται) καὶ πνεῦμα ἅγιον *ib.*1.4.1(480B); Ἰησοῦν...π. καλεῖσθαι φῶς διὰ τὸ ἄνω φῶς Epiph.*haer.*31.4(p.389.1; M.41.480B).

πατρῷος, **1.** *of* God *the Father* εἰς τὴν π. ἀποθήκην σωρευθῶμεν Clem.*paed.*1.9(p.139.9; M.8.349C); φιλαργύρους...τῆς π. ἐξέβαλεν αὐλῆς ὁ κύριος *ib.*3.11(p.280.1; 657A); π. νουθεσίας id.*str.*7.16(p.72. 13; M.9.541B); π. κληρονομίαν Or.*Jo.*6.45(26; p.155.2; M.14.280B); πνεῦμα...ἀπὸ τῶν π. ἀνωθεν...καταπνεόμενον θησαυρῶν Meth.*symp.* 7.1(p.71.4; M.18.121C); theol., of Father in rel. to Son ὁ π. λόγος Clem.*fr.*23(p.202.20; M.103.383A); Eus.*e.th.*3.2(p.143.20; M.24.980A); μόνου τοῖς π. κόλποις ἀναπανομένου *Symb.Ant.*(345)9(p.253.39; M.26. 733A); ἐν γὰρ τῇ π. θεότητί ἐστι...ὁ υἱός Ath.*Ar.*3.6(M.26.332C); δηλοῖ μετὰ τοῦ π. ὀνόματος καὶ τὸν γεγεννημένον Didym.(‡Bas.)*Eun.*5 (1.311A; M.29.745B); **2.** *of a* spiritual *father*; a monastic superior, Nil.*Eulog.*16(M.79.1113B); a patriarch, Sophr.H.*ep.syn.*(M.87.3196B).

***πατρωσύνη** (**πατροσύνη**), ἡ, *fatherhood*; of bishop's office εὐφρανθῶμεν ἐπὶ σῇ π. Jo.Disc.*v.Epiph.*34(M.41.68D); as complimentary title ἱκετεύω τὴν σὴν π. *ib.*46(84A); *ib.*62(104D); of office of monastic superior θίγε...τὸ οὖς σου τοῖς τῆς πατροσύνης λόγοις Nil. *Eulog.*15(M.79.1113A); *ib.*28(1129C); as complimentary title, Thdr. Stud.*epp.*1.39(M.99.1048D); of others regarded as fathers in God τοῖς ἁγίοις μου πατράσι καὶ ὁμολογηταῖς...συγχαίρων ὑμῖν τῇ π. *ib.*2. 83(1325A).

***Παυλιανίζω**, *be a follower of Paul of Samosata*; such to be baptized on submission to the Church, CNic.(325)*can.*19; Steph.Hier. *agn.*(p.156.17) cit. s. *Νεστοριανίζω*; Leont.B.*Apoll.*(M.86.1949B); Thdr.Stud.*epp.*2.169(M.99.1533C).

***Παυλιανικός**, *of Paul of Samosata*, Apoll.*ep.Dion.*4(p.258.10; M.*PL*.8.931A).

***Παυλιανιστής**, ὁ, *follower of Paul of Samosata* Π.· οἱ ἀπὸ Παύλου Σαμωσατέως· ταπεινὰ καὶ χαμαιπετῆ περὶ τοῦ Χριστοῦ φρονήσαντες, ὡς κοινοῦ τὴν φύσιν ἀνθρώπου γενομένου, καὶ τὴν ἀρχὴν ἀπὸ Μαρίας ἐσχηκότος Tim.CP *haer.*(M.86.24C); *ib.*(41B).

***Παυλιανός**, ὁ, **1.** *follower of Paul of Samosata*, Const.ap.Eus.*v.C.* 3.64(p.111.18; M.20.1140B); Eus.*e.th.*1.20(p.88.8; M.24.877C); πάντες ἅμα ἐκκλησίαζον καὶ ἐκοινώνουν, πλὴν Ναυατιανῶν...Οὐαλεντιανῶν τε καὶ Μαρκιωνιστῶν καὶ Π. Soz.*h.e.*2.32.1(M.67.1025C); **2.** '*Paulian*', i.e. follower of S. Paul, word coined by Gr. Naz. to parallel *Χριστιανός*, Gr.Naz.*or.*37.17(M.36.301C).

***Παυλικιανός, ὁ,** *member of Paulician sect,* derived from Paul and John of Samosata (cf. Euthymius Zigabenus *panoplia* 24(M.130.1189cff.)); holding a form of Manichean doctrine, ‡Jo.D.*ep. Thphl.*22(M.95.373B); flourishing in Thrace as result of settlement there by Const. Copronymus of Syrians and Armenians, Thphn. *chron.*p.360(M.108.865A); *Μανιχαίων, τῶν νῦν Π. καλουμένων ib.*p.413 (980D); *ib.*p.420(996A); measures taken for their suppression in Asia Minor by emperor Michael, *ib.*p.419(993B).

***Παῦλος,** *Paul,* ref. fanciful etymology of name *Σαῦλος...ἐσάλευε ...τὴν ἐκκλησίαν, Π. δέ τοι πέπαυται τοῦ διώκειν* Euthal.Diac.*epp. Paul.*proem.(M.85.697B).

***παῦνι,** Coptic month corresponding to June, *A.Barn.*24(p.301.15n.); Cyr.*ep.*23(p.67.10; 5^2.85C).

[*]παυράκι, *rarely, occasionally,* Gr.Naz.*carm.*1.2.1.709(M.37.576A).

***παῦσα, ἡ,** *cessation,* Plato *Phaedr.*245C ap.Gr.Nyss.*Eun.*9(M.45.813C; v.l. for *παῦλαν* 2 p.215.16); Gr.Nyss.*v.Mos.*(M.44.325C; prob. for *παῦλαν* or *παῦσιν*).

παυσίκακος, *ending evil,* Sophr.H.*mir.Cyr.et Jo.*15(M.87.3469B); ‡Gr.Naz.*Chr.pat.*2262(M.38.314A).

***παυσιμέριμνος,** *ending care,* an 'aeon' in Hesiod's cosmology as compared with Valent. system, Epiph.*haer.*31.3(p.387.6; M.41.477C).

παῦσις, ἡ, *cessation,* ref. Arian exegesis of 1Cor.15:24 *φασι, παύσεως καὶ καταλύσεως τοῦ βασιλεύοντός ἐστι ταῦτα δηλωτικά* Epiph. *haer.*69.74(p.222.8; M.42.321C).

παυσώδυνος, *ending pain,* Sophr.H.*mir.Cyr.et Jo.*26(M.87.3497A).

παχνήεις, *frosty,* Nonn.*par.Jo.*10:22(M.43.836B).

πάχος, τό, *grossness, materiality, unspirituality σώματος ὑλικοῦ καὶ δεσμίου νοῦ π.* Gr.Naz.*or.*45.11(M.36.637B); *νοῦ πρὸς ὕψος ἐκ π. ἐκδημίαις* id.*carm.*2.1.12.579(M.37.1208A); *ὅπερ...ἐν Ἀδὰμ ὡς ἐν π. πραγμάτων...ὁρᾶται συμβεβηκός, τοῦτο καὶ ἐν ἑκάστῳ τῶν καθ' ἡμᾶς νοητῶς...κατίδοι τις ἂν πληρούμενον* Cyr.*ador.*1(1.10D); *τυπικῶς...καὶ ὡς ἐν π. λατρείας Ἰουδαϊκῆς* id.*Juln.*10(6^2.357B); ref. lit. sense of scripture *τῆς ἱστορίας τὸ π.* id.*ador.*5(1.157C); id.*Ps.*35:6(M.69.917B).

παχόω, *freeze stiff,* Nil.*praest.*24(M.79.1089A).

***παχυβάτωρ,** *thick-flowing, sluggish, Chron.Pasch.*p.30(M.92.129A).

παχυκάρδιος, *dull in understanding, dense,* Ast.Am.*hom.*7(M.40.257C).

παχυμέρεια, ἡ, *density, coarseness,* hence *grossness τί γὰρ κοινὸν τῇ ἀύλῳ τῆς ψυχῆς φύσει πρὸς τὴν ὑλικὴν π.;* Gr.Nyss.*hom.*9 *in Cant.* (M.44.965B); id.*anim.et res.*(M.46.28C).

παχυμερής, **1.** *gross τὸ λεπτομερέστερον, ἡ ψυχή, οὐκ ἄν ποτε πρὸς τοῦ παχυμερεστέρου ὕδατος* [i.e. of Flood] *πάθοι τι δεινόν. ... δ δ' ἂν π. ἐκ τῆς ἁμαρτίας πεπαχυμμένον τύχῃ, τοῦτο ἀπορρίπτεται σὺν τῷ σαρκικῷ πνεύματι* Clem.*str.*6.6(p.458.7; M.9.273C); **2.** *unspiritual, material, earthly τὸν νόμον...π. σῶμα λαβὼν λεπτύνει διὰ τῆς θεωρίας* Gr.Nyss.*hom.*7 *in Cant.*(M.44.925D); Leont.H.*Nest.*7.5(M.86.1768^{d}A); **3.** *bodily,* of Inc. *τῇ δὲ θεότητι συνηνωμένος τὸ π. λεπτομερὲς ἐτελείου* Epiph.*haer.*77.29(p.441.28; M.42.684B); *εἰσῆλθε... θυρῶν κεκλεισμένων ἵνα δείξῃ τὸ π. λεπτομερές* id.*anc.*91(p.112.11; M.43.184C); **4.** *rough, cursory,* of bipartite opp. tripartite division of man *κατὰ τὴν παχυμερεστέραν...τομήν* Gr.Nyss.*Apoll.*35(M.45.1200C).

παχυμερῶς, **1.** *crassly, unspiritually*; of lit. exegesis, Gennad.*fr. Gen.*49:11(M.85.1660B); **2.** *dull-wittedly, without understanding,* Socr. *h.e.*5.24.2(M.67.648C).

παχύνους, *dull-witted, weak-minded,* Didym.*Trin.*1.15(M.39.316A); Cyr.*ador.*1(1.7A).

παχύν-ω, *make thick* or *gross*; theol., *make corporeal,* pass., ref. Inc. *ὁ τοῦ θεοῦ λόγος, μένων θεός..., ~εται* Sophr.H.*or.*2.15(M.87.3233C); Jo.D.*carm.theog.*29(p.206; M.96.820C).

παχύς, **1.** *earthly, of this world,* opp. spiritual *παχυτέρᾳ κέχρηται τῇ λέξει* Chrys.*scand.*4(3.472B); *ib.*6(475B); id.*hom.*25.2 *in Jo.*(8.145A); *ib.*39.2(228C); *οὐχ ὁρατὸς ἢ π. ὁ πόλεμος* Cyr.*ador.*11(1.389D); *ἀναγκαῖα πρὸς θεωρίαν...πνευματικὴν...λέγωμεν, τὸ τῆς ἱστορίας ὑποτρέχοντες π. ib.*12(414B); *ib.*16(562A); of the five loaves as symbol of the *παχυτέρα τῆς πεντατεύχου διδασκαλία* Ammon.*Jo.*6:13(M.85.1433A); *τύπος π.* [sc. of angels] *τὰ καθ' ἡμᾶς* Max.*schol.c.h.*15.3(M.4.105C); **2.** *carnal σάρκα τοὺς παχυτέρους...ἀνθρώπους λέγει* Thdt.*Ps.*55:5(1.973); *παχυτέρους καὶ σαρκικούς* id.*Dan.*7:11(2.1200); **3.** *dense, insensitive π. ποιεῖ* [sc. *γαστριμαργία*] *διάνοιαν* Chrys.*hom.*45.1 *in Jo.* (8.261D); *τὰ σημεῖα γὰρ...τοῖς ἀπίστοις καὶ παχυτέροις ib.*35.2(8.205A).

παχύσαρκος, *gross, materialistic, cat.Apoc.*8:2(p.298.27).

παχύτης, ἡ, **1.** *grossness, materiality τῆς καθαρωτέρας...χώρας... ἔνθα μὴ φθάνουσιν αἱ ἀπὸ τῆς γῆς...παχύτητες* Or.*Cels.*3.35(p.232.2; M.11.965A); *τὴν ἀπερίγραφον...ἐξουσίαν...μὴ περικλείεσθαι...παχύτητι σώματος* Mac.Mgn.*apocr.*3.14(p.90.15); Chrys.*hom.*25.2 *in Jo.* (8.145A); *θεϊκῶς συναπτόμεθα, καὶ τρόπον ἄλλον ἢ ὃν αἱ π.* Gr.Naz. *or.*34.6(M.36.245C); ref. Christ at parousia *οὐκ ἔτι μὲν σάρκα, οὐκ ἀσώματον δέ,...θεοειδεστέρου σώματος, ἵνα καὶ ὀφθῇ...καὶ μείνῃ θεὸς ἔξω παχύτητος ib.*40.45(424C); ‡Thdt.*nativ.Jo.Bapt.*(5.90); **2.** *dullness, insensibility,* Thdt.*Heb.*12:25(3.631); opp. spirituality *τὴν ἐκ τοῦ γράμματος π.* Cyr.*Mich.*70(3.470C); Diad.*perf.*16(p.18.24) cit. s. *γεώδης*; **3.** *earthliness ὁ...δεσπότης τοσαύτῃ π. λέξεως ἐχρήσατο πρὸς ὠφέλειαν τῶν ἡμετέρων ψυχῶν* Chrys.*hom.*42.4 *in Gen.*(4.428C).

***πάχωμα, τό,** disease of the eye producing a thick film, *Exorc.* 15(p.338).

***παχών,** Coptic month corresponding to May, Epiph.*mens.*20 (M.43.272A); acc. some the month of Christ's birth *ἔτους κη' Αὐγούστου ἐν πέμπτῃ π. καὶ εἰκάδι* Clem.*str.*1.21(p.90.20; M.8.885A).

***πεδατοῦρα, ἡ,** (Lat. *pedatura*) *space measured in feet,* hence *station* of troops on guard *τοὺς τῆς π. στρατιώτας* Jo.Mal.*chron.*14 p.351(M.97.524B).

πεδάω, **1.** *bind with fetters,* met., *ἐσωφρονίσθη πεδηθεῖσα ἡ κακία* Tit.Bost.*Man.*1.25(M.18.1104A); *ταῖς τοῦ κόσμου πεπεδημένος ἐπιθυμίαις* Chrys.*sac.*1.1(p.3.10; 1.363A); **2.** perf. ptcpl. pass., *crippled, paralysed,* Thdt.*h.e.*1.7.5(3.755).

***πέδησις, ἡ,** *fettering, restriction,* Ephr.Chers.*mir.Clem.*16(M.2.644B).

[*]πεδιάσιμος, *consisting in plains,* Bas.*hom.*5.6(2.40B; M.31.253B); Pamph.Mon.*Soter.*3(p.118.12).

πέδιλον, τό, plur., *sandals*; *boots,* Epiph.*haer.*59.11(p.376.14; M.41.1033C *πέδια*) cit. s. *ὀδώνιον.*

πεδοσκαφής, *dug in the earth,* Nonn.*par.Jo.*4:6(M.43.773B).

πεδοστιβής, *trodden under foot,* Gr.Naz.*carm.*1.2.8.136(M.37.659A).

***πεδοτρεφής,** *fed from the earth,* Nonn.*par.Jo.*4:12(M.43.776B).

***πεδουκλόω,** *fetter,* Barth.Edess.*Agar.*(M.104.1424B).

***πεδ-όω,** *fetter οἷα ἀνθρώπου ψυχὴ τῷ σώματι ~ούμενος* Eus.*d.e.*7.1 (p.302.9; M. om.).

πέζα, ἡ, *region,* Nonn.*par.Jo.*3:14(M.43.768C); *ib.*4:4(773B); *ib.* 12:1(840B).

***πεζαίτεροι, οἱ,** v. *πεζέταιροι.*

***πεζέρως, ὁ,** *carbuncle τὸν π. λίθον, αὐτὸν γὰρ καλεῖ ἄνθρακα* Cosm.Ind.*top.*11(M.88.452B).

πεζέταιροι, οἱ, *foot-guards,* Thdt.*h.e.*3.15.4 (v.l. *πεζαίτεροι* 3.930); id.*qu.*40 *in 2Reg.* (*πεζαιτέρων* 1.443); id.*Dan.*4:9 (*πεζαιτέροις* 2.1144).

πεζεύ-ω, **1.** *go on foot upon κύματα ~σει Orac.Sib.*6.13; Mac.Mgn. *apocr.*2.8(p.9.21); **2.** *dismount ἐκυνήγησεν...πρόβατον, καὶ ἐπέζευσεν τοῦ σφάξαι αὐτό* Barth.Edess.*Agar.*(M.104.1425C); **3.** *make pedestrian ~έ μοι τὴν λέξιν, ἀγροικοστόμει* Gr.Naz.*carm.*2.1.12.295(M.37.1187A); **4.** *make passable on foot ἔσχισε τὴν θάλασσαν καὶ ἐπέζευσε τῷ λαῷ αὐτοῦ* Barth.Edess.*Agar.*(M.104.1444D).

***πεζινός,** *on foot,* Jo.Mal.*chron.*18 p.464(M.97.677C).

πεζοβατέω, *go on foot, A.Thom.*A 137(p.243.21n.).

πεζοπορέω, *go on foot*; *walk,* fig., Nil.*epp.*1.331(M.79.201C).

πεζοπορία, ἡ, *travelling on foot ἡ ἐπὶ γῆς τοῦ Χριστοῦ διατριβὴ ἐν πτωχείᾳ καὶ π. γέγονεν* Anast.S.*hod.*13(M.89.237C); †Jo.D.*B.J.*25(M.96.1089B); of the walking on the water, Ath.*v.Anton.*75(M.26.949A).

[*]πειθανολογία, ἡ, v. *πιθ-.*

[*]πειθανός, = *πιθανός, persuasive,* †Thdt.*Pss.proem.*(5.74).

[*]πειθανότης, ἡ, *persuasiveness,* Didym.*Trin.*3.11(M.39.860B).

[*]πειθανουργία, ἡ, *plausible argumentation,* Didym.*Trin.*2.6(M.39.516C); *ib.*2.7(585A).

[*]πειθανῶς, = *πιθανῶς, persuasively,* Gr.Naz.*carm.*1.1.10.29(M.37.467A).

πειθαρχ-έω, *obey πάντας...~εῖν τῷ λόγῳ τῆς δικαιοσύνης* Polyc.*ep.* 9.1; *θεὸς...ᾧ ~εῖ σελήνη Diogn.*7.2; *~εῖν ταῖς ἐντολαῖς* Meth.*symp.* 10.4(p.126.11; M.18.200A); Eus.*h.e.*6.34(M.20.596A); CNic.(325)*can.* 18; *~εῖν...τῷ ψευδεῖ* Ephr.3.142A.

***πειθάρχημα, τό,** *act of obedience,* ‡Chrys.*hom.*13(13.254B).

πειθήνιος, **1.** *persuasive οὗς ὁ λόγος ὁ π. οὐκ ἰᾶται, ἀπειλὴ ἰάσεται* Clem.*paed.*1.7(p.126.6; M.8.324A); *Hom.Clem.*12.12; **2.** *obedient,* in gen. *π. οἱ ἀρχόμενοι τοῖς ἄρχουσιν* Clem.*str.*1.25(p.103.23; M.8.913A); *τὸν ταῖς ἐντολαῖς π. ib.*2.16(p.151.19; 1012B); *κρείττονι γνώμῃ π.* Eus.*v.C.*1.44(p.28.27; M.20.960A); *πόλις...π. ἑαυτὴν...παρέσχηκεν* Constantius ap.Ath.*apol.Const.*30(M.25.632D); Chrys.*hom.*34.1 *in*

Heb.(12.312C); to God ψυχὰς π. πάρεσχον τῷ θεῷ *A.Thom.*A 59 (p.175.19); †Apoll.*met.Ps.*50 tit.(M.33.1381D); Nonn.*par.Jo.*3:1(M. 43.765B); Nil.*epp.*3.33(M.79.400D); Cyr.*Ps.*49:4(M.69.1077D); abs. ἐκ μεταβολῆς π., ἀλλ' οὐκ ἐκ φύσεως τὴν σωτηρίαν Clem.*str.*2.20(p.175. 22; M.8.1060A); Chrys.*hom.15.2 in Ac.*(9.121A); Cyr.*Jo.*5.2(4.486B); neut. as subst., Chrys.*hom.54.3 in Jo.*(8.319E); Cyr.*Jo.*4.1(4.335C).

πειθηνίως, *obediently,* Clem.*str.*7.7(p.32.12; M.9.460A); Chrys. *hom.84.1 in Mt.*(7.798A).

***πειθικός,** *persuasive,* Thphn.*chron.*p.166(v.l. ἠθικῷ M.108.444B).

πείθ-ω, A. trans., *persuade*; ref. God sending Son to earth ὡς βασιλεὺς πέμπων υἱὸν βασιλέα ἔπεμψεν...ὡς ~ων, οὐ βιαζόμενος *Diogn.*7.4; of prevailing over, persuading, God in prayer ἔχων γὰρ τὴν ἐκ τῆς καθαρᾶς βιοτῆς παρρησίαν ῥᾷστα πείσεις τὸν εὐεργετεῖν ἐπειγόμενον Thdt.*ep.*143(4.1239); id.*Jer.*15:1(2.488); opp. ἀναγκάζω, Ath.*h.Ar.*67(p.220.1; M.25.773A).

B. intrans.; **1.** *trust* πεποιθότες ἐπὶ τὸ ὁσιώτατον τῆς μεγαλωσύνης αὐτοῦ ὄνομα *1Clem.*58.1; ἡ περιτομὴ ἐφ' ᾗ πεποίθασιν *Barn.*9.4; Just. *dial.*8.2(M.6.492D); πεποιθότα ἐπὶ κύριον Clem.*str.*7.11(p.48.21; M.9. 493B); τὸ ἐπὶ τῇ ἀληθείᾳ πεποιθέναι *ib.*7.16(p.74.7; 545A); Const.ap. Eus.*v.C.*4.12(p.122.26; M.20.1161A); **2.** *be convinced* π. περὶ τῆς σωφροσύνης σου *T.Jos.*4.2; π. ὅτι...οὐκ...ἔδραμον Polyc.*ep.*9.2; πιστεύοντες, μᾶλλον δὲ καὶ πεπεισμένοι Just.*1apol.*17.4(M.6.353D); πειοθῆναί τε καὶ πιστεῦσαι ὅτι ἀληθῆ ταῦτά ἐστι *ib.*18.2(356A); Clem. *str.*4.22(p.312.29; M.8.1356B); Chrys.*ep.Aeg.Lib.*23(M.25.592D); **3.** *be resolved* ὁ ὑπακούειν ταῖς ἐντολαῖς πεπεισμένος Clem.*str.*2.2(p.116.19; M.8.937B); ὁ τεύξεσθαι πεπεισμένος τῶν ὄντως ἀγαθῶν *ib.*6.9(p.470.6; M.9.297B); **4.** abs., *be a believer, be converted,* Clem.*ecl.*36(p.148.3; M.9.717A); Philost.*h.e.*2.5(M.65.469A); **5.** *obey* ~όμενος τῷ Ἰησοῦ Or. *hom.16.4 in Jer.*(p.136.4; M.13 om.); Meth.*symp.*10.4(p.126.14; M. 18.200A om.); Jo.D.*f.o.*1.5(M.94.800C).

πειθώ, ἡ, 1. *persuasiveness, persuasion*; hence *conviction, assurance* π. καὶ πίστιν...ἐμφορῆσαι Just.*1apol.*53.12(M.6.408B); ἀπὸ τῶν...θεοσεβῶν τὴν π. ἔχομεν id.*dial.*53.6(M.6.593C); Clem.*prot.*10 (p.70.16; M.8.209B); π. δὲ ἡ βεβαίωσις τῆς πίστεως id.*str.*1.11(p.34.2; M.8.749B); Meth.*res.*1.33(p.270.3; M.41.1145A); **2.** *obedience* ἔνθεον πρὸς τὴν διδασκαλίαν π. Clem.*str.*4.4(p.254.14; M.8.1228A); Or.*princ.* 3.1.11(p.212.6; M.11.268A); τὴν πρὸς τὸν ὄφιν π. Meth.*res.*1.29(p.260. 11; M.41.1137C).

***πειναλέως,** *hungrily,* Nil.*epp.*4.51(M.79.573C).

πειν-άω, 1. lit., *hunger (for),* Christol. ἐπείνασε διὰ τὸ ἴδιον τοῦ σώματος Ath.*inc.*21.7(M.25.133C); Leo Mag.*ep.*28(p.15.18; M.*PL.*54. 768); **2.** met. τοὺς ~ῶντας τὸν λόγον Clem.*paed.*1.6(p.118.17; M.8. 305C).

πεῖρα, ἡ, 1. *attempt* π. προσαγαγόντες τῇ γυναικί Or.*Jo.*28.5(p.394. 27; M.14.688D); κἂν τις δι' ἔργων ταύτης [sc. εὐεργεσίας] τυχεῖν πειρασθείη, εἰς μάτην ἔσται ἡ π. Gennad.*fr.Rom.*11:6(M.85.1716C); **2.** *enterprise*; of an athletic contest, met. θεοῦ ζῶντος πεῖραν ἀθλοῦμεν *2Clem.*20.2; **3.** *trial, test,* Just.*dial.*132.2(M.6.784A); π. ὑμῶν ἐποιούμην πῶς διάκεισθε ἤδη τὴν γνώμην *ib.*137.3(792B); βίβλους μηδενὶ...μεταδοῦναι...πρὸ πείρας *Clem.ep.Petr.*1(M.2.25A); of candidates for monastic life χρόνῳ καὶ...ἀγωνίσμασι π. τῆς κρίσεως αὐτῶν λαμβάνοντας...ὥστε ἀζήμιον τὴν π. τῇ ἀδελφότητι γίνεσθαι Bas.*reg. fus.*10.2(2.352E; M.31.945B); of Christ's temptations, Gr.Naz.*or.*40. 30(M.36.401B); **4.** *experience* ἡ πίστις εἰσάξει, ἡ π. διδάξει Clem.*prot.* 9(p.65.20; M.8.200B); ἐκ τῆς π. ἑαυτὸν ἐπανορθούμενος id.*fr.*(p.228. 2); τοῦ δυνατοῦ τὴν π. λαβόντες *Hom.Clem.*7.11; πάντες ἀπέθανον, εἰ καὶ μὴ τῇ π., ἀλλὰ τῇ ἀποφάσει Chrys.*comm.in Gal.*2:20(10.693C); εἰ καὶ μὴ ἔσφαξαν τῇ π., ἀλλ' ἔσφαξαν τῇ γνώμῃ id.*dimiss.Chan.*1(3. 433D); π. ἔχων αὐτοῦ Jo.Mosch.*prat.*83(M.87.2940C); ref. Inc. μιᾶς γὰρ οὔσης τῆς κατὰ θεὸν ζωῆς καὶ θατέρας τῆς κατὰ ἄνθρωπον... ἀμφοτέρων εἰκότως ὁ κύριος διὰ πείρας ἐλθών, ἐν μέσῳ δύο ζωῶν γνωσθῆναι λέγεται Eus.*d.e.*6.15(p.270.11; M.22.444D); ἑκατέρων π. ἔσχε Eust.*fr.in Ps.*15(p.68; M.18.685D); τίς ὁ πείρᾳ μαθὼν τὴν ὑπακοὴν καὶ ταύτην ἀγνοῶν πρὸ τῆς π.; οὐχ ὁ λόγος ὁ ἀθάνατος ὁ ἀπαθὴς...ἀλλὰ τὸ ἐκ σπέρματος Δαυὶδ ληφθὲν ὑπ' αὐτοῦ...ἐν π. δὲ γέγονε τῶν ἡμετέρων παθημάτων...ἡ ἐξ ἡμῶν...ληφθεῖσα φύσις Thdt. ap.Cyr.*apol.Thdt.*10(p.136.22; 6[1].230E); τῇ π. ... μεμαθηκὼς τῆς ἀνθρωπείας φύσεως τὴν ἀσθένειαν...οὔτε ὡς θεὸς διὰ τῆς π. μεμάθηκε τὰ ἡμέτερα id.*Heb.*2:18(3.561); οὐ μόνον ὡς θεὸς οἶδε τῆς ἡμετέρας φύσεως τὴν ἀσθένειαν, ἀλλὰ καὶ ὡς ἄνθρωπος π. τῶν ἡμετέρων ἔλαβε παθημάτων *ib.*4:15(571).

πειράζ-ω, 1. *test, put to trial*; **a.** of God δεῖ σε...θλιβῆναι· οὕτω γὰρ προσέταξεν ὁ ἔνδοξος ἄγγελος τὰ περὶ σοῦ· θέλει γάρ σε πειρασθῆναι Herm.*sim.*7.1; ~ει σε ὁ κύριος ἐκλέξασθαι τὴν ζωήν Clem.*prot.*10 (p.69.26; M.8.208C); εὐλογήσει ~όμενος ὡς ὁ γενναῖος Ἰώβ id.*str.*2. 20(p.170.6; M.8.1048C); Or.*or.*29(p.382.24; M.11.532C); contrasted with tempting by Devil, ‡Dion.Al.*fr.Lc.22*:46(p.247.19; M.10. 1596A); ἀπείη πιστεύειν, ὅτι...~ει ὡς ἀγνοῶν, καὶ τίς προγινώσκει; *Hom.Clem.*2.43; οὐ γὰρ ἂν ὁ τὰ πάντα γινώσκων...ἐπείρασεν, ἵνα γνῷ αὐτὸς ὁ τὰ πάντα προγινώσκων *ib.*16.13; ref. Gen.22:1 ἐπείρασεν· οὐχ ὡς αὐτὸς ἀγνοῶν, ἀλλὰ προσῆγεν αὐτῷ τὴν πεῖραν, ἵνα καὶ οἱ τότε παρόντες...παιδεύωνται...τὴν ὑπακοὴν ἐπιδείκνυσθαι Chrys.*hom.47.1 in Gen.*(4.474A); Thdt.*qu.73 in Gen.*(1.85); **b.** of Devil, ref. temptations of Christ ἐπείρασεν αὐτόν, ἵνα γνῷ...καὶ ἀπέστη ἀπ' αὐτοῦ εἰς καιρόν, τουτέστιν ἀνεβάλλετο τὴν εὕρεσιν εἰς τὴν ἀνάστασιν. ἔδει γὰρ τοῦτον εἶναι τὸν κύριον τὸν ἀναστησόμενον Clem.*ecl.*53(p.152.2; M.9. 721D); **c.** of men tempting God, Meth.*lepr.*10(p.464.12); Chrys. *hom.13.3 in Mt.*(7.171C); Cyr.*Jo.*2.1(4.141C); ref. temptations of Christ, Iren.*haer.*5.22.2(M.7.1183C); οὐχ ὁ σωτήρ γε ἐπείρασεν· εὖ γὰρ ἤδει...περὶ τῆς τοῦ πατρὸς δυνάμεως τῆς συνεργούσης αὐτῷ Eus.*Ps.* 90:10–12(M.23.1161C); **2.** *tempt, seduce* to evil; **a.** of Christ's temptations, Just.*dial.*125.4(M.6.768A); as recapitulation of temptation of Adam, Iren.*haer.*5.21.2(M.7.1180A–1181B); cf. *quadraginta diebus tentatur..., et quae fuerint tentamenta, nescimus; quae ideo forsitan praetermissa sunt, quia majora erant, quam ut litteris crederentur...* πάντα πειρασμόν, ὃν ἤμελλον οἱ ἄνθρωποι ~εσθαι, πρῶτον ἐπειράσθη κατὰ τὸ ἀνθρώπινον ὁ σωτήρ...ἄνθρωπός ἐστι ~όμενος...ἐπειδὴ γὰρ Ἰωάννης ἀπὸ θεοῦ ἥρξατο, οὐκ ἐγενεαλόγησεν αὐτὸν ὡς θεόν...διὰ τοῦτο, ἐπειδὴ θεός, οὐκ ἐπειράζετο· οἱ δὲ ἄλλοι, ὡς τὰ ἀνθρώπινα διηγούμενοι τοῦ σωτῆρος, εἰσάγουσιν αὐτὸν καὶ ~όμενον Or.*hom.29 in Lc.*(pp.178.15–181.14; M.13.1874D–1876B); as example in human temptations, *ib.*(p.181.26; 1876C); Eus.*Ps.*90:9(M.23.1153Aff.); purpose discussed: to demonstrate completeness of Christ's power over demons and Devil and to compel their recognition of himself (Mt.8:29), id.*d.e.*9.7(p.419.9; M.22.676B); to demonstrate his humanity, cf.Hegem.*Arch.*60(p.88.27; M.10.1516A); give example to newly baptized Christians when tempted, Chrys.*hom.13.1 in Mt.* (7.168Aff.); show his sympathy with human sinners, id.*hom.5.2 in Heb.*(12.53B); τὸ δέ, πειρασθεὶς δύναται βοηθεῖν, ταπεινὸν σφόδρα, πλὴν οὐκ ἔξω τῶν τῆς ἑνώσεως μέτρων...ἑαυτὸν...ὡς ἄμωμον ἱερεῖον προσεκόμισε τῷ πατρί, ἵνα διὰ τῆς ἑαυτοῦ σαρκὸς βοηθήσῃ τοῖς... ~ομένοις Cyr.*Heb.*2:18(M.74.968D); reality dependent on fact of Inc., id.*inc.unigen.*(5[1].681C); **b.** in gen., Clem.*str.*4.5(p.257.2; M.8. 1232C); ~ει γὰρ ὁ διάβολος εἰδὼς μὲν ὅ ἐσμεν, οὐκ εἰδὼς δὲ εἰ ὑπομενοῦμεν· ἀλλὰ ἀποσεῖσαι τῆς πίστεως ἡμᾶς βουλόμενος καὶ ὑπάγεσθαι ἑαυτῷ ~ει *ib.*4.12(p.285.20; 1293B); ὁ γνωστικὸς...~εται ὑπ' οὐδενός, πλὴν εἰ μὴ ἐπιτρέψαι ὁ θεὸς καὶ τοῦτο διὰ τὴν τῶν συνόντων ὠφέλειαν *ib.*7. 12(p.53.13; M.9.501C); ‡Dion.Al. *fr.Lc.22*:46(p.247.18; M.10.1596A); Meth.*symp.*3.11(p.39.20; M.18.77B); **3.** *try, afflict* πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα...τουτέστιν, ἐδιώχθη, ἐνεπτύσθη... ἐσταυρώθη Chrys.*hom.7.2 in Heb.*(12.74D); *cat.Jo.*3:19(p.208.27); **4.** *make an attempt* ἵνα μὴ...ὁ θάνατος ἀπόσχηται τοῦ κυρίου, ὡς μάτην ~ων ἐπὶ ἀνηνύτῳ Clem.*exc.Thdot.*5(p.209.12; M.9.656C).

***πειρασία, ἡ,** *temptation, A.Barth.*5(p.139.17).

πειρασμός, ὁ, *temptation, trial*;

A. two kinds distinguished διπλοῦν τὸ εἶδος τῶν π.· ἢ γὰρ αἱ θλίψεις βασανίζουσι τὰς καρδίας, ὥσπερ χρυσὸν ἐν καμίνῳ, διὰ τῆς ὑπομονῆς τὸ δοκίμιον αὐτῶν ἀπελέγχουσαι· ἢ καὶ πολλάκις αὐταὶ αἱ εὐθηνίαι τοῦ βίου ἀντὶ πειρατηρίου γίνονται τοῖς πολλοῖς...παράδειγμα δὲ τοῦ μὲν προτέρου εἴδους τῶν π., ὁ μέγας Ἰώβ...ὃς πᾶσαν τοῦ διαβόλου τὴν βίαν ...ἀσείστῳ καρδίᾳ ὑποδεξάμενος, τοσούτῳ μείζων τῶν π. ἀνεφάνη, ὅσῳ μεγάλα αὐτῷ καὶ δυσέκλυτα ἐδόκει παρὰ τοῦ ἐχθροῦ προβεβλῆσθαι τὰ παλαίσματα. τῶν δὲ κατὰ τὴν εὐημερίαν τοῦ βίου π. ὑποδείγματα ἄλλα τέ τινα, καὶ οὗτος ὁ νῦν ἡμῖν ἀναγνωσθεὶς πλούσιος [sc. Lc.12:16ff.] Bas.*hom.*6.1(2.43D,E; M.31.261A,B); ref. Mt.6:13, Jac.1:2ff. τῶν π. διττὸν ἐπίσταται τὸν τρόπον· τὸν μέν, κατὰ γνώμην, τὸν δέ, παρὰ γνώμην· καὶ τὸν μέν, ἑκουσίων ἡδονῶν δημιουργόν· τὸν δέ, ἀκουσίων ὀδυνῶν ἐπακτικόν. ὁ γὰρ κατὰ γνώμην π., τὰς κατὰ προαίρεσιν ἑκουσίους σαφῶς συνίστησι ἡδονάς· ὁ δὲ παρὰ γνώμην, προδήλως τοὺς ἀκουσίους παρὰ προαίρεσιν ἐφίστησι πόνους...οἶμαι τὸν κύριον...πῶς δεῖ προσεύχεσθαι τοὺς...διδάσκοντα μαθητάς, πρὸς τό, τὸ κατὰ γνώμην εἶδος τῶν π. ἀπεύχεσθαι...τῶν ἡδονικῶν...καὶ ἑκουσίων π., μὴ ἐγκαταλειφθῆναι πεῖραν λαβεῖν...τὸν δὲ μέγαν Ἰάκωβον...πρὸς τὸ τῶν ἀκουσίων π. εἶδος διδάσκοντα μὴ συστέλλεσθαι...δηλονότι τοῖς ἀκουσίοις...καὶ πόνων ποιητικοῖς π. ... τέλειός ἐστιν, ὁ τοῖς ἑκουσίοις δι' ἐγκρατείας μαχόμενος, καὶ τοῖς ἀκουσίοις δι' ὑπομονῆς ἐγκαρτερῶν π. Max.*qu. Thal.*58(M.90.593B–D); id.*or.dom.*(M.90.908B).

B. ref. God's permission κύριος, καὶ τοὺς π. ἐπάγων μὴ ὑπερβαίνοντας ἡμῶν τὴν δύναμιν, ἀλλὰ δοκιμάζων μὲν διὰ τῆς περιστάσεως τοὺς ἀγωνιστὰς τῆς εὐσεβείας, οὐκ ἐῶν δὲ πειρασθῆναι ὑπὲρ ὃ δύνανται ὑπενεγκεῖν Bas.*ep.*219.1(3.332A; M.32.812A); σὺ δὲ τὸν εὐεργέτην [sc. God]...λέγεις κακῶς μηδὲν ἠδικημένος; μὴ γὰρ οὐκ ἠδύνατο λῦσαι τὸν

π.; ἀλλὰ συνεχώρησεν, ἵνα γένῃ δοκιμώτερος. ἀλλ' ἰδού, φησί, καταπίπτω καὶ ἀπόλλυμαι· οὐ παρὰ τὴν τοῦ π. φύσιν, ἀλλὰ παρὰ τὴν ῥᾳθυμίαν τὴν σήν Chrys.*Laz.*3.7(1.747A); διὰ τοῦτο οὐδὲ ἐπιόντας κωλύει τοὺς π. ὁ θεός· πρῶτον μὲν ἵνα μάθῃς ὅτι πολλῷ γέγονας ἰσχυρότερος· ἔπειτα ἵνα μένῃς μετριάζων, μηδὲ τῷ μεγέθει τῶν δωρεῶν ἐπαρθῇς, τῶν π. συστέλλειν σε δυναμένων· πρὸς τούτοις, ἵνα ὁ πονηρὸς δαίμων ἐκεῖνος, ὁ τέως ἀμφιβάλλων περὶ τῆς σῆς ἀποστάσεως, ἀπὸ τῆς βασάνου τῶν π. πληροφορηθῇ, ὅτι τέλεον αὐτὸν ἐγκαταλιπὼν ἀπέστης· τέταρτον, ἵνα ἰσχυρότερος...κατασκευασθῇς· πέμπτον, ἵνα ἀπόδειξιν λάβῃς σαφῆ τῶν πιστευθέντων σοι θησαυρῶν id.*hom.13.1 in Mt.*(7.168A); id.*Dan.*6:4(6.233B); Max.*carit.*2.44(M.90.1000A); οἱ κατὰ τὸν βίον τοῦτον ὑπὸ τῆς θείας προνοίας εἰς εὐσέβειαν ἐγγυμναζόμενοι, διὰ τῶν τριῶν τούτων π. δοκιμάζονται· οἷον, ἢ διὰ τῆς τῶν ἡδέων δόσεως, ὡς ἐπὶ ὑγείας καὶ κάλλους...ἢ διὰ τῆς τῶν λυπηρῶν ἐπιφορᾶς· οἷον, στερήσεως τέκνων...ἢ διὰ τῶν ὀδύνας ἐμποιούντων τῷ σώματι· οἷον νοσημάτων *ib.*2.92(1013C); in life of 'gnostic' οἱ π. προσάγονται οὐκ εἰς τὴν ἀποκάθαρσιν, ἀλλ' εἰς τὴν τῶν πέλας...ὠφέλειαν, εἰ πεῖραν λαβὼν πόνων...κατεφρόνησεν Clem.*str.*7.12(p.54.13; M.9.504B).

C. caused by demons, esp. in case of monks and hermits δαίμονες διὰ ποικίλων π. σπουδάζουσι κλεῖσαι τὸ ἡμέτερον στόμα, ὅπως μὴ ὑμνῶμεν Nil.*epp.*1.137(M.79.140D); εἰσί τινες ἐν κόσμῳ βιωτικοί...καὶ πλείστῃ προσανεχόμενοι ἀγρυπνίᾳ, καὶ προσευχῇ...μηδέποτε δὲ λαβόντες δαιμόνων πεῖραν τὸ σύνολον· διότι οὐδὲ πάνυ περὶ αὐτῶν τῷ διαβόλῳ μέλει, μᾶλλον δὲ κατὰ τῶν τὸν μονήρη καὶ ἡσύχιον ἑλομένων βίον, τὴν ἀμφήκη τῶν μυρίων π. καθεκάστην...ὥραν...ὀξύνει μάχαιραν *ib.*3.153 (456A); ἠξίου δέ τις αὐτὸν τῶν ἀδελφῶν συνδιάγειν αὐτῷ ἐν τῇ ἐρήμῳ βουλόμενος. λέγοντος δὲ αὐτοῦ, μὴ δύνασθαι ὑπενεγκεῖν τοὺς π. τῶν δαιμόνων ‡Pall.*h.mon.*13.12(p.67.17; M.34.1162B); ἀμφοτέρους δὲ τοὺς π., τὸν ἑκούσιόν τε καὶ τὸν ἀκούσιον, περιέπει...ὁ πονηρός· τὸν μέν, σπείρων καὶ διερεθίζων τὴν ψυχὴν ἡδοναῖς σώματος, ἀποστῆσαι τῆς θείας ἀγάπης τὴν ἔφεσιν μηχανώμενος· τὸν δὲ σοφιστικῶς ἐξαιτεῖται, δι' ὀδύνης φθεῖραι τὴν φύσιν βουλόμενος Max.*or.dom.*(M.90.908C).

D. conduct in temptations; **1.** patience and courage παρ' ὅλον τὸν...τοῦ π. χρόνον μὴ διδοίημεν τόπον τῷ διαβόλῳ...μολύνειν ἡμᾶς διαλογισμοῖς πονηροῖς θέλοντι ἀρνήσεως ἢ διψυχίας...προκαλουμένης ἐπὶ τὰ ἐχθρὰ τῷ μαρτυρίῳ Or.*mart.*11(p.11.5; M.11.577A); τοὺς...βαπτισθέντας, εὐθὺς παρασκενάζεσθαι δεῖ πρὸς τοὺς π., καὶ παρ' αὐτῶν τῶν οἰκείων, μέχρι θανάτου Bas.*moral.*62.1(2.281E; M.31.796C); †Bas.*ep.*42.4(3.128B; M.32.353C); μὴ...ἐν π. θορυβώμεθα...ἂν μὴ παρὰ πόδας ἡ λύσις γένηται, ἀλλ' αὐτῷ παραχωρῶμεν τὸν καιρὸν τῷ κυρίῳ τῆς λύσεως Chrys.*exp.in Ps.*145:8(5.479A); μὴ δὴ καταπίπτωμεν ἐν τοῖς π. οὐδεὶς γὰρ κοινωνεῖ τῷ Χριστῷ τρυφῶν...ἀλλ' ὁ ἐν θλίψει καὶ π., οὗτος ἐγγὺς ἕστηκεν ἐκείνου id.*hom.1.4 in 2Cor.*(10.423B); εὐχώμεθα μὲν μὴ εἰσελθεῖν εἰς π.· εἰ δὲ παραγένοιτο, μετὰ πολλῆς ἱστάμενοι τῆς ἀνδρείας, τὴν προσήκουσαν ἐπιδειξώμεθα προθυμίαν *ib.*28.4(639A); τί...προσεδόκησας προαιρούμενος...τὴν ἀναχώρησιν; πάντως θλίψεις καὶ π. ... πῶς οὖν νῦν δυσανασχετεῖς...κεντούμενος...ταῖς τῶν π. λόγχαις...ἀλλ' ὑπόμεινον εὐχαρίστως...καὶ θεάσῃ τὸ τέλος Nil.*epp.*2.137(M.79.257A,B); μή σου τὴν προθυμίαν οἱ ἐχθροὶ ἀμβλυνέτωσαν, τοῖς ποικίλοις...π. τὴν ψυχὴν κολαφίζοντες. ἐκ γὰρ δὴ τῶν θλίψεών σοι...ὁ στέφανος πλέκεται *ib.*3.154(457B); φύγε π. δι' ὑπομονῆς καὶ δεήσεως· εἰ δὲ ἐκτὸς τούτων ἀντιτάσσει, περισσοτέρως ἐπέρχεται Marc.Er.*opusc.*2.98(M.65.944D); **2.** prayer and fasting, ref. Ac.1:14 μέγα γὰρ τοῦτο ὅπλον ἐν τοῖς π. Chrys.*hom.3.1 in Ac.*(9.23A); νηστεύειν ἐδίδασκον ἐν τοῖς π. *ib.*31.2(243E); **3.** obedience διὰ τὴν πρὸς τὸν θεὸν ὑπακοὴν νικῶντες τοὺς ἐπαγομένους ὑπὸ τῶν ἐχθρῶν π. †Bas.*bapt.*2.13.1(2.673A; M.31.1625D); **4.** temptations not to be sought οὐ δεῖ ἑαυτὸν ἐπιρρίπτειν ~οἷς πρὸ καιροῦ τῆς τοῦ θεοῦ συγχωρήσεως, ἀλλὰ καὶ προσεύχεσθαι μὴ ἐμπεσεῖν εἰς π. Bas.*moral.*62.2(2.282D; M.31.797C); ref. Mt.26:41 πῶς οὖν φησιν, εὔχεσθαι μὴ εἰσελθεῖν εἰς π.; διὰ τοῦτο οὐκ ἀνιόντα αὐτὸν ἁπλῶς δείκνυσί σοι τὸν Ἰησοῦν, ἀλλὰ ἀναγόμενον κατὰ τὸν τῆς οἰκονομίας λόγον, αἰνιττόμενος διὰ τούτων, ὅτι οὐκ αὐτοὺς ἐπιπηδᾶν χρή, ἀλλ' ἑλκομένους ἑστάναι γενναίως Chrys.*hom.13.1 in Mt.*(7.168C).

E. effects; **1.** testing of love of God ἐξεταστήριον τῆς πρὸς τὸ θεῖον ἀγάπης νομιστέον ἡμῖν γεγονέναι τὸν ἑστηκότα π. Or.*mart.*6(p.8.2; M.11.572A); **2.** humility, Nil.*epp.*2.58(M.79.225B); **3.** improvement of soul's condition τίνα οὖν ἂν ἔχοιμεν ἀπολογίαν...οὕτως ἀνθρώπινον π. οὐ φέροντες...ὑμεῖς μάρτυρες...ὅσον ἀπὸ τοῦ π. τούτου τὸ κέρδος ἐσχήκαμεν. ὁ ἀκόλαστος σώφρων ἐγένετο νῦν, ὁ θρασὺς ἐπιεικέστερος Chrys.*stat.*4.2(2.52B); καθάπερ γὰρ τὸ χρυσίον τῷ πυρὶ παραδιδόμενον πᾶσαν ἀποτίθεται κηλίδα, οὕτω καὶ οἱ σπουδαῖοι σπουδαιότεροι καθίστανται ἐν τοῖς π. id.*Is.interp.*4:3(6.49D); οὐ...αἱ θλίψεις μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ π. λαμπροτέρους ἡμᾶς ἐργάζονται id.*hom.33.3 in Ac.*(9.258B); ἀκηδία ἐστὶν ἀτονία ψυχῆς...οὐκ ἔχουσα τὸ κατὰ φύσιν, οὐδὲ πρὸς πειρασμοὺς ἵσταται γενναίως. ὅπερ γάρ ἐστι τροφὴ εὐεκτοῦντι σώματι, τοῦτό ἐστι π. γενναίᾳ ψυχῇ...π. βεβαιοῦσι καρτερίαν ψυχῆς Nil.*spir.mal.*13(M.79.1157D).

F. exeg. Lord's Prayer ἢ γάρ ἐσμεν ἐπὶ γῆς περικείμενοι τὴν στρατευομένην σάρκα κατὰ τοῦ πνεύματος...ἐν π. ἐσμεν Or.*or.*29.1 (p.382.4; M.11.532A); πῶς οὖν κελεύει ἡμᾶς ὁ σωτὴρ εὔχεσθαι μὴ εἰσελθεῖν εἰς π., πειράζοντός πως πάντας τοῦ θεοῦ; *ib.*29.3(p.382.24; 532C); χρὴ τοίνυν εὔχεσθαι οὐχ ἵνα μὴ πειρασθῶμεν (τοῦτο γὰρ ἀδύνατον) ἀλλ' ἵνα μὴ ὑπὸ τοῦ π. περιβληθῶμεν, ὅπερ πάσχουσιν οἱ ἐνεχόμενοι αὐτῷ καὶ νενικημένοι *ib.*29.11(p.386.13; 537A); τοῦ κυρίου διδάσκοντος προσεύχεσθαι μὴ εἰσελθεῖν εἰς π., εἰ δεῖ προσεύχεσθαι μὴ περιπεσεῖν ὀδύναις σωματικαῖς· ἐὰν δὲ περιπέσῃ τις, πῶς παρέλθῃ. οὐ διέκρινε π. ποιότητα, καθολικῶς δὲ προσέταξε 'προσεύχεσθε μὴ εἰσελθεῖν εἰς π.' εἰσαχθέντα δὲ σὺν τῷ π. τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν παρὰ τοῦ κυρίου αἰτεῖν δεῖ Bas.*reg.br.*221(2.489B; M.31.1229A); δοκεῖ μοι πολυτρόπως ὁ κύριος τὸν κακὸν ὀνομάζειν...διάβολον, Βεελζεβοὺλ...καὶ ἄλλα τοιαῦτα. τάχα τοίνυν ἐν τῶν περὶ αὐτὸν νοουμένων ὄνομά τί ἐστι ὁ π., καὶ βεβαιοῖ τὴν τοιαύτην ἡμῖν ὑπόνοιαν ἡ τῶν εἰρημένων σύστασις. εἰπὼν γάρ, μὴ εἰσενέγκῃς ἡμᾶς εἰς π. ἐπήγαγεν τὸ ῥυσθῆναι ἀπὸ τοῦ πονηροῦ. ὡς τοῦ αὐτοῦ δι' ἑκατέρων τῶν ὀνομάτων σημαινομένου. εἰ γὰρ ὁ μὴ εἰσελθὼν εἰς π., ἔξω πάντως ἐστὶ τοῦ πονηροῦ· καὶ ὁ ἐν τῷ π. γενόμενος, ἐν τῷ πονηρῷ κατ' ἀνάγκην γίνεται· ἆρα ὁ π. τε καὶ ὁ πονηρὸς ἕν τι κατὰ τὴν σημασίαν ἐστί Gr. Nyss.*or.dom.*5(p.114.4; M.44.1192B,C); cf. π. μὲν λέγεται καὶ αὐτὸς ὁ διάβολος· π. δὲ καὶ ὁ τρόπος, καθ' ὃν πειράζειν εἴωθεν ὁ ἐχθρὸς τοὺς ἀνθρώπους Nil.*epp.*4.50(M.79.573B); Pall.*h.Laus.*16(p.41.13; M.34.1042A).

G. of temptation of Christ λεγέτωσαν...οἱ παραδεχόμενοι τὰ τέσσαρα εὐαγγέλια, καὶ τὴν δοκοῦσαν διαφωνίαν οἰόμενοι μὴ λύεσθαι διὰ τῆς ἀναγωγῆς...περὶ τῶν τεσσαράκοντα τοῦ π. ἡμερῶν οὐδαμῶς δυναμένων χώραν ἔχειν παρὰ τῷ Ἰωάννῃ Or.*Jo.*10.3(2; p.172.26; M.14.309B); πάντα τὸν π. συνετέλεσεν ὁ Ἰησοῦς, ὅτι πάντα ἔλαβε τὰ πειρασμοῦ πεῖραν ἐσχηκότα, δι' ὧν τὴν ὑπὲρ ἀνθρώπων νίκην πεποίηται ‡Ath.*Apoll.*2.9(M.26.1148A); ἐπειδὴ γὰρ πάντα πρὸς διδασκαλίαν ἡμῶν ἔπραττέ τε καὶ ὑπέμενεν, ἀνέχεται καὶ τῆς ἐκεῖσε ἀναγωγῆς, καὶ τῆς πρὸς τὸν διάβολον πάλης· ἵνα ἕκαστος τῶν βαπτιζομένων, εἰ μετὰ τὸ βάπτισμα μείζονας ὑπομείνειε π., μὴ ταράττηται, ὡς παρὰ προσδοκίαν τοῦ πράγματος γινομένου, ἀλλὰ μένῃ γενναίως πάντα φέρων, ὡς κατὰ ἀκολουθίαν τούτου συμβαίνοντος Chrys.*hom.13.1 in Mt.*(7.168A).

H. other aspects of temptation; **1.** ubiquity εἴτε γὰρ ἡ πάλη ἐστὶ πρὸς τὴν ἐπιθυμοῦσαν...κατὰ τοῦ πνεύματος σάρκα ἢ πρὸς τὴν ψυχὴν πάσης σαρκὸς...ὁποία ἐστὶν ἡ πάλη τοῖς τοὺς ἀνθρωπίνους πειραζομένοις π., εἴτε ὡς διαβεβηκόσι καὶ τελεωτέροις ἀθληταῖς, οὐκέτι πρὸς αἷμα καὶ σάρκα παλαίουσιν οὐδὲ ἐν τοῖς ἀνθρωπίνοις π. ἐξεταζομένοις, ...ἐστὶν ἡμῖν τὰ ἀγωνίσματα, τοῦ πειράζεσθαι οὐκ ἀπηλλάγμεθα Or.*or.*29.2(p.382.17ff.; M.11.532B); ὅπου ἐντολὴ θεοῦ, ἐκεῖ πάντως καὶ π. Nil.*epp.*2.193(M.79.301A); **2.** ref. baptism μόνον δός μοι τὴν ἐν Χριστῷ σφραγῖδα, καὶ οὐχ ἅψεταί μοι π. *A.Paul.et Thecl.*25(p.253.5ff.); **3.** hour of temptations κατὰ τὴν τοῦ πάθους ὥραν, ὅτε ἀπὸ ὥρας ἕκτος ἕως ἐννάτης σκότος ἐγένετο,...ἐν ᾗ καὶ ἀκμὴ τοῦ καύσωνος τῶν π. Ph.Carp.*Cant.*15(M.40.49B); **4.** spiritual trials and consolations τοῦτο καὶ ἡμεῖς ἐν τοῖς π. στρέφωμεν, ὅταν παρὰ πονηρῶν τι πάσχωμεν ἀνθρώπων, εἰς τὸν ἀρχηγὸν ἡμῶν ὁρῶντες καὶ τελειωτὴν τῆς πίστεως, καὶ ὅτι παρὰ φαύλων ἀνθρώπων, καὶ ὅτι δι' ἀρετὴν καὶ ὅτι δι' αὐτόν Chrys.*hom.77.4 in Jo.*(8.455B); κἂν τῷ πλήθει τῶν π. τὴν ψυχὴν ἀπενάρκησας, οὐδὲν ἧττον...παρακαλεῖ ὁ...λόγος φάσκων· γενέσθω παράκλησις τοῖς ὀλιγοψύχοις Nil.*epp.*3.216(M.79.481C); ἔστιν ὅτε μέλλοντος τοῦ ἀνθρώπου π. ψυχικῷ...περιπίπτειν, προλαβοῦσα ἡ χάρις τοῦ ἁγίου πνεύματος παρηγορεῖ τὴν ψυχὴν ὑπερβαλλόντως *ib.*3.40(405C); consolation by angels, *ib.*3.33(389A); ἀμήχανον χωρὶς λύπης παρελθεῖν τὸν ἐμπαιδευόμενον τοῖς π. πλὴν ὅμως μετὰ τὴν παραδρομὴν τῶν π. ... πολλῆς χαρᾶς πληροῦνται οἱ τοιοῦτοι *ib.*3.147(452C); ἡ πρώτη τοῦ π. προσβολή, ὅθεν τὰ πάθη λαμβάνει τὴν ἀρχήν, τοῦτο τῆς ἡμετέρας δυνάμεως κατάσκοπος γίνεται *ib.*1.275(184B); **5.** succumbing to temptation οὐ γὰρ ἡ τῶν π. φύσις, ἀλλ' ἡ τῶν πειραζομένων ῥᾳθυμία τὰ πτώματα ἐργάζεσθαι πέφυκεν. ὥστε εἰ βούλει...ἀνέσεως ἀπολαύειν καὶ ἡδονῆς, μὴ ζήτει ἡδονὴν μήτε ἄνεσιν, ἀλλὰ ζήτει ψυχὴν ὑπομονῆς γέμουσαν...ὡς ἐὰν μὴ τοῦτο ἔχῃς, οὐχὶ π. σε ἐλέγξει μόνον, ἀλλὰ καὶ ἀνεσίς σε ἀπολεῖ Chrys.*stat.*4.2(2.51A); *ib.*(51B); **6.** ref. thanksgiving τὸ εὑρεῖν τὴν εὐχαριστίαν ἐν καιρῷ π. ἀποστρέφει εἰς τὰ ὀπίσω τοὺς ἐπερχομένους π. Esaias *or.*23; **7.** heret. view that scripture contains occasions of temptations τὰς κατὰ τοῦ θεοῦ ἐν ταῖς γραφαῖς πειρασμοῦ χάριν προκειμένας περικοπὰς *Hom.Clem.*2.39; εἴτε αἱ γραφαὶ εἴτε προφῆται θεοὺς λέγουσιν, εἰς π. τῶν ἀκουόντων λέγουσιν *ib.*16.13; ref. Mt.11:27 εἰ γὰρ ἠπίσταντο, οὐκ ἂν ταῖς ὄντως πρὸς πειρασμὸν κατὰ τοῦ θεοῦ γραφείσαις βίβλοις πιστεύοντες ἡμάρτανον *ib.*19.20.

πειραστής, ὁ, 1. *one who makes trial, experimenter* π. διὰ βίου,

κατάσκοπος μέχρι γήρως, πότε γενήσῃ Χριστιανός; Bas.*hom.*13.1(2.114C; M.31.425B); **2.** *templer* ὁ μὲν γὰρ πειράζων εἰς τοὺς πειρασμοὺς καθέλκει, οἷα π. κακῶν, ὁ δὲ θεὸς πειράζων τοὺς πειρασμοὺς παραφέρει ὡς ἀπείραστος κακῶν ‡Dion.Al.*fr.Lc.*22:46(p.247.19; M.10.1596A); ὁ τοῦ φωτὸς διώκτης καὶ π. Gr.Naz.*or.*40.10(M.36.369B); id.*carm.*1.1.2.68(M.37.407A).

πειρατεύω, *be a pirate,* Gr.Nyss.*fat.*(M.45.149A).

πειρατήριον, τό, 1. *place of trial* or *testing*; of earthly life, ref. Job 7:1, Or.*or.*29(p.382.5; M.11.532A); Isid.Pel.*epp.*2.76(M.78.517D); *ib.*5.226(1469B); Olymp.*Job* 6 proem.(M.93.88A); *ib.*38 proem.(393A); of an ascetic's cell ἔσται γὰρ τὸ σπήλαιόν σου μαρτύριον τῆς ἐρήμου,...π. καὶ βάσανος τῶν δαιμόνων *V.Zos.*18(p.107.3); **2.** *temptation, testing, Narr.Jos.*1.2(p.460); ῥύσεται ἡμᾶς ἀπὸ παντὸς π. *A.Mt.*11(p.229.16); ἐγγυμνασάμενοι τοῖς π. Eus.*d.e.*3.7(p.147.1; M.22.248A); Mac.Aeg.*cust.cor.*12(M.34.833A); τὰ π. τὰ συμβεβηκότα σοι καὶ τὰς θλίψεις Nil.*epp.*2.196(M.79.301C); Thdt.*Ps.*17:30(1.710); σαρκικῶν π. Jo.Eub.*concept.BMV* 14(M.96.1481C); **3.** *gang of robbers, T.Isach.*5.8; γαδδοὺρ...ὃ ἑτέρωθι ἑρμηνεύεται π. Thdt.*qu.*65 *in 1Reg.*(1.403).

πειρατής, ὁ, *pirate*; met., of demons τοὺς π. ἀφῆκεν πειράζειν ἡμᾶς Meth.*fr.Job* 7(p.512.14; perh. l. πειραστὰς); Chrys.*sac.*4.4(p.112.5; 1.408E); of Devil, id.*virg.*34(1.292C).

πειράω, 1. c. acc. pers., *test, try, T.Jos.*16.3; *Did.*11.7; **2.** *learn by experience,* folld. by ὅτι, *T.Dan* 1.3.

***πείρημα, τό,** *end, limit,* of Christ αἰῶνος πείρημα Gr.Naz.*carm.*2.1.38.9(M.37.1326A).

πειρητίζω, *test, try*; c. acc. pers., Nonn.*par.Jo.*4:16(M.43.776C); *ib.*6:6(793B).

πεῖσις, ἡ, = *πάθος,* of 'passion' of Sophia, Clem.*exc.Thdot.*31(p.117.7; M.9.673D).

πεῖσμα, τό, (A) *cable, rope*; met., ref. Ps.136:2 ὄργανα καλοῦσαι τὰ σκηνώματα...ἑαυτῶν, ἃ ἀνεκρέμασαν ἀπὸ τῶν π. τῆς ἀγνείας ἐξάψασαι τοῦ ξύλου Meth.*symp.*4.3(p.48.12; M.18.89C); ἀπὸ τῆς κεφαλῆς ἐξῆφθαι τῷ παντὶ σώματι τά τε τῶν νόσων καὶ τὰ τῆς ὑγιείας π. Synes.*calv.*12(p.212.20; M.66.488D).

πεῖσμα, τό, (B) *fixed intention,* of will of God for man's salvation εὐδοκίαν οὖν τὸ πρῶτον θέλημά φησι, τὸ σφοδρὸν θέλημα, τὸ μετὰ ἐπιθυμίας θέλημα,...ὃ λέγομεν ἡμεῖς π. Chrys.*hom.*1.2 *in Eph.*(11.5E); id.*hom.*2.1 *in 2Thess.*(11.523F).

πεισμονή, ἡ, 1. *persuasion,* Ign.*Rom.*3.3; Epiph.*haer.*30.21(p.361.19; M.41.440D); Chrys.*hom.*1.2 *in 1Thess.*(11.427D); **2.** *conviction, assurance,* Just.*Iapol.*53.1(M.6.405C); Iren.*haer.*4.33.7(M.7.1077A); ἵνα τὸ διπλοῦν κήρυγμα...ἔχῃ τὴν π. τοῦ τε πάθους καὶ τῆς ἀπαθείας ‡Ath.*Apoll.*1.10(M.26.1112A); **3.** *reliability, trustworthiness,* Pall.*v.Chrys.*20(p.125.15; M.47.70).

***πεισμοσύνη, ἡ,** = foreg., Petr.Full.*ep.Acac.*(p.116.15; M.86.2632A).

πεκούλιον (***πεκουλλίον**), **τό,** (Lat. *peculium*) *personal property,* Gr.Naz.*test.*(M.37.392A); σὺ δοῦλος καὶ τὰ σὰ τοῦ κυρίου. δοῦλος γὰρ ἐλεύθερον π. οὐκ ἔχει Ast.Am.*hom.*2(M.40.188B); μοναχὸς ὁ ἔχων πεκουλλία, ἀφοριζέσθω τῆς μονῆς †Pach.*poen.*(p.60).

πελαγίζ-ω, 1. *form a sea, be like a sea,* met. Παῦλος ἦν ποταμὸς διὰ μεγαληγορίας ~ων Gr.Nyss.*hom.*11 *in Cant.*(M.44.1004B); **2.** *make like a sea, make very abundant* ἐκκλησία ἣν ἐπελάγισε Procl.CP *or.*18(M.65.817D); pass., Chrys.*pan.Phoc.*1(2.705B); **3.** pass.; **a.** *be flooded,* Bas.Sel.*or.*35.1(M.85.376A); **b.** *be swamped*; met., by sin, *Schol.* in CAnc.*can.*17(*Mon.*2 p.659).

πελάγιος, *out at sea,* met., π. διὰ τῆς θεωρίας γενόμενοι Gr.Nyss.*hom.*12 *in Cant.*(M.44.1016B).

πελάζω, 1. *draw near*; abs., Thdt.*Ps.*18:7(1.721); *ib.*103:2(1331); met., *enter upon* π. τῇ τῆς διηγήσεως ἱστορίᾳ id.*h.rel.*9(3.1186); **2.** *be near,* id.*Col.*4:13(3.500); **3.** med., *sojourn, spend time* ἐν ἐρημίαις π. Mac.Aeg.*hom.*9.3(M.34.533B).

[*]**πελεκᾶνος, ὁ,** *pelican*; typifying aggressive people, Or.*adnot. in Dt.*14:19(M.17.28A).

πελέκησις, ἡ, *hewing,* Or.*Jo.*10.40(24; p.217.21; M.14.385A).

πελεκητός, *capable of being hewn*; neut. as subst., Leont.H. *Nest.*1.14(M.86.1453C).

***πελεκοειδής,** *hatchet-shaped,* Or.*Cels.*6.38(p.107.10; M.11.1353C).

πελιδνήεις, *livid,* Paul.Sil.*ambo.*96(M.86.2255B).

πελιδνόομαι, *be livid,* Thdt.*Nah.*2:10(2.1528); Paul.Sil.*Soph.*631(M.86.2143B); Jo.Clim.*scal.*4(M.88.720B).

***πελίη, ἡ,** *dove, Orac.Sib.*1.242.

πέλμα, 1. *floor* of theatre, Leont.N.*v.Sym.*37(M.93.1716B); *arena* of circus, Jo.Mal.*chron.*7 p.175(M.97.280D); **2.** *ground,* Barth.Edess. *Agar.*(M.104.1412D).

[*]**πελτόν, τό,** = *παλτόν, spear,* Thdt.*h.e.*3.3.7(3.914); *ib.*5.24.12(1065).

πέλυξ, ὁ, *axe,* met. πνευματικοὶ λόγοι π. κόπτων πέτραν εἴρηνται Nil.*epp.*2.237(M.79.321B); Εἰρηναῖος ὁ τῶν αἱρέσεων π. Anast.S.*hod.*7(M.89.113C); of Jo. Bapt. λαγνείας π. Geo.Pis.*carm.*5.2.

πεμπταῖος, *of five days* π. ἄγγελον [i.e. dispatched after five days] Thphyl.*exc.gent.*6(p.484.1; M.113.945A).

***πεμπτήριος,** *in dismissal*; hence *as parting gift,* Gr.Naz.*carm.*1.1.9.71(M.37.462A); *ib.*2.2(poem.)5.264(1540A); *ib.*2.2(poem.)6.1(1542A).

πέμπτος, *fifth*; **1.** τὸ π. *the fifth* or celestial *element* acc. pagan thought, Gr.Naz.*or.*28.8(p.33.6; M.36.36A); **2.** of fifth commandment as enjoining reverence to God and θεῖα γνῶσις, Clem.*str.*6.16(p.506.28; M.9.377A); **3.** ὁ π. *the fifth* (male) *aeon* in Valent. system, Val.Gn.ap.Epiph.*haer.*31.6(p.394.6; M.41.484C); id.*ib.*(p.395.4; 485B); **4.** π. καιρός, of the time of Christ's manifestation on earth, corresponding to 'eleventh hour' of Parable of Vineyard, Cyr.*ador.*6(1.208A); **5.** ἡ π., *Thursday,* esp. of Maundy Thursday; **a.** in gen., Socr.*h.e.*7.40.2(M.67.829A); **b.** as day of betrayal, Isid.Pel.ap.*cat. Mt.*suppl.(p.256.18); καταμυσάττεσθαι...δοκεῖ τήν τε π. καὶ ὀγδόην ἡμέραν ὁ σατανᾶς...τῇ π. ... παραδεδόσθαι φαμὲν αὐτόν, καὶ εἰς ἀρχὰς...ἥκειν τῆς ὅλης οἰκονομίας Cyr.*ador.*6(1.207E); **c.** as day of Last Supper; Christ did not eat Passover on day observed by Jews, but with his disciples on previous day (Thursday), Eus. *pasch.*9(M.24.704B); Jo.Philop.*pasch.*(p.211.16); **d.** as end of forty days fast of Lent, Leont.N.*v.Sym.*47(M.93.1728A); but ἐν τῇ π. τῇ μεγάλῃ μεταλαμβάνειν οἴνου καὶ ἐλαίου τοὺς ἐν ταῖς προτέραις τρισὶν ἡμέραις μὴ μετειληφότας, οὐ καλόν Eutych.*pasch.*3(M.86.2396A); Jo. Jej.*canonar.*1(p.113A); Anast.*temp.*(p.280); **e.** Communion on that day, Epiph.*exp.fid.*22(p.524.1; M.42.828C); Eutych.*pasch.*3(M.86.2396A); τῇ π. ἡ ἐκκλησία ἐπιτελεῖ τὴν ἑορτὴν τοῦ πάσχα τοῦ μυστικοῦ· καθ' ἣν καὶ ὁ κύριος ἑαυτὸν μυστικῶς ἔθυσε τότε *ib.*5(2397B); †Jo.Jej. *poenit.*(M.88.1913A); Jo.Mosch.*prat.*79(M.87.2936D); and distribution of food and εὐλογίαι to poor, *ib.*85(2941B); **f.** Friday fast beginning μετὰ τὴν π. Epiph.*exp.fid.*22(p.523.25; 828C); ref. a hermit who fasted except on Sunday and Thursday, ‡Pall.*h.mon.*17.4(p.77.18; M.34.1178D); private fasting on Thursday to be broken for entertainment of strangers, ‡Ath.*syntag.*2.12(p.123; M.28.840A).

πέμπ-ω, 1. *send,* of divine sending ὁ ἄγγελος τοῦ θεοῦ, τοῦτ' ἔστιν ἡ δύναμις τοῦ θεοῦ ἡ πεμφθεῖσα ἡμῖν διὰ Ἰησοῦ Χριστοῦ Just.*dial.*116.1(M.6.744C); οὐ γὰρ αὐτοποίητον...τὸ κάλλος, ἀλλὰ ὑπὸ χειρὸς...~όμενον τοῦ θεοῦ Athenag.*leg.*34.1(M.6.968B); ref. Moses, Cyr.H. *catech.*19.3; ref. sending out of a Christian minister, Chrys.*hom. in 1Tim.*proem.(11.548B); ref. Christ, *Diogn.*7.4; Cyr.*Jo.*2.9(4.242B); cf. ἀποστέλλω; Manich., ref. light particle sent into matter, Thdt.*haer.*26(4.319); of sending up prayers etc., to God ὕμνους ~ειν Just.*Iapol.*13.2(M.6.345B); Petr.II Al.*encycl.*(M.33.1281A)ap.Thdt. *h.e.*4.22.12; of soul's ascent after death μηκέτι μὲν εἰς ᾅδου τρέχειν τὰς...ψυχὰς...~εσθαι δὲ μᾶλλον εἰς χεῖρας θεοῦ Cyr.*Lc.*23:46(Pusey, p.475.3; M.72.940A n.); **2.** *send forth, send on one's way,* Gr.Thaum. *pan.Or.*19(p.39.13; M.10.1101B).

***πενακάς, ὁ,** ? for ⟨πινακάς⟩ one who makes tablets, *IG* 3.3459 (Attica).

***πενηθεία, ἡ,** *poverty of divinity*; of Jewish monotheism contrasted with Trinitarian belief and with pagan polytheism, †Gregent.*disp.*(M.86.628C).

πένης, *poor, needy* (dist. from πτωχός); **1. ref.** attitude to poverty; **a.** of one's own ἐὰν π. σε προείπῃ, εἰ μὲν ἀληθῆ λέγει, κατάδεξαι τὴν ἀλήθειαν· εἰ δὲ ψεύδεται, τί πρὸς σὲ τὸ λεγόμενον;...τί δέ σε ταράσσει ἡ προσηγορία τοῦ π.;...τίς ποτε ἀπῆχθη διὰ πενίαν εἰς δεσμωτήριον; οὐ τὸ πένεσθαι ἐπονείδιστον, ἀλλὰ τὸ μὴ φέρειν εὐγενῶς τὴν πενίαν Bas.*hom.*10.4(2.87A,B; M.31.361C,D); ἐρεῖς π. κἀγώ. ἔστω...δὸς ὃ ἔχεις Gr.Nyss.*paup.*1(M.46.460B); βούλει γενέσθαι πλούσιος σὺ ὁ π.; ἔξεστί σοι βουλομένῳ...καταφρόνησον τῶν τοῦ κόσμου χρημάτων... ἔκβαλε τὴν ἐπιθυμίαν τοῦ πλούτου, καὶ ἐπλούτησας Chrys.*hom.*2.5 *in Phil.*(11.210A); **b.** of others καθάπερ εὐεργέτας, καὶ τῆς σωτηρίας ἡμῖν τὰς ἀφορμὰς παρέχειν δυναμένους, οὕτως ὁρῶμεν τοὺς π., καὶ μετὰ δαψιλείας καὶ ἱλαρᾶς τῆς προθυμίας παρέχωμεν id.*hom.*34.3 *in Gen.*(4.343A); ὅταν οὖν ἴδῃς π. πιστόν, θυσιαστήριον ὁρᾶν νόμιζε id. *hom.*20.3 *in 2Cor.*(10.582B); ref. Manicheans despising poor, Ath. *h.Ar.*61(p.217.24ff.; M.25.768B) cit. s. ἐλεέω; **c.** oppression of poor condemned μὴ βουληθῇς ἐπᾶραι χεῖρα θεὸν κατὰ τῶν...παρατρεχόντων τοὺς π. Gr.Naz.*or.*14.28(M.35.896B); ὦ ὠμότητος· ὅτι καὶ ζῶσιν οἱ π., μικροῦ δυσχεραίνομεν...μὴ φθονήσωμεν συμμεριστὰς κἂν τῶν περιττῶν προσλαβέσθαι τοὺς π., ὡς ἂν μὴ ἀκούσωμεν 'ἀπελάβετε τὰ ἀγαθὰ ὑμῶν ἐν τῇ ζωῇ ὑμῶν' Nect.*Thdr.*20(M.39.1837A); οὐδὲν γὰρ οὕτω τὸν θεὸν

παροξύνειν εἰωθεν, ὡς ἡ κατὰ τῶν π. ἀδικία κατ' αὐτοὺς γινομένη Chrys.*Is.interp.*1:24(6.16A); οὐδὲν ἀναιδέστερον, φησί, πένητος. διατί; ...ὅτι ἐπιτρέχων καταβοᾷ; βούλει οὖν δείξω, ὅτι ἐκείνων ἡμεῖς ἐσμεν ἀναισχυντότεροι, καὶ σφόδρα ἀναιδεῖς; id.*hom.35.5 in Mt.*(7.404D); ref. three holy children μὴ τοίνυν ἔξω τῆς καμίνου καθεζώμεθα, ἀνηλεῶς πρὸς τοὺς π. ἔχοντες, ἵνα μὴ πάθωμεν ὅπερ ἔπαθον τότε ἐκεῖνοι [sc. their persecutors] *ib.4.12*(70B); **2.** beneficial influence of poor in Christian life ὁ πολλοὺς εὐποιῶν π.· πολλοὺς γὰρ εὑρήσει συνηγόρους κρινόμενος Ephr.1.38E; ἰατροὶ τῶν ψυχῶν ἡμῶν εἰσιν οἱ π. ... οὐ γὰρ τοσοῦτον δίδως, ὅσον λαμβάνεις· δίδως ἀργύριον, καὶ λαμβάνεις βασιλείαν οὐρανῶν· λύεις πενίαν, καὶ καταλλάττεις σεαυτῷ τὸν δεσπότην Chrys.*hom.3.11 in 2Cor.4:13*(3.289B); π., δεξιὰν ἐκτείνων καὶ ἐλεημοσύνην λαμβάνων, περιαιρεῖ τῶν τραυμάτων τοὺς μώλωπας id.*hom.30.4 in 1Cor.*(10.275B); κοινοὺς διδασκάλους ἡμῖν τῶν συμφορῶν καὶ παραμυθίαν ἀφῆκε διὰ τῆς οἰκουμένης ὁ θεὸς τοὺς π. id.*hom.11.3 in 1Thess.*(11.507A); χάριν ὀφείλεις μᾶλλον τῷ π. ἔχειν τοῦ λαβεῖν. εἰ μὴ π. ἦσαν, οὐκ ἂν τὸ πολὺ τῶν ἁμαρτημάτων ὑπετέμου id.*hom.14.2 in 1Tim.*(11.627E); v. δωροδοκέω; **3.** rich and poor; **a.** their need of each other ὅταν οὖν ἀναβῇ ὁ πλούσιος ἐπὶ τὸν π. καὶ χορηγήσῃ αὐτῷ τὰ δέοντα...ἀμφότεροι οὖν τὸ ἔργον τελοῦσιν· ὁ μὲν π. ἐργάζεται τὴν ἔντευξιν ἐν ᾗ πλουτεῖ...καὶ ὁ πλούσιος τὸν πλοῦτον...παρέχει τῷ π. ... οὕτω καὶ οἱ π. ἐντυγχάνοντες πρὸς τὸν κύριον ὑπὲρ τῶν πλουσίων πληροφοροῦσι τὸν πλοῦτον αὐτῶν, καὶ πάλιν οἱ πλούσιοι χορηγοῦντες τοῖς π. τὰ δέοντα πληροφοροῦσι τὰς ψυχὰς αὐτῶν Herm.*sim.*2.5.8; **b.** advantages of poor over rich in natural sphere πλειόνων χρήζουσιν οἱ πλουτοῦντες καὶ δι' ἀξιοπιστίας μετὰ τῆς δόξης γίνονται, π. δὲ...τῶν καθ' ἑαυτὸν ἐφιέμενος εὐμαρέστερον περιγίνεται Tat.*orat.*11(p.12.7; M.6.829B); ἐνὶ τούτῳ διαφέρωμεν τῶν πλουτούντων οἱ π., τῇ ἀμεριμνίᾳ. καὶ καταγελῶμεν αὐτῶν ἀγρυπνούντων, αὐτοὶ καθεύδοντες Bas.*hom.2 in Ps.*14(1.110C; M.29.273A); τί δὲ ὁ ἥλιος...τὰς ὄψεις ἡμῶν εὐφραίνον,...πάντες ἀπολαύουσιν ἐξ ἴσης αὐτοῦ, καὶ π. καὶ πλούσιοι;...μᾶλλον δέ...πλέον ἡμεῖς οἱ π. ἀπολαύομεν, ᾗ ἐκεῖνοι. ἐκεῖνοι μὲν γὰρ τὰ πολλὰ μέθῃ βαπτιζόμενοι...οὐδὲ ἐπαισθάνονται τούτων, ὑπωρόφιοι ὄντες καὶ σκιατραφούμενοι· οἱ δὲ π. μάλιστα πάντων εἰσὶν οἱ τοῖς στοιχείοις ἐντρυφῶντες τούτοις Chrys.*hom.12.5 in 2Cor.*(10.527E–528A); ποιήσωμεν, εἰ δοκεῖ, δύο πόλεις, τὴν μὲν πλουσίων μόνον, τὴν δὲ π.· καὶ μήτε ἐν τῇ τῶν πλουτούντων ἔστω τις π., μήτε ἐν τῇ τῶν π. ἔστω τις πλούσιος ἀνήρ...ἐν μὲν ἐκείνῃ τῇ τῶν εὐπόρων οὐδεὶς ἔσται δημιουργός, οὐκ οἰκοδόμος...πῶς οὖν ἡ πόλις ἡμῖν στήσεται αὕτη; δόντες, φησίν, ἀργύριον οἱ πλουτοῦντες, ταῦτα ὠνήσονται παρὰ τῶν π. οὐκοῦν οὐκ ἀρκέσουσιν ἑαυτοῖς, εἴ γε ἐκείνων δέονται...ὅθεν δῆλον, ὡς ἀδύνατον χωρὶς π. συστῆναι πόλιν. ἴδωμεν οὖν καὶ τὴν τῶν π. πόλιν, εἰ καὶ αὕτη ὁμοίως ἐνδεῶς διακείσεται τῶν πλουτούντων ἐστερημένη...ἐνδεῶς σχήσει τὰ τῆς πόλεως ταύτης ...; οὐδέν. ἄν τε γὰρ οἰκοδομεῖν δέῃ, οὐ χρυσοῦ καὶ ἀργύρου δεῖ...ἀλλὰ τέχνης καὶ χειρῶν...ἐὰν γεωργεῖν δέῃ...πλουτούντων ἢ πενομένων χρεία;...δῆλον, ὅτι π. id.*hom.34.5 in 1Cor.*(10.316C–317C); ὁ...π. οὐδένα δεδοικὼς διάγει, ἐπειδὴ πλουτεῖ μόνον τῇ φιλοσοφίᾳ καὶ ὑπομονῇ· ὁ δὲ πλούσιος, ἐπειδὴ πλεονεξίᾳ συζῇ, μισεῖται παρὰ πάντων id.*hom.1.3 in Ps.*48:17(5.508C); **c.** in spiritual sphere καὶ ὁ πλούσιος καὶ ὁ π. τῆς ὠφελείας [sc. of scripture] κοινωνοῦσιν ὁμοίως· μᾶλλον δὲ οὐχ ὁμοίως κοινωνοῦσι τῆς ὠφελείας, ἀλλὰ πολλάκις πλείονος ἀπολαύσας ὁ π. ἀπέρχεται. τί δήποτε; ὅτι ὁ μὲν πλούσιος πολλαῖς προκατειλημμένος φροντίσιν, ἔχων τὴν ἀπόνοιαν καὶ τὸ φύσημα τῆς εὐπορίας...οὐ μετὰ πολλῆς τῆς ἀκριβείας...τὸ φάρμακον τῆς ἀκροάσεως τῶν γραφῶν δέχεται· ὁ δὲ π. τρυφῆς...ἀπηλλαγμένος...μετὰ πλείονος προσέχει ἀκριβείας τοῖς λεγομένοις id.*pecc.*1(3.345A,B); πόσοι τῶν π. τῶν πλουτούντων εἰσὶ συνετώτεροί τε καὶ φιλοσοφώτεροι, καὶ τὰ σώματα ὑγιεινότερα, πενίας αὐτοῖς καὶ τὴν σάρκα καὶ τὴν ψυχὴν διορθουμένης id.*exp.in Ps.*4:8(5.25B); πλουσίους μὲν ὀλίγους, τῶν δὲ π. πολλῷ πλείους σωζομένους id.*hom.13.4 in 2Cor.*(10.536B); both enjoy Christian teaching φιλοσοφοῦσί τε οὐ μόνον οἱ πλουτοῦντες, ἀλλὰ καὶ οἱ π. προῖκα τῆς διδασκαλίας ἀπολαύουσιν Tat.*orat.*32(p.33.6; M.6.872B); **d.** poverty of rich οὐδ' ἂν Μίδας τις αὐτῶν γένηται, πεπλήρωται, ἀλλὰ ἔτι π. ἐστὶ πλοῦτον ἄλλον ποθῶν Clem.*paed.*3.2 (p.242.5; M.8.569C); **e.** wrong attitude to rich and poor ὁ τιμῶν τὸ ἀργύριον...καὶ ἀποδεχόμενος τοὺς πλουσίους ὡς θεούς, τοὺς δὲ π. ὡς μὴ ἔχοντας τὸν θεὸν αὐτῶν ἐξουθενῶν, οὗτος θεοποιεῖ τὸ ἀργύριον Or.*hom.7.3 in Jer.*(p.53.32; M.13.333A); **f.** question whether rich martyrs have more glory than poor, answered in affirmative, Or. *mart.*15(p.15.4ff.; M.11.581D–584B) cit. s. *μάρτυς*; **4.** spiritually π. γὰρ καὶ γυμνὸς ἀπὸ κοινωνίας πνεύματος ὑπάρχων Mac.Aeg.*hom.*18.3 (M.34.636C); ὁ δὲ π. καὶ μὴ κεκτημένος ἐκ τοῦ πλούτου τοῦ Χριστοῦ ...εἰ καὶ βούλεται οὗτος λόγον ἀληθείας λαλεῖν...ἀλλ' ἐν δυνάμει καὶ ἀληθείᾳ τὸν λόγον τοῦ θεοῦ μὴ κεκτημένος ἐν ἑαυτῷ, ἀλλὰ μόνον ἀπομνημονεύων καὶ κιχρώμενος λόγους ἐξ ἑκάστης γραφῆς, ἢ παρὰ πνευματικῶν ἀνδρῶν ἀκούσας...ἰδοὺ ἄλλους μὲν δοκεῖ εὐφραίνειν,... μετὰ δὲ τὸ διηγήσασθαι αὐτόν, ἕκαστος λόγος πρὸς τὰ ἴδια ἀφ' ὧν ἤρθη, ἀπέρχεται, καὶ αὐτὸς πάλιν γυμνὸς ἀπομένει καὶ π., μὴ ἔχων ἴδιον θησαυρὸν πνεύματος *ib.*18.5(637B,C); οὐκ ἔστι π. ὁ μηδὲν ἔχων, ἀλλ' ὁ πολλῶν ἐπιθυμῶν Chrys.*hom.2.5 in Phil.*(11.209E).

***πενητοκόμος**, *ministering to the poor*, Gr.Naz.*carm.*2.2(epitaph.) 13.4(M.38.49A); *ib.*2.1.50.47(M.37.1388A).

πληρ-όω, A. *fill*; **1.** with spiritual gifts, power, etc. πρόσωπον... χάριτος ἐπληροῦτο *M.Polyc.*12.1; ὁ ἄγγελος τοῦ προφητικοῦ πνεύματος...~οῖ τὸν ἄνθρωπον, καὶ ~ωθεὶς ὁ ἄνθρωπος τῷ πνεύματι τῷ ἁγίῳ λαλεῖ Herm.*mand.*11.9; ~ωθήσεσθαι χαρᾶς *Diogn.*10.3; ~ωθέντας χαρᾶς καὶ πίστεως Just.*1apol.*49.5(M.6.401A); δικαιοσύνης ~οῖ Clem.*prot.*10(p.76.14; M.8.224A); πεπλήρωκεν τὸ πάθος τοῦ κυρίου ἡμᾶς μὲν εὐωδίας, Ἑβραίους δὲ ἁμαρτίας id.*paed.*2.8(p.195.17; M.8. 468C); οὐ χρὴ οὖν μόνον κενῶσαι τὴν ψυχήν, ἀλλὰ καὶ ~ῶσαι θεοῦ...διὸ κενώσαντας τῶν κακῶν δεῖ ~ῶσαι τὴν ψυχὴν τοῦ ἀγαθοῦ θεοῦ, ὅπερ ἐστὶν οἰκητήριον ἐπιλελεγμένον, ~ωθέντων γὰρ τῶν κενῶν, τότε ἡ σφραγὶς ἐπακολουθεῖ ἵνα φυλάσσηται τῷ θεῷ τὸ ἅγιον id.*ecl.*12(p.140.

12; M.9.704C); in Marcosian administration of Communion ἡ... χάρις ~ώσαι σου τὸν ἔσω ἄνθρωπον Iren.*haer*.1.13.2(M.7.581A); χωρίον...πολλῆς ἀναπαύσεως πεπληρωμένον Meth.*symp*.proem.(p.6.2; M.18.33A); in consecration prayer ~ωσον καὶ τὴν θυσίαν ταύτην τῆς σῆς δυνάμεως καὶ τῆς σῆς μεταλήψεως Serap.*euch*.13.11; at commixture ~ωσον...τὸ...ποτήριον. ὁ δὲ ἱερεὺς...λέγων πλήρωμα ποτηρίου πίστεως, πνεύματος ἁγίου *Lit.Chrys*.(p.394.3); **2.** of God πάντα γὰρ ὑπὸ τούτου πεπλήρωται Athenag.*leg*.8.3(M.6.905B); τὸ μὲν γὰρ πεπληρῶσθαι τῆς ἰδίας μακαριότητος...πρεπωδέστατον τῷ θεῷ †Bas. *Is*.25(1.398A; M.30.165C); αὐτοὺς δύνασθαι εἶναί τε καὶ καλεῖσθαι... κατὰ τὴν χάριν θεούς, διὰ τὸν αὐτοὺς ὅλως ~ώσαντα ὅλον θεόν ‡Bas.*h. myst*.62(p.397.23); διὰ πάντων ἥκειν καὶ ~οῦν τὰ πάντα θεόν Jo.D.*f.o*. 1.4(M.94.797C); **3.** of Christ ὁ διδάσκαλος...~ώσας τὰ πάντα δυνάμεσιν ἁγίαις Clem.*prot*.11(p.79.10; M.8.229A); Ath.*gent*.1(M.25.4B); τῇ γὰρ θεότητι αὐτοῦ τὰ πάντα σὺν τῷ πατρὶ ~οῖ ἀεί Gel.Cyz.*h.e*.2.24.21(M.85. 1304A); ref. Eph.1:23 (sts. in sense B.1 infra) ~οῦται ἐν πᾶσι τοῖς προσιοῦσιν ὁ Χριστός, λείπων τούτοις πρὶν προσέλθωσι...ἐνόει βασιλέας ~ούμενον τῆς βασιλείας καθ' ἕκαστον τῶν αὐξόντων τὴν βασίλειαν, κενούμενον δὲ ταύτης ἐν τοῖς ἀφισταμένοις Or.*comm.in Eph*.1:23 (p.402); πλήρωμα, φησίν· οἷον κεφαλὴ ~οῦται παρὰ τοῦ σώματος· τουτέστι, διὰ πάντων τὸ σῶμα συνέστηκε, καὶ ἑνὸς ἑκάστου, οὐχὶ κοινῇ μόνον αὐτὸν χρῄζοντα εἰσάγει. ἂν γὰρ μὴ ὦμεν πολλοί,...οὐ ~οῦται ὅλον τὸ σῶμα. διὰ πάντων οὖν ~οῦται τὸ σῶμα αὐτοῦ. τότε ~οῦται ἡ κεφαλή, τότε τέλειον σῶμα γίνεται, ὅταν ὁμοῦ πάντες ὦμεν συνημμένοι Chrys.*hom*.3.2 *in Eph*.(11.20A,B); πλήρωμα τοῦ θεοῦ λέγει τὸ σῶμα τοῦ Χριστοῦ, τοῦτ' ἔστι τὴν ἐκκλησίαν. διὰ τί δὲ πλήρωμα; ἐπειδὴ πεπλήρωται θεοῦ· ὥσπερ γὰρ...ἐν πᾶσι τὰ πάντα ~οῖ, οὕτως καὶ ἐν τῇ ἐκκλησίᾳ ~οῦται κατὰ τὸ εἶναι αὐτὴν σῶμα τοῦ Χριστοῦ...τοῦ τὰ πάντα ἐν πᾶσι ~ουμένου. ἔστι γὰρ ἐν οὐρανῷ... ἐνεργῶν οὐχ ὡς ἐν γῇ, καὶ ἔστιν ἐν γῇ, οὐχ ὡς ἐν οὐρανῷ ἐνεργῶν, ἀλλ' ἐν ἑκάστῳ κατὰ τὴν αὐτοῦ φύσιν Sever.*Eph*.1:22–23(p.307.18ff.); 'τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσι ~ουμένου'. ἐκκλησίαν...προσηγόρευσε τοῦ...Χριστοῦ σῶμα...ἐπλήρωσε γὰρ αὐτὴν παντοδαπῶν χαρισμάτων, καὶ οἰκεῖ ἐν αὐτῇ Thdt.*Eph*.1:23(3.409); ref. Is.11:1–3 πῶς δύναται ἀποδειχθῆναι προϋπάρχων, ὅστις διὰ τῶν δυνάμεων τοῦ πνεύματος τοῦ ἁγίου...~οῦται ὡς ἐνδεὴς τούτων ὑπάρχων; Just.*dial*.87.2(M.6.684A); **4.** Trin. οὐ γὰρ...ἀντεμβιβαζόμενοι εἰς ἀλλήλους εἰσίν, ἐν τῷ λέγεσθαι [Jo.14:10], ὥσπερ ἐν ἀγγείοις κενοῖς ἐξ ἀλλήλων ~ούμενοι· ὥστε τὸν υἱὸν ~οῦν τὸ κενὸν τοῦ πατρός, τὸν δὲ πατέρα ~οῦν τὸ κενὸν τοῦ υἱοῦ... πλήρης γὰρ...ἐστιν ὁ πατήρ, καὶ πλήρωμα θεότητος ὁ υἱός Ath.*Ar*.3.1 (M.26.324B).

B. *make complete*; **1.** in gen., Clem.*paed*.3.12(p.290.4; M.8.677B); id.*str*.4.13(p.287.26; M.8.1297B); ἕκαστος ἴδιον ἔχει χάρισμα...οἱ ἀπόστολοι δὲ ἐν πᾶσι πεπληρωμένοι *ib*.4.21(p.307.27; 1345A); ~ωθείσης...τῆς...περιόδου ὁ κύριος ἐλεύσεται id.*ecl*.56(p.153.5; M.9.725A); Σίμων, ὃς ἐβαπτίσθη μέν,...μὴ γενόμενος πεπληρωμένος, ἀλλ' ἐλλείπων Thdt.*Cant*.5:12(2.118); **2.** *set out fully* π. καὶ κηρῦξαι τὴν γνῶσιν πᾶσιν Eus.*d.e*.3.6(p.136.11; M.22.229C); **3.** pass., of the moon, *wax*, Thdt. *Cant*.6:9(2.132); Manichean τὰς ψυχὰς...ὁ μέγας φωστὴρ ταῖς ἀκτῖσι λαβὼν καθαρίζει καὶ μεταδίδωσι τῇ σελήνῃ, καὶ οὕτως ~οῦται τῆς σελήνης ὁ δίσκος Hegem.*Arch*.8(p.13.2; M.10.1440B); **4.** *fill in, complete* an outline sketch, Clem.*str*.4.1(p.248.15; M.8.1216A); **5.** *pay in full*, *A.Thom*.B 11(p.30.23); ἔλαβον τὸ...γεγραμμένον καὶ ἐπληρώθην, καὶ οὐδένα λόγον ἔχω πρὸς σέ Jo.Mosch.*prat*.195(M.87. 3080C); **6.** *grow up, come of age*, Jo.Mal.*chron*.14 p.361(M.97.537A); **7.** *finish* ~ώσαντος τὴν εὐχὴν *M.Polyc*.15.1; Thdt.*Heb*.proem.(3. 544); Jo.Mal.*chron*.6 p.152(M.97.252C); abs. ἐπλήρωσας διάβολε; *Contrad*.1(p.7).

C. *fulfil*; **1.** *carry out fully* ~οῦσθαι...τὴν ἀνάστασιν Meth.*res*.3. 5(p.394.18; M.18.317D); ὁ πάντων θάνατος ἐν τῷ κυριακῷ σώματι ἐπληροῦτο Ath.*inc*.20.5(M.25.132B); εἰ ἐν τοῖς ἀποστόλοις καὶ ἐν ἡμῖν τὸ δικαίωμα τοῦ νόμου πεπλήρωται, πῶς σύ, ὦ Μαρκίων, τολμᾷς λέγειν τὸν νόμον ἀλλότριον τῶν κατὰ τὸ πλήρωμα τοῦ νόμου δικαιουμένων ἀποστόλων; Epiph.*haer*.42.12(p.177.29; M.41.805C); τὸν υἱὸν...πέπομφεν, ὥστε τὸ τῆς ἐνανθρωπήσεως ~ῶσαι μυστήριον Thdt.*Gal*.4:5(3. 382); **2.** *execute, perform*, Meth.*res*.1.60(p.324.14; M.41.1157A); Const. ap.Eus.*v.C*.2.32(p.55.6; M.20.1009B); μὴ χειρὸς ἐνέργειαν ἀλλὰ ποδὸς ~οῖς Thdt.*1Cor*.12:16(3.247); διακόνου...~οῦντος τὰς ἀποκρίσεις... τοῦ...πατριάρχου CCP(536)*act*.1(*ACO* 3 p.127.33; H.2.1189B); hence *celebrate* a festival, Const.ap.Thdt.*h.e*.1.10.3(3.770); **3.** *fulfil* a rule τάξιν Ἀβραμιαίαν ~ῶν Cosm.Ind.*top*.2(M.88.73A); **4.** *fulfil* a prophecy or type, *T.Neph*.7.1; Clem.*prot*.12(p.85.21; M.8.244A); id.*exc.Thdot*. 4(p.106.22; M.9.656B); Meth.*symp*.8.8(p.90.6; M.18.149B); Eus.*d.e*. 9.1(p.407.13; M.22.656D); Thdt.*Ezech*.24:18(2.881).

D. phrase π. τὰς χεῖρας; **1.** *fill the hands* (Hebr. מִלֵּא אֶת־יַד) of a priest so as to consecrate him, *T.Lev*.8.9–10; **2.** *bribe*, Pall. *v.Chrys*.16(p.96.26; M.47.55).

πλήρωμα, τό, A. in gen.; **1.** *that which fills, filling* τὸ ἄλογον τῆς τροφῆς πλήρωμα χόρτασμα, οὐ βρῶμα εἰπών Clem.*paed*.1.11(p.147.17; M.8.365B); τὸ π. ... τῆς ἐνδείας *ib*.2.10(p.219.4; 520C); π. ποτηρίου πίστεως, πνεύματος ἁγίου *Lit.Chrys*.(p.394.3); **2.** *totality, sum* σύστημα καὶ...π. τῶν ἀρετῶν †Dion.Al.*fr*.4 *in Job*(p.206.18); τὸ π. πατρὸς καὶ υἱοῦ οὐσίαν μίαν εἶναι Const.ap.Gel.Cyz.*h.e*.3.19.14; Gr. Naz.*carm*.1.2.25.529(M.37.849A); Gr.Nyss.*anim.et res*.(M.46.85A); θεὸς...ὃς ἀγαθῶν ἐστι τὸ π. Proc.G.*Gen*.1:27(M.87.128D); πνεῦμα τὸ ἅγιον...ἐν ᾧ τὸ π. ὑπάρχει τῶν ἀγαθῶν Max.*myst*.7(M.91.688A); τὸ π. τῆς ὀργῆς Olymp. *Job* 20:29(M.93.220D); π. τῶν δέκα ἑορτῶν Jo.Eub. *concept.BMV* 22(M.96.1497B); **3.** *completion* of a number or series, Gr.Nyss.*hom*.6 *in Cant*.(M.44.904D); ‡Ath.*qu.Ant*.52(M.28.629C); **4.** *completion, perfection* π. δὲ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι Clem.*q.d.s*.9(p.165.21; M.9.613A); ἀγάπη δὲ εἰς π. συνέρχεται *ib*.38(p.185.2; 644B); Gr.Nyss.*ep*.12(M.46.1045C); ref. title Χριστός: τὸ δὲ τοῦ κυρίου χρῖσμα, πάσης ἐστὶν ἁγιωσύνης π. Hesych.H.*fr.Ps*.110:9(M.93.1328A); Olymp.*fr.Jer*.51:5(M.93.717C); of Pentecost ἐσχάτην καὶ μεγάλην...ἑορτήν, π. τῆς...τοῦ κυρίου... οἰκονομίας Jo.Eub.*concept.BMV* 22(M.96.1497B); **5.** *fulfilment*; **a.** of time ὥσπερ ὁ καιρὸς τοῦ παραλαβεῖν τὴν πατρῴαν κτῆσιν τὸν κληρονόμον ἐν ἡλικίᾳ ἀνδρὸς π. ἄν πως ὀνομάζοιτο...οὕτως ἐν π. τῶν καιρῶν γένοιτ' ἂν ὁ διὰ...προκοπῶν καταντήσας ἐπὶ τὸ δύνασθαι τὰ προωρισμένα...τοῖς ἁγίοις λαβεῖν Or.*comm.in Eph*.1:9(p.241); τὴν ἐκ τοῦ νόμου σκιάν, ἣν ἀπέβαλεν ἀφ' ἑαυτοῦ ἐν τῷ π. τῶν καιρῶν †Bas.*Is*.63 (1.425C; M.30.228D); ref. time of Last Supper ἡ δὲ ἑσπέρα τοῦ π. τῶν καιρῶν τεκμήριον ἦν Chrys.*hom*.82.1 *in Mt*.(7.782B); ὅτε ἦλθε τὸ π., τίκτει id.*comm.in Gal*.4:29,30(10.712B); **b.** of prophecy, types, etc. ἀπὸ νόμου καὶ προφητῶν τοῦ τε εὐαγγελικοῦ π. Or.*or*.2(p.300. 31; M.11.420B); Manichean τὸ καινὸν οὐκ ἔστι π. τοῦ παλαιοῦ...οὐκ ἔστι π. νόμου οὐδ' ὁ Χριστὸς οὐδ' ὁ ἀπόστολος Adam.*dial*.2.16(p.90.7; M.11.1784C); Epiph.*haer*.30.27(p.370.17; M.41.452D); Cyr.*Jo*.1.7(4. 61A); ὅτε δὲ ἦλθεν τὸ π. τοῦ νόμου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ [cf. Gal.4:4] Procl.CP *hom*.2.2(M.65.840A); τὸ π. τοῦ νόμου καὶ τῶν προφητῶν αὐτὸς ὑπάρχων Χριστέ *Lit.Chrys*.(p.398.12); **6.** *satiety* π. τῆς γαστρός Niceph.Ur.*v.Sym*.34(M.86.3017A); **7.** ἐν π. *fully, completely*, Epiph.*haer*.26.8(p.285.8; M.41.344B); *ib*.26.10(p.288.6; 345D); **8.** *complement, crew* ναυτῶν π. Chrys.*kal*.1(1.697A); **9.** *whole body* or *company, total number of persons*; **a.** in gen., of citizens τὸ π. τῆς οὐρανοπόλεως Meth.*lepr*.10(p.464.15); τὸ π. τῆς συνόδου Eus.*v.C*. 4.43(p.135.23; M.20.1193B); Bas.*ep*.92.3(3.185D; M.32.481B); Cyr.*ep*. 49(p.34.21; 5^2.158C); πεντήκοντα δὲ καὶ διακοσίους φησὶν εἶναι τὸ π. τοῦ...συνεδρίου Philost.*h.e*.2.7(M.65.472A); in derogatory sense, *crew, gang*, Epiph.*haer*.76.15(M.42.548A; conj. συστήματος p.361. 10); **b.** of angels ἅπαν τῶν ἀγγέλων τὸ π. Gr.Nyss.*Eun*.4(2 p.63.23; M.45.636A); **c.** of Christian congregation μήθ' ὅλως εἰς ἐκκλησίας π. παραδέχεσθαι Bas.*ep*.160.2(3.249D; M.32.624B); τῶν πιστῶν τὸ π. Chrys.*pan.Barl*.1(2.681C); Thphn.*chron*.p.275(M.108.681B); **d.** of clergy τοῦ ἱεροῦ π. τοῦ ὑπὸ σὲ κλήρου Bas.*ep*.69.1(3.162A; M.32. 429B); τῷ ἱερατικῷ π. *ib*.240.3(370D; M.897B); Chrys.*hom*.3.4 *in Phil*.(11.217F); Philost.*h.e*.10.1(M.65.584B); **e.** of members of universal Church, Gr.Naz.*or*.4.12(M.35.541B); ὑπὲρ...παντὸς τοῦ π. τῆς ἐκκλησίας δεηθῶμεν *Lit*.ap.*Const.App*.8.13.4; τὸ κοινὸν τῆς ἀδελφότητος π. Gr.Nyss.*instit*.(p.67.6; M.34.424A); Chrys.*hom*.2.2 *in Rom*.(9. 437E); id.*hom*.3.3 *in Col*.(11.348B); cf.Thdr.Mops.*Col*.1:19(p.275.11); π. τὴν ἐκκλησίαν...ὡς τῶν θείων χαρισμάτων πεπληρωμένην Thdt. *Col*.1:19(3.479); CCP(448)*act*.2(*ACO* 2.1.1 p.214.12; H.2.128E); of all orders in Church ὕμνον...ἅμα πᾶσι τοῖς τῆς ἐκκλησίας π. ἱερολογεῖ Dion.Ar.*e.h*.2.2.4(M.3.393C).

B. theol., *plenitude, fullness, divine perfection*; **1.** of God Ἰγνάτιος ...τῇ εὐλογημένῃ ἐν μεγέθει θεοῦ πατρὸς πληρώματι...ἐκκλησίᾳ Ign. *Eph*.proem.; cf. ἣν καὶ ἀσπάζομαι ἐν τῷ π. id.*Trall*.proem.(where perh. = *fullness* of blessing); τάχα γὰρ ἡ μὲν τοῦ Ἰησοῦ ψυχὴ ἐν τῇ ἑαυτῆς τυγχάνουσα τελειότητι ἐν θεῷ καὶ τῷ π. ἦν, καὶ ἐκεῖθεν ἐξεληλυθυῖα...ἀνέλαβεν τὸ...σῶμα Or.*Jo*.20.19(17; p.351.26; M.14.616A); τὸ ...αὐτὸ δι' ἑαυτοῦ π. ὃν καὶ αὐτὸ ἐν ἑαυτῷ μένον Meth.*creat*.3(p.495. 7; M.18.333D); of Father τὸ π. τοῦ αἰῶνο[s] *Pap.Chr*.(p.405); οὐδὲν ἐν ἑαυτῷ κτιστὸν...ἔχει θεὸς...οὐκ ἀλήθειαν οὐδὲ ὅλως τι τῶν ἐν τῷ π. τοῦ θείου κόλπου θεωρουμένων Gr.Nyss.*Eun*.3(2 p.17.21; M.45.581B); Nonn.*par.Jo*.1:16(M.43.752C); **2.** of Son, ref. inspiration of scripture ἐκ γὰρ τοῦ π. αὐτοῦ λαβόντες οἱ προφῆται λέγουσι· διὸ πάντα πνεῖ ⟨αὖ⟩τῶν ἀπὸ π.· καὶ οὐδέν ἐστιν ἐν προφητείᾳ ἢ νόμῳ ἢ εὐαγγελίῳ ἢ ἀποστόλῳ, ὃ οὐκ ἔστιν ἀπὸ π. διὰ τοῦτο ἐπεί ἐστιν ἀπὸ π., πνεῖ τοῦ π. τοῖς ἔχουσιν ὀφθαλμοὺς βλέποντας τὰ τοῦ π., καὶ ὦτα ἀκούοντα τῶν ἀπὸ π., καὶ αἰσθητήριον τῆς εὐωδίας τῶν ἀπὸ π. πνεόν⟨των⟩ Or.*fr.hom*.21

in Jer.(p.196.1ff.; M.14.1310C); οὐ μόνον νόμου ἐστὶ π., ἀλλὰ καὶ πάντων τῶν π. ἐστὶ π., οὐκ ἂν χωρὶς αὐτοῦ τινὸς πλήρους γινομένου... καθάπερ διὰ τὴν πολλὴν...κοινωνίαν τοῦ υἱοῦ πρὸς τὰ λογικὰ ὥσπερ π. ἐστι πάντων τῶν λογικῶν ὁ υἱὸς...οὕτως καὶ αὐτὸς ὡσπερεὶ π. εἰς ἑαυτὸν ἀναλαμβάνει, πληρέστατος ἀποδεικνύμενος καθ' ἕκαστον τῶν μακαρίων id.*comm.in Eph.*1:20–23(p.402); ref. Inc. ἀπὸ τοῦ π. τῆς θεότητος εἰς τὸν βίον ἐληλυθότος Meth.*symp.*8.11(p.95.16; M.18.156A); τὸ π. τῆς πατρικῆς θεότητος καὶ αὐτὸν υἱὸν θεὸν ὑπεστήσατο Eus.*e.th.*1.2(p.63.21; M.24.832B); λόγον ὄντα...παντός τε καλοῦ καὶ ἀγαθοῦ π. *ib.*3.2(p.142.14; 977A); πλήρης γὰρ...ὁ πατήρ, καὶ π. θεότητός ἐστιν ὁ υἱός Ath.*Ar.*3.1(M.26.324B); π. τῆς τοῦ πρώτου καὶ μόνου θεότητος, ὅλος καὶ πλήρης ὢν θεός *ib.*3.6(333C); ἀγαθοῦ παντὸς π. ὁ υἱός Gr.Nyss.*Eun.*9(2 p.210.31; M.45.808D); περὶ...πάντων, ὅσα τὸν πατρικὸν πληροῖ κόλπον, ὁ μονογενὴς θεὸς ἐν τῷ ἰδίῳ π. τὰ πάντα ὤν *ib.*3(2 p.28.29; 593D); ἐκεῖνος φύσει π. ἐστιν,...θεότης ὑπάρχων τῇ οὐσίᾳ...ἡμεῖς δὲ ἐκ τοῦ π. ... χάριν ἐλάβομεν, ἥπερ φύσει...οὐκ εἴχομεν Didym.*Trin.*1.27(M.39.401B); ref. Col.2:9 περὶ τοῦ πατρός τινές φασι λέγειν, ὅτι τῆς θεότητος τὸ π. ἐν αὐτῷ οἰκεῖ· πρῶτον μέν, ὅτι τὸ οἰκεῖν οὐ κυρίως λέγεται ἐπὶ θεοῦ· δεύτερον, ὅτι τὸ π. οὐ τὸ δεχόμενόν ἐστι· 'τοῦ γὰρ κυρίου ἡ γῆ, καὶ τὸ π. αὐτῆς'...τὸ ὅλον λέγεται π. Chrys.*hom.6.2 in Col.*(11.366E); cf. *omnem plenitudinem divinitatis hoc in loco iterum dicit universam creaturam repletam ab eo,* Thdr.Mops.*Col.*2:9(p.286.3); cf.Thdt.*Col.*1:19(3.479); π. τῆς θεότητος, τὸ ὡς ἐν ἰδίῳ ναῷ τῇ ἰδίᾳ σαρκὶ καταλῦσον Cyr.*Is.*2.1(2.194B); τὸ π. τοῦ δι' ἡμᾶς ἑαυτὸν κενώσαντος id.*Heb.*1:2(p.365.1); in rel. to H. Ghost ἡμεῖς...ἔχομεν τὴν τοῦ πνεύματος χάριν, ἐκ τοῦ π. αὐτοῦ λαμβάνοντες Ath.*Ar.*1.50(M.26.117B); 'abiding' of Spirit upon Christ at baptism signifies his possession of divine π., Cyr.*Is.*2.1(2.194B); **3.** of Trin., Ath.*Ar.*1.18(M.26.49A); Cyr.*Jo.*1.2(4.16B); ὁμοουσίου τριάδος τὸ π. *ib.*3.2(262E); id.*thes.*4(5[1].27A); **4.** Gnost., of totality of aeons, whole of divine sphere, Iren.*haer.*1.1.3(M.7.449B) cit. s. αἰών; from which Sophia fell, *ib.*1.2.4(460A); ὅρους τε δύο ὑπέθετο, ἕνα μὲν μεταξὺ τοῦ βυθοῦ καὶ τοῦ λοιποῦ π., διορίζοντα τοὺς γεννητοὺς αἰῶνας ἀπὸ τοῦ ἀγεννήτου πατρός· ἕτερον δὲ τὸν ἀφορίζοντα αὐτῶν τὴν μητέρα ἀπὸ τοῦ π. καὶ τὸν Χριστὸν δὲ οὐκ ἀπὸ τῶν ἐν τῷ π. αἰώνων προβεβλῆσθαι, ἀλλὰ ὑπὸ τῆς μητρὸς ἔξω γενομένης...καὶ...ἀναβραμεῖν εἰς τὸ π. *ib.*1.11.1(561B); π. τῆς πρώτης ὀγδοάδος *ib.*1.11.5(569A); in Ptolemaean doctrine of Σωτήρ: οἱ μὲν γὰρ αὐτὸν ἐκ πάντων γεγονέναι λέγουσιν· διὸ καὶ εὐδοκητὸν καλεῖσθαι, ὅτι πᾶν τὸ π. ηὐδόκησεν *ib.*1.12.4(576A); Clem.*str.*2.8(p.133.22; M.8.973C); also of syzygies of aeons ὅσα ἐκ συζυγίας προέρχεται, π. ἐστιν, ὅσα δὲ ἀπὸ ἑνός, εἰκόνες *ib.*4.13(p.288.1; 1297B); ἐν π. οὖν ἑνότητος οὔσης ἕκαστος τῶν αἰώνων ἴδιον ἔχει π., τὴν συζυγίαν...ὅθεν ὁ Θεόδοτος τὸν Χριστὸν ἐξ ἐννοίας προελθόντα τῆς σοφίας εἰκόνα τοῦ π. ἐκάλεσεν. οὗτος δὲ καταλείψας τὴν μητέρα ἀνελθὼν εἰς τὸ π. ἐκράθη, ὥσπερ τοῖς ὅλοις, οὕτω δὲ καὶ τῷ παρακλήτῳ· υἱόθετος...γέγονεν ὁ Χριστὸς ὡς πρὸς τὸ π. ἐκλεκτὸς γενόμενος καὶ πρωτότοκος τῶν ἐνθάδε πραγμάτων id.*exc.Thdot.*32–33(p.117.15; M.9.676A); τὰ δὲ τοῦ προνάου, ὅπου καὶ οἱ Λευῖται, σύμβολον εἶναι τῶν ἔξω τοῦ π. ψυχικῶν εὑρισκομένων ἐν σωτηρίᾳ Heracleon ap.Or.*Jo.*10.33(19; p.206.34; M.14.365C); τῆς Σαμαρείτιδος τὸν...ἄνδρα τὸ π. εἶναι αὐτῆς, ἵνα σὺν ἐκείνῳ γενομένη πρὸς τὸν σωτῆρα κομίσασθαι παρ' αὐτοῦ τὴν δύναμιν καὶ τὴν ἕνωσιν...τὴν πρὸς τὸ π. αὐτῆς δυνηθῇ. ... αὐτῇ τὸν σωτῆρα εἰρηκέναι· φώνησόν σου τὸν ἄνδρα...δηλοῦντα τὸν ἀπὸ τοῦ π. σύζυγον Heracleon *ib.*13.11(p.235.20; 416A); Heracleon *ib.*13.19(p.243.21; 432A); Naassene τοῦτο...ἐστὶ τὸ μέλι καὶ τὸ γάλα, οὗ γευσαμένους τοὺς τελείους ἀβασιλεύτους γενέσθαι καὶ μετασχεῖν τοῦ π. τοῦτο...ἐστὶ τὸ π., δι' οὗ πάντα ⟨τὰ⟩ γινόμενα γεννητὰ ἀπὸ τοῦ ἀγεννήτου γέγονέ τε καὶ πεπλήρωται Hipp.*haer.*5.8(p.94.28; M.16.3147C); νοῦν καὶ ἀλήθειαν, τουτέστι δυάδα, ἥτις...ἀρχὴ γέγονε...πάντων τῶν ἐντὸς π. καταριθμουμένων αἰώνων *ib.*6.29(p.156.18; 3238A); γενομένης οὖν ἐντὸς π. ἀγνοίας κατὰ τὴν σοφίαν καὶ ἀμορφίας κατὰ τὸ γέννημα τῆς σοφίας, θόρυβος ἐγένετο ἐν τῷ π. *ib.*6.31(p.158.15; 3239B); σταυρὸν ὃς...ὅρος γίνεται τοῦ π., ἔχων ἐντὸς ἑαυτοῦ πάντας...τοὺς... αἰῶνας *ib.*(p.159.10; 3242A); *ib.*6.37(p.168.1; 3254A); *ib.*8.10(p.229.24; 3354C); τάς τε ἐντὸς τοῦ ὅρου προβολὰς γεγενημένας πάλιν καλεῖσθαι ἐντὸς π., δεύτερα δὲ τὰ ἐκτὸς π., καὶ τρίτα τὰ ἐκτὸς τοῦ ὅρου, ὧν ἡ γέννησις τὸ ὑστέρημα ὑπάρχει *ib.*10.13(p.274.6; 3427B); Χριστὸν ἐκ τοῦ ἐντὸς π., κατεληλυθέναι ἐπὶ σωτηρίᾳ τοῦ ἀποπλανηθέντος πνεύματος *ib.*(p.274.11; 3427B); Epiph.*haer.*21.4(p.243.20; M.41.292B); *ib.*23.4(p.252.16; 304A); ἡ κατὰ συζυγίαν πνευματικοῦ...π. κενοφωνία *ib.*31.3(p.386.15; 477B).

***πληρωματικός,** *perfecting* π. ἐστι καὶ τέλειος ὁ ἀριθμὸς ὁ ἑπτά Didym.*Trin.*2.14(M.39.700C); id.ap.*cat.Rom.*8:10(p.229.30) for πληρωτικόν id.(‡Bas.)*Eun.*5(1.305B; M.29.732B); Eutych.*pasch.*5(M.86.2397B).

πλήρωσις, ἡ, **1.** *filling, making full* τὸ γὰρ κενὸν πᾶν ἐπιθυμεῖ πληρώσεως Clem.*paed.*2.10(p.211.4; M.8.504A); of fullness of Logos replacing former emptiness of things when they receive him, Eus.*d.e.*4.13(p.173.8; M.22.288C); of fullness of God ἀπ' ἐμοῦ πληροῦνται οἱ ἅγιοι. Στέφανος πλήρης χάριτος...Παῦλος...πλήρης πνεύματος ἁγίου...ἐκ ταύτης τῆς π. καὶ Ἀβραὰμ ἦν...πλήρης ἡμερῶν †Bas.*Is.*25(1.399B; M.30.168B); τὴν διὰ τοῦ θείου πνεύματος π. Didym.(‡Bas.)*Eun.*5(1.309D; M.29.741C); εἰ κτίσμα ἐτύγχανεν ὂν τὸ ἅγιον πνεῦμα, ἦ ὁ υἱός· ποῦ ἦν χρεία τὸ κτίσμα ἁγιάζειν, καὶ ποιεῖν τὴν π.; id.*Trin.*2.6(M.39.525A); κατὰ τὸν τρόπον τῆς μυστικῆς π. ... ἡ ὑπόσχεσις· δέδοται γὰρ ἡμῖν...τὸ ὕδωρ τὸ ζῶν τοῦ...βαπτίσματος Cyr.*Joel.*32(3.224E); Vict.*Mc.*10:13(p.375.3); **2.** *fulfilment*; **a.** of divine law ἡ εἰς Χριστὸν πίστις...νόμου...π. Clem.*str.*4.21(p.307.34; M.8.1345A); δικαιοσύνη ἐστὶν ἡ πασῶν τῶν ἐντολῶν π. Meth.*fr.*(p.520.8); Vict.*Mc.*10:24(p.379.34); **b.** of hope or expectation, Epiph.*haer.*33.9(p.461.5; M.41.573A); Cyr.*Jo.*2.5(4.204C); **3.** *completeness, totality* κεφαλὴν γωνίας τῆς π. τοῦ ναοῦ *T.Sal.*22.7 (v.l. συμπληρώσεως M.122.1352C); **4.** *payment in full, full discharge* of debt, met. θάνατος...χρεωστούντων π. ‡Chrys.*pat.*1(9.808C).

πληρωτέον, *one must fill up the meaning of, one must interpret the significance of* οὔτε τὸ 'θεόν μου καὶ θεὸν ὑμῶν' κατὰ τὴν τοῦ υἱοῦ θεότητα καὶ κατὰ τὴν μαθητῶν υἱοθεσίαν π. Epiph.*haer.*76.34(p.383.14; M.42.585A).

πληρωτής, ὁ, **1.** *one who completes,* of Logos ἐκ σαρκὸς γεγεννημένος καὶ τελείως τὰ πάντα πληρώσας, ὡς π. ὢν ὅλου τοῦ σκεύους Epiph.*haer.*77.27(p.440.1; M.42.680D); τοῦ νοῦ καὶ παντὸς τοῦ σώματος π. ἐγένετο *ib.*77.35(p.447.17; 693B); **2.** *one who fills up, supplies* π. τῶν ἐμῶν ὑστερημάτων *A.Thom.*A 149(p.258.11); **3.** *one who fulfils*; **a.** Law, Eus.*d.e.*1.7(p.35.9; M.22.69A); Bas.*hom.*5.8(2.41C; M.31.256C); **b.** OT types, †Cyr.*hom.div.*10(5[2].375A); **4.** *one who fulfils a debt* for another, Eus.Al.*serm.*21.3(M.86.425D); of Christ μετὰ τῶν χρεωφειλετῶν ὁ π. Eulog.*palm.*1(M.86.2916A).

πληρωτικός, **1.** *filling* ἀέρα...πάντων πληρωτικόν Clem.*str.*5.8(p.358.11; M.9.76B); Gr.Naz.*or.*31.29(p.183.7; M.36.165C); εἰ...τὸ θεῖον ἀκίνητον, ὡς πάντων πληρωτικόν Max.*ambig.*(M.91.1069B); **2.** *fulfilling* πνεῦμα...τὸ τῶν θείων ἐνεργειῶν π. Didym.(‡Bas.)*Eun.*5(1.305B; M.29.732B); τὸ π. τοῦ νόμου διὰ τῆς ἀγάπης Epiph.*haer.*42.12(p.157.14; M.41.776C); **3.** *completing* Χριστὸς οὐκ ἄλλο πρόσωπόν ἐστι παρὰ τὸν υἱόν, ἀλλὰ τῆς τριάδος πληρωτικόν Thdt.*ep.*146(4.1261).

***πληρωτικῶς,** *fully, completely,* Sophr.H.*ep.syn.*(M.87.3157C).

πλησίος, *near*; **1.** masc. as subst., *neighbour* φοβεῖσθε κύριον καὶ ἀγαπᾶτε τὸν π. *T.Benj.*3.3; μηδεὶς κατὰ σάρκα βλεπέτω τὸν π. Ign.*Magn.*6.2; Polyc.*ep.*3.3; ἀγαπήσεις τὸν π. σου ὑπὲρ τὴν ψυχήν σου *Barn.*19.5; ref. Lc.10:30–37 τὰ πρωτεῖα τῆς ἀγάπης ἀνάπτει τῷ θεῷ... τὰ δευτερεῖα νέμει τῷ π. τίς δ' ἂν ἄλλος οὗτος εἴη πλὴν αὐτὸς ὁ σωτήρ; Clem.*q.d.s.*29(p.179.3; M.9.633C); cf. *salvator noster factus est proximus nobis,* Or.*Cant.*proem.(p.70.28; M.13.70A); Epiph.*haer.*42.12(p.157.14; M.41.776C); **2.** neut. as adv.; **a.** *near* π. ... τοῦ πείθεσθαι Men.*exc.Rom.*3(p.185.24; M.113.873B); **b.** *just after,* ‡Hipp. Th.*fr.*14(p.46.10).

πλησισέληνος, *nearly full*; of the moon, Jo.D.*f.o.*2.7(M.94.897D).

***πλησιστίως,** *in full sail* π. ἔφθασεν ἐνορμισθεῖσα ταῖς θείαις ἀκοαῖς ἡ προσευχή ‡Nil.*perist.*4.6(M.79.829D).

πλήσμιος, *sated,* Nil.*praest.*13(M.79.1076D).

πλησμονικός, *for filling* with food περὶ κοινωνίας θεοπρεποῦς, οὐ πλησμονικῆς Euthal.Diac.*epp.Paul.*(M.85.756B).

[*]πληστηριάζω, v. πλειστηριάζω.

πλινθάριον, τό, *brick,* Dor.*doct.*13.8(M.88.1769C).

***πλινθάριος,** ὁ, s.v.l., *brick-maker* οἱ...π. ἐργαζόμενοι Dor.*doct.*13.8(M.88.1769B, perh. l. πλινθαρίῳ from πλινθάριον).

πλινθεία, ἡ, *brick-making,* ref. Israelites' bondage as symbolizing man's sinful state οὗτοι...τῇ γαστρὶ ζῶντες...μέγα...οὐδὲν...ἐπὶ τῶν ἔργων ἐνδείκνυνται, τῷ...τῇ π. καὶ τῷ πηλῷ προσηλοῦν ἑαυτούς Chrys.*hom.1.1 in Jo.*(8.3A); *ib.8.2*(51C); Cyr.*Is.*4.1(2.542E); id.*Jo.*4.7(4.437A); Nil.*Magn.*33(M.79.1009A); from which baptism liberates, Proc.G.*Is.*42:10–25(M.87.2369B); Dor.*doct.*13.8(M.88.1769B); †Jo.D. *B.J.*1(M.96.872B); symbolizing life of good works, Isid.Pel.*epp.*1.196(M.78.309A).

πλινθοποιΐα, ἡ, *brick-making,* ref. Egyptian bondage as typical of man's unredeemed state, Leont.B.*mesopent.*(M.86.1976C); Dor. *doct.*13.8(M.88.1769B).

***πλινθότης,** ἡ, *brick-like nature,* Gr.Nyss.*infant.*(M.46.164C).

πλινθουργία, ἡ, *brick-making*; met., of evil thoughts καλάμην συνάγουσιν εἰς τὴν παράνομον π. Evagr.Pont.*cap.pract.*A 68(M. 40.1241C) = †Nil.*mal.cog.*26(M.79.1232A); Μωϋσῆς...εἰς Αἴγυπτον, ἤγουν σκοτασμόν, πρὸς τὴν π. τοῦ νοητοῦ ἕως Φαραὼ ὑπέστρεψεν Jo. Clim.*scal.*5(M.88.780C).

πλοιάριον, τό, *skiff, boat*; met., Thdr.Stud.*epp.*1.11(M.99.944D).

***πλοιέκδικος, ὁ,** *maritime lawyer* Ἀναστάσιος ὁ...διάκονος καὶ νοτάριος ὁ π. CCP(681)*act.*10(H.3.1201B).

πλοῖον, τό, 1. *boat*; met., ref. transference of souls to moon (Manich.) π. γὰρ ἤτοι πορθμεῖα εἶναι λέγει τοὺς δύο φωστῆρας Hegem. *Arch.*8(p.13.3; M.10.1440B); **2.** *vessel, receptacle* ποιῆσαι π. μεγάλα εἰς τὴν ἐργασίαν τοῦ τέκτονος, καὶ μόδια *A.Thom.*B 14(p.31.7); *ib.*36 (p.36.14).

***πλοιοποιΐα, ἡ,** *shipbuilding*, Thphn.*chron.*p.287 (v.l. ναυπλοίας M.108.704C).

πλοκή, ἡ, 1. *wreath*; pagan use in garlanding statues of gods eschewed by Christians, Just.*1apol.*9.1(M.6.340A); worn at banquets, a sign of pagan effeminacy, Clem.*str.*7.7(p.28.16; M.9.452C); met. ὁ τὸν στέφανον τοῦτον πλέξας τῇ σῇ π. Ἰησοῦ *A.Jo.*108(p.206.7); **2.** *woven work*; in embroidery of garments, Clem.*paed.*2.10(p.221. 15; M.8.525A); Gr.Nyss.*v.Mos.*(M.44.320C); **3.** *coils* of serpent, Meth.*symp.*8.10(p.92.23; M.18.153B) cit. s. ἐκσείω; **4.** *marking* of zebra, Philost.*h.e.*3.11(M.65.497D); **5.** *complication* of thought or speech, Gr.Thaum.*pan.Or.*7(p.20.20; M.10.1076B); Gr.Naz.*carm.*1. 2.10.207(M.37.695A); Chrys.*hom.*1.2 *in Rom.*(9.432B); **6.** *concoction* ὀψοποιῶν καὶ κερασμάτων π. Gr.Naz.*carm.*2.1.12.615(M.37.1210A); **7.** *conjunction, union* οὐ...κατὰ...πλοκὴν ἄστρων...ζῶμεν Cyr.H. *catech.*2.15; of union of Persons of Trin., Didym.(‡Bas.)*Eun.*5(1. 317D; M.29.761A); of *bond* of faith, hope, charity, Sophr.H.*ep.syn.* (M.87.3149D); **8.** *embrace*, Tat.*orat.*8(p.8.24; M.6.824A); *Hom.Clem.* 6.23.

***πλοκολογία, ἡ,** *tangled story, web of deceitful speech*, Esaias *or.* 22.8(p.141; cf.M.40.1170B); Ant.Mon.*hom.*13(M.89.1841C).

***πλοτήρ, ὁ,** *sailor*, in comparison of Church with ship πλοτῆρας... τοὺς ἡγιασμένους Cyr.*Ps.*103:25(M.69.1265A).

πλουμαρικός, (Lat. *plumarius*) *embroidered*; neut. as subst., *embroidered robe*, Thdt.*qu.28 in 2Reg.*(1.429) cit. s. ἀστραγαλωτός; Proc.G.*2Reg.*13:18(M.87.1136A).

πλουμίον ([*]**πλουμμίον**), **τό,** *embroidery*, Jo.Mal.*chron.*17 p.413 (M.97.612B) = πλουμμία Chron.*Pasch.*p.332(M.92.861B).

[*]**πλουσιόδωρος,** *giving rich gifts, generous*; of God, Cyr.*fr.3Reg.* 3:10(M.69.688D); id.*Zach.*59(3.739E); id.*Jo.*2.1(4.137E); of Christ, id. *Is.*5.1(2.732A); id.*Abac.*51(3.566B); of Joasaph π. γὰρ ὢν τὴν ψυχήν †Jo.D.*B.J.*33(M.96.1181C).

***πλουσιολόγος,** *rich in words*, hence *speaking in many ways*; of Son, Didym.*Trin.*3.5(M.39.840B).

***πλουσιοπάροχος,** *munificent*, †Gregent.*leg.Hom.*proem.(M.86. 580C).

***πλουσιοπαρόχως,** *munificently*, †Gregent.*leg.Hom.*proem.(M. 86.580B).

***πλουσιοποιός,** *enriching*, Pall.*h.Laus.*(M.34.1220B).

πλούσιος, fanciful etym. πλούσιον καλοῦμεν ἀντὶ τοῦ πολυούσιον Thdr.Raith.*praep.*(p.201.5).

A. *wealthy*; **1.** in gen. τὴν φειδωλίαν πενίαν λέγει, καθ' ἣν οἱ π. πένονται μεταδόσεως, ὡς οὐκ ἔχοντες Clem.*paed.*3.4(p.254.9; M.8. 600A); τοὺς π. μαθηματικῶς ἀκουστέον, τοὺς δυσκόλως εἰσελευσομένους εἰς τὴν βασιλείαν, μὴ...σαρκίνως...οὕτως καὶ ἀπορός τις ὢν...εὑρεθείη ποτ' ἂν μεθύων ταῖς ἐπιθυμίαις, καὶ χρήμασι πλούσιος νήφων καὶ πτωχεύων ἡδονῶν id.*q.d.s.*18(p.171.4; M.9.621C); ὁ...ἀποδεχόμενος τοὺς π. ὡς θεούς, τοὺς δὲ πένητας...ἐξουθενῶν, οὗτος θεοποιεῖ τὸ ἀργύριον Or.*hom.*7.3 *in Jer.*(p.53.32; M.13.333A); π. εἶ; μὴ δανείζου. πένης εἶ; μὴ δανείζου Bas.*hom.in Ps.*14(1.110C; M.29.272C); ἀκούετε, οἱ π., ὁποῖα συμβουλεύομεν τοῖς πτωχοῖς διὰ τὴν ὑμετέραν ἀπανθρωπίαν· ἐγκαρτερεῖν μᾶλλον τοῖς δεινοῖς, ἢ τὰς ἐκ τῶν τόκων συμφορὰς ὑποδέχεσθαι *ib.*(112D; M.277B); π. ἐστι; φιλοσοφήσει τὸ ἀποπλουτεῖν Gr.Naz.*or.*26.11(M.35.1244A); πάντες ἀπολαύουσιν ἐξ ἴσης αὐτοῦ [sc. τοῦ ἡλίου], καὶ πένητες καὶ π. Chrys.*hom.*12.5 *in 2Cor.*(10.527E); π., ἵνα μὴ μέγα εἶναι νομίζητε τὸν πλοῦτον χωρὶς ἀρετῆς id.*Laz.*2.1(1. 727A); **2.** ref. disadvantages of wealth, Herm.*sim.*2.5; δύσκολον εἶναι π. εἰσέρχεσθαι εἰς τὴν τοῦ θεοῦ βασιλείαν· εἴτε πλούσιόν τις λαμβάνει ἁπλούστερον τὸν ὑπὸ πλούτου περιστώμενον καὶ...ἐμποδιζόμενον φέρειν τοὺς τοῦ λόγου καρποὺς εἴτε καὶ τὸν ἐν τοῖς ψευδέσι δόγμασι πλουτοῦντα Or.*Cels.*7.23(p.174.26; M.11.1453B); ὁ μὲν π. πολλαῖς προκατειλημμένος φροντίσιν...οὐδὲ μετὰ πολλῆς τῆς σπουδῆς τὸ φάρμακον ...τῶν γραφῶν δέχεται Chrys.*pecc.*1(3.345A); ὁ π. ἔχει Θάσιον...ἀλλ' αἱ τῶν ὑδάτων πηγαὶ κοιναὶ πᾶσι πρόκεινται id.*Anna* 5.3(4.744D); ὁ δὲ π., ἐπειδὴ πλεονεξίᾳ συζῇ, μισεῖται παρὰ πάντων id.*hom.*1 *in Ps.*48:17(5.508C); π. μὲν ὀλίγους, τῶν δὲ πενήτων πολλῷ πλείους σωζομένους id.*hom.*13.4 *in 2Cor.*(10.536B); id.*hom.*34.7 *in 1Cor.*(10. 320Aff.); **3.** ref. mutual service of rich and poor in almsgiving and prayer, Herm.*sim.*2.5–8; Chrys.*hom.*34.4 *in 1Cor.*(10.316C); **4.** ref. spiritual wealth ὁ πένης π. ἐστιν ἐν τῇ ἐντεύξει Herm.*sim.*2.5; ὁ μὲν ἄρα ἀληθῶς...π. ἐστιν ὁ τῶν ἀρετῶν π. ... ὁ δὲ νόθος π. ὁ κατὰ σάρκα πλουτῶν Clem.*q.d.s.*19(p.171.29; M.9.624A); πῶς ἂν γένοιτο π. ... ψυχή, ἐν πενίᾳ χρημάτων οὖσα; μάλιστα ἂν τότε γένοιτο Chrys.*hom.*80.4 *in Mt.*(7.772A); βούλει γενέσθαι π. ...; ἔξεστί σοι. ... καταφρόνησον τῶν τοῦ κόσμου χρημάτων id.*hom.*2.5 *in Phil.*(11.210A); εἰσὶ γὰρ π. καὶ τοῦ μέλλοντος αἰῶνος Thdt.*1Tim.*6:17(3.672).

B. *abundant, rich* π. τῶν τοῦ θεοῦ δικαιωμάτων *Barn.*1.2; πλουσιότερος ὁ ἁγιασμός Cyr.*Jo.*12(4.1070E).

πλουτ-έω, 1. abs., *be rich*; **a.** in gen., Tat.*orat.*32(p.33.6; M.6.872B) cit. s. πένης; Clem.*q.d.s.*2(p.160.19; M.9.605B); ἐνὶ τούτῳ διαφέρομεν τῶν ~ούντων οἱ πένητες, τῇ ἀμεριμνίᾳ Bas.*hom.in Ps.*14(1.110C; M. 29.273A); πόσοι τῶν πενήτων τῶν ~ούντων εἰσὶ συνετώτεροί τε καὶ φιλοσοφώτεροι Chrys.*exp.in Ps.*4:8(5.25B); ὁ μὲν γὰρ ~ῶν ἀλύει, καὶ θορυβεῖται *ib.*9:19(106C); ὁ δὲ μὴ βουλόμενος ~εῖν, ἀεί ἐστιν ἐν εὐπορίᾳ id.*hom.*1 *in Ps.*48:17(5.508B); **b.** met. ἡ ~οῦσα τῶν ἐπιθυμιῶν Clem.*q.d.s.*16(p.170.1; M.9.620C); τὸν ἐν τοῖς ψευδέσι δόγμασι ~οῦντα Or.*Cels.*7.23(p.174.30; M.11.1453C); in spiritual wealth, Herm.*sim.*2.5.8; Chrys.*hom.*15.4 *in Mt.*(7.190A); *ib.*80.4(772A); ἔκβαλε τὴν ἐπιθυμίαν τοῦ πλούτου, καὶ ἐπλούτησας id.*hom.*2.5 *in Phil.* (11.210A); ~εῖ μόνον τῇ φιλοσοφίᾳ id.*hom.*1 *in Ps.*48:17(5.508C); τῶν ἐν εὐσεβείᾳ καὶ ἀγχινοίᾳ ~ούντων Gel.Cyz.*h.e.*2.16.15(M.85.1264B); **2.** *be rich in, enriched by* ὅσῳ ~εῖ τις...τὸν πλοῦτον, πένητα ἑαυτὸν εἶναι κατανοεῖ Mac.Aeg.*carit.*3(M.34.909B); ref. spiritual riches, Gr.Naz.*or.*26.11(M.35.1244B); *ib.*14.26(892C); τὴν θείαν...εἰκόνα... ~εῖν Cyr.*ador.*1(1.10A); διὰ τοῦ βαπτίσματος τὴν ἐξ οὐρανοῦ...ἰσχὺν πεπλουτήκαμεν *ib.*4(114D); τὴν εἰς θεὸν οἰκειότητα πεπλουτηκότας *ib.* 11(375B); τὴν διὰ τοῦ...βαπτίσματος ~οῦντες ἄφεσιν *ib.*14(508C); τὴν πρὸς αὐτὸν πεπλουτήκασι συμμορφίαν id.*glaph.Gen.*3(1.68B); συμμορφίαν...πεπλουτηκότων δι' ἁγιασμοῦ ἐν πνεύματι id.*glaph.Ex.*2(1. 276D); τὴν γνῶσιν διὰ τῆς ἄνωθεν δαδουχίας πεπλουτηκώς id.*Is.*2.1(2. 204C); ἐλπίδα ~ήσαντες *ib.*4.4(673A); id.*Os.*6(3.26D); διὰ Χριστοῦ τὸ θεῖον πεπλουτήκαμεν πνεῦμα id.*Abac.*37(3.553A); βοηθὸν ~ήσας τὸν παντοκράτορα Jo.Mon.*hymn.Nic.*9(M.96.1389C); παρρησίαν πρὸς τὸν σωτῆρα ~ῶν id.*hymn.Geo.*7(M.96.1397D).

πλουτισμός, ὁ, *enriching*, †Max.*hymn.*2(M.91.1422A).

πλουτοδότειρα, ἡ, fem. of πλουτοδότηρ, *giver of riches*; of BMV, Jo.D.*hom.*8.3(M.96.701C).

πλουτοδότης, ὁ, = foreg.; of God, *A.Xanthipp.*14(p.67.24); ‡Chrys.*hom.*5(13.213C).

***πλουτοποιός,** *making rich* π. χαρίσμασι Ephr.3.499A; πλούσιος γὰρ ὢν ἐν θεότητι, πτωχεύει τὴν π. πτωχείαν Max.*schol.d.n.*3.1(M.4. 236C).

***πλουτοπράτης, ὁ,** *dealer in wealth*, Geo.Pis.*hex.*474(M.92.1472A).

πλοῦτος, ὁ, *wealth*; **1.** in gen., ref. mutual obligations of rich and poor ὁ πλούσιος ὡσαύτως τὸν π. ὃν ἔλαβεν ἀπὸ τοῦ κυρίου ἀδιστάκτως παρέχει τῷ πένητι. καὶ τοῦτο ἔργον...δεκτὸν παρὰ τῷ θεῷ, ὅτι συνῆκεν ἐπὶ τῷ π. αὐτοῦ...καὶ ἐτέλεσε τὴν διακονίαν τοῦ κυρίου ὀρθῶς Herm. *sim.*2.7; ὁ...θαυμάζων τὸν π. ... θεοποιεῖ τὸ ἀργύριον Or.*hom.*7.3 *in Jer.*(p.53.31; M.13.333A); id.*or.*29(p.384.13; M.11.533C); its uselessness διάβλεψον...πρὸς τὴν φύσιν τοῦ π. ... λίθος ἐστὶν ὁ χρυσός,...τίνος ἐφείσατο θάνατος διὰ τὸν π.; Bas.*hom.*7.7(2.58E; M.31.297A); Chrys. *hom.*2.5 *in Phil.*(11.210A) cit. s. πλουτέω; **2.** responsibility for its right use ὁ π. ὄργανόν ἐστι. δύνασαι χρῆσθαι δικαίως αὐτῷ· πρὸς δικαιοσύνην καθυπηρετεῖ Clem.*q.d.s.*14(p.168.29; M.9.617C); **3.** as morally indifferent π. καὶ...δόξα καθὸ μὲν οὐ ποιεῖ τοὺς ἔχοντας ἀγαθούς, οὐκ ἔστι τῶν κατὰ φύσιν ἀγαθῶν· καθὸ δὲ εὔροιάν τινα παρέχεται ἡμῶν τῷ βίῳ,...ἔχει τινὰ ἀξίαν Bas.*ep.*236.7(3.364C; M.32. 884C); ὁ γὰρ π. τῷ ἰδίῳ λόγῳ οὐδὲ ἀγαθὸς οὐδὲ φαῦλος τυγχάνει, ἀλλὰ τῇ προαιρέσει τοῦ χρωμένου εἰς ἑκάτερα κρίνεται...οὔτε ἡ πενία κακόν, οὔτε ὁ π. φαῦλος ‡Ath.*hom.in Lc.*19:36(M.28.1037A); πενία γὰρ καὶ π. ὅπλα ἐστὶ πρὸς ἀρετὴν ἑκάτερα φέροντα, ἂν ἐθέλωμεν...οὔτε γὰρ π. κακόν, οὔτε πενία ἁπλῶς· ἀλλὰ παρὰ τὴν προαίρεσιν τῶν χρωμένων ἑκάτερα ταῦτα γίνεται Chrys.*stat.*15.3(2.156C); οὐδὲν ὁ π. ἀγαθόν, οὐδὲν ἡ πενία κακόν, ἀλλ' ἀδιάφορά ἐστι πράγματα id.*hom.*2.4 *in 2Thess.*(11.521D); id.*Laz.*2.3(1.731B) cit. s. πενία; **4.** its moral dangers ἐοικέναι γοῦν μοι δοκεῖ ὁ π. ἑρπετῷ, οὗ εἰ μή τις ἐπίσταιτο λαβέσθαι ἀβλαβῶς,...περιπλέξεται τῇ χειρὶ καὶ δήξεται· δεινὸς δὲ καὶ ὁ π. ἰλυσπώμενος παρὰ τὴν ἔμπειρον ἢ ἄπειρον αὐτοῦ λαβὴν προσφῦναι καὶ δάκνειν, εἰ μή τις αὐτῷ...ἐπιστημόνως χρῶτο Clem.*paed.*3.6(p.256. 20; M.8.604C); wealth which debars from Kingdom of God identified with spiritual infirmities, id.*q.d.s.*16(p.169.30; M.9.620C); pursuit of it as idolatry, Or.*hom.*7.3 *in Jer.*(p.53.27; M.13.333A); π., ἡ τοῦ πολέμου ὑπόθεσις...διὰ τὸν π. αἱ ἐρημίαι τοὺς φονευτὰς τρέφουσιν ...τίς ἐστιν ὁ ψεύδους πατήρ...οὐχ ὁ π.;...ἀλλ' ἀναγκαῖος ὁ π. διὰ τοὺς παῖδας. εὐπρόσωπος ἀφορμὴ πλεονεξίας αὕτη Bas.*hom.*7.7(2.59A; M.

31.297B); *πρὸς ἀρετὴν ἐπιτηδειότερον πενία πλούτου* Chrys.*eleem.*5(5.256E); *π. τοῖς μὴ προσέχουσι πονηρίας ἐστὶν ὑπηρέτης* id.*exp.in Ps.* 4:8(5.25A); *οὐ πᾶς π. παρὰ θεοῦ* id.*hom.34.6 in 1Cor.*(10.318E); wealth regarded as blessing under Old Covenant, poverty under New, but even in OT chief heroes were poor, id.*hom.18.2 in Heb.* (12.176C) cit. s. *πενία*; wealth despised by those influenced by monastic example, Ath.*v.Anton.*87(M.26.965A); **5.** not to be personified as a god, as pagan art suggests, Clem.*prot.*10(p.73.25; M. 8.217B); **6.** spiritual *π. γὰρ ἀληθινὸς ἡ δικαιοσύνη...π. ἀναφαίρετος* id.*paed.*3.6(p.257.23; M.8.605C); *π. δὲ ἄριστος ἡ τῶν ἐπιθυμιῶν πενία ib.*2.3(p.181.7; 440A); *εἰς τὴν τοῦ κόσμου πενίαν ἀγαγών με καὶ εἰς π. ἀληθινὸν παρακαλέσας με A.Thom.*A 144(p.251.6); *οἱ πλούσιοι τῷ πνεύματι τῷ ἁγίῳ, ἔχοντες τὸν π. τὸν ἐπουράνιον ἐν ἀληθείᾳ* Mac.Aeg. *hom.*18.5(M.34.637B); *ζητῶμεν τὸν π., τὸν ἐν ἔργοις ἀγαθοῖς* Chrys. *hom.9.5 in Mt.*(7.137B); of wealth of divine grace, Thdt.*1Cor.*15:10 (3.267); Jo.Clim.*scal.*30(M.88.1157D) cit. s. *ἐλπίς.*

***πλουτοταπείνωσις, ἡ,** *riches of humility,* Jo.Clim.*scal.*5(M.88. 777C).

***πλυνόκωλος,** *with limbs washed,* Barth.Edess.*Agar.*(M.104. 1413B).

***πλυντήρ, ὁ,** *wash-tub,* Mac.Mgn.*apocr.*4.16(p.189.21).

πλύσις, ἡ, 1. *washing,* ref. Ps.50:9 *ὁ ὕσσωπος σύμβολόν ἐστιν ἀπαθείας, καὶ ἡ π. γνῶσιν σημαίνει* Or.*Ps.*50:9(p.51); **2.** *washing away τῶν ἀκαθάρτων π.* Arist.*apol.*5(*TS*[1] p.102.22).

***πλύτρα, ἡ,** *laundry,* Pall.*h.Laus.*43(p.130.20; λουτροῦ M.34.1210D).

***πλυτρίς, ἡ,** *washerwoman*; met., of a servile labour *χρῆσις ῥυπώδης, ἀλλὰ π. πταισμάτων* Thdr.Stud.*iamb.*14(M.99.1785A).

Πλωάς, ἡ, the constellation *Ursa Major,* Eus.Al.*serm.*22.1(M.86. 453B).

πλωΐζω, *put aboard, carry on board ship,* Marc.Diac.*v.Porph.*26; Thphn.*chron.*p.91(M.108.273A).

***πλωΐμα, τό,** *man-of-war μετὰ πάντων τῶν Ῥωμαϊκῶν π.* Thphn. *chron.*p.309(M.108.752B, vv.ll. *πλοϊμάτων, πλοημάτων*); *ib.*p.392 (*πλώϊμα* M.108.936B, vv.ll. *πλοῖματα, πλοήματα*).

πλώϊμον, τό, *fleet,* Thphn.*chron.*p.314(M.108.761B); *ib.*p.317(768B); v. foreg.

πλωτεύω, *sail, Orac.Sib.*5.448.

***πλωτής, ὁ,** *sailor,* Geo.Pis.*Pers.*1.187(M.92.1210A).

***πλωτόρσιος,** *swift-sailing,* ‡Jo.D.*ep.Thphl.*11(M.95.357C).

πλωτός, *prostrate ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ π. ἱκετεύων* Jo.Mal. *chron.*5 p.124(M.97.217D).

πνεῦμα, τό, I. *spirit*; def. *καλεῖται γὰρ πνεύματα πολλά. καὶ γὰρ καὶ ἄγγελος καλεῖται π.· ἡ ψυχὴ ἡμῶν καλεῖται π.· καὶ ὁ ἄνεμος οὗτος ὁ πνέων...καὶ ἀρετὴ μεγάλη...καὶ ἀκάθαρτος πρᾶξις...καὶ δαίμων ἀντικείμενος καλεῖται π.* Cyr.H.*catech.*16.13; *π. μέν ἐστι λεπτὴ καὶ ἄυλος καὶ ἀσχημάτιστος ἐκπορευτὴ ὕπαρξις. ... εἴρηται δὲ τὸ π. ἐν τῇ γραφῇ τετραχῶς· τὸ π. τὸ ἅγιον· π. ὁ ἄγγελος· π. ἡ ψυχή· π. καὶ ὁ ἄνεμος. ἔστι δὲ ὅτε καὶ ὁ νοῦς εἴρηται π.* Anast.S.*hod.*2(M.89.56B); *τὸ π. νοεῖται πολλαχῶς. τὸ ἅγιον π. λέγονται δὲ καὶ αἱ δυνάμεις τοῦ π. τοῦ ἁγίου πνεύματα. π. καὶ ὁ ἄγγελος...π. καὶ ὁ δαίμων· π. καὶ ἡ ψυχή· ἔστι δὲ ὅτε καὶ νοῦς π. λέγεται· π. καὶ ὁ ἄνεμος· π. καὶ ὁ ἀήρ* Jo.D.*f.o.*1.13(M.94.857Bf.).

II. *wind, air*; *breath* in rel. to spoken word as analogy of H. Ghost in rel. to Logos, Gr.Nyss.*or.catech.*2(p.13.9; M.45.17A).

III. *life-force, life*;

A. in plants, Max.*schol.d.n.*1.5(M.4.205D).

B. in man *τὸ π. τὸ ἀπὸ τοῦ ἐγκεφάλου καταβαῖνον, τὸ διὰ τῶν νεύρων, τὸ αἰσθητικὸν...δίδωσι* Chrys.*hom.11.3 in Eph.*(11.84E); *τοῦ συνέχοντος τὸ ζῷον ζωτικοῦ καὶ ὀργανικοῦ π.* Leont.B.*Nest.et Eut.*1 (M.86.1296D).

IV. *soul*;

A. *living soul, self,* Ign.*Rom.*9.3; *ὑπερενφραίνομαι ἐπὶ τοῖς μακαρίοις καὶ ἐνδόξοις ὑμῶν π. Barn.*1.2; hence *person τὸν παντὸς π. κτίστην 1Clem.*59.3; *Barn.*1.5; *ὁ ἄνθρωπος ὁ δίκαιος καὶ ὁ Χριστὸς π. ἦν* Or.*dial.*3(p.126.8).

B. *rational and spiritual element* in man (opp. *σάρξ*), Ign.*Polyc.* 5.1; Just.*dial.*135.6(M.6.789B); = *νοῦς,* Anast.S.*hod.*2(M.89.56B), Jo.D.*f.o.*1.13(M.94.860A) citt. s. I supra.

C. opp. *ψυχή* (when latter is regarded as principle of animal life); **1.** two *π.* dist. *δύο πνευμάτων διαφορὰς ἴσμεν ἡμεῖς, ὧν τὸ μὲν καλεῖται ψυχή, τὸ δὲ μεῖζον μὲν τῆς ψυχῆς, θεοῦ δὲ εἰκὼν καὶ ὁμοίωσις* Tat.*orat.*12(p.12.18; M.6.829C); *τῷ τε ἡγεμονικῷ τῷ τε ὑποκειμένῳ* Clem.*str.*6.16(p.499.29; M.9.360A); *ib.*(p.501.2; 361A); compared with H. Ghost in rel. to Father, Ath.*ep.Serap.*1.22(M.26.581C); Gr. Nyss.*Eun.*2(2 p.383.7; M.45.564D); ref. *ψυχή* illuminated by divine fire *ὅλη π. γίνεται* Mac.Aeg.*hom.*1.2(M.34.452B); **2.** in tripartite division of personality, Ign.*Philad.*11.2; cf.Iren.*haer.*5.9.1(M.p. 1144B); v. *ψυχή*; Or.*princ.*4.2.4(p.313.2; M.11.365A); id.*dial.*3(p.136. 2); Apoll.*fr.*89(p.227.22)ap.Gr.Nyss.*Apoll.*48(M.45.1240C); id.*anac.* 23(p.245.1; M.28.1276D); *ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ τὰ π. Lit.Jac.*(p.166.1); *ἑτέρου ὄντος τοῦ π. παρὰ τὴν ψυχὴν κατ' οὐσίαν...τὸ εὐκινητότερον καὶ ἀνώτερον τῆς ψυχῆς πνεῦμα καλοῦντες* Olymp.*Eccl.*4:12(M.93.532C).

D. *soul* of departed *τὴν ψυχήν, τὸ π. αὐτοῦ ἀνάπαυσον* Serap.*euch.* 30.2; *π.* and *δύναμις* dist. from *ψυχή,* Or.*comm.in Mt.*13.2(p.178.9ff.; M.13.1092C).

E. in rel. to God; **1.** dist. from H. Ghost since human spirit is not a part of God in each man, Clem.*str.*5.13(p.384.11; M.9.129A); ref. 1Thess.5:23 *τοῦτο τὸ π. οὐκ ἔστι τὸ ἅγιον π., ἀλλὰ μέρος τῆς τοῦ ἀνθρώπου συστάσεως* Or.*dial.*6(p.136.10); Gr.Nyss.*or.catech.*2(p.14. 5ff.; M.45.17B); Jo.D.*f.o.*1.7(M.94.804A); **2.** but deriving its true life from H. Ghost, Just.*dial.*6.1,2(M.6.489B,492A); Tat.*orat.*13(p.14. 19; M.6.833B); cf.Cyr.*ador.*1(1.9D).

F. Christol. *οὕτως ἠθέλησεν σῶσαι σῶμα, ὡς ἠθέλησεν ὁμοίως σῶσαι καὶ ψυχήν, ἠθέλησεν καὶ τὸ λεῖπον ἀνθρώπου σῶσαι, τὸ π. ... οὐκ ἂν δὲ ὅλος ἄνθρωπος ἐσώθη, εἰ μὴ ὅλον τὸν ἄνθρωπον ἀνειλήφει* Or.*dial.* 7(p.136.16); *θέλων σῶσαι τὸ π. τοῦ ἀνθρώπου...ἀνέλαβεν καὶ ἀνθρώπου π. ib.*(p.138.1); *τὸ δὴ π. τουτέστι τὸν νοῦν θεὸν ἔχων ὁ Χριστὸς μετὰ ψυχῆς καὶ σώματος εἰκότως ἄνθρωπος ἐξ οὐρανοῦ λέγεται* Apoll.*fr.*25 (p.210.23)ap.Gr.Nyss.*Apoll.*9(M.45.1140D); *εἰ οὖν ἐκ τριῶν ὁ ἄνθρωπος, ἄνθρωπος δὲ καὶ ὁ κύριος, ἐκ τριῶν πάντως ἐστὶ καὶ ὁ κύριος, πνεύματος καὶ ψυχῆς καὶ σώματος. ἀλλὰ καὶ ἐπουράνιος ἄνθρωπος καὶ π. ζωοποιοῦν* Apoll.*fr.*89(p.227.22)*ib.*48(1240C); *εἰ ἐκ πάντων...τῶν ἴσων ἡμῖν ἐστι τοῖς χοϊκοῖς ὁ ἐπουράνιος ἄνθρωπος, ὥστε καὶ τὸ π. ἴσον ἔχειν τοῖς χοϊκοῖς, οὐκ ἐπουράνιος ἀλλ' ἐπουρανίου θεοῦ δοχεῖον* Apoll. *fr.*90(p.228.1)*ib.*(M.45.1240D).

V. ref. world-soul, as in Stoic thought *π. γὰρ τὸ διὰ τῆς ὕλης διῆκον, ἔλαττον ὑπάρχον τοῦ θειοτέρου π.* Tat.*orat.*4(p.5.10; M.6. 813A); *τὸ π. τοῦ θεοῦ διὰ τῆς ὕλης κεχωρηκὸς...φθειρομένων δὲ τῶν στοιχείων κατὰ τὴν ἐκπύρωσιν ἀνάγκη συμφθαρῆναι ὁμοῦ τοῖς εἴδεσι τὰ ὀνόματα, μόνου μένοντος τοῦ π. τοῦ θεοῦ* Athenag.*leg.*22.3(M.6.937B); Thphl.Ant.*Autol.*2.4(M.6.1052A); *ὃν τρόπον γὰρ ῥόα...πολλοὺς κόκκους ἔχει τοὺς ἐν αὐτῇ κατοικοῦντας· οὕτως ἡ πᾶσα κτίσις περιέχεται ὑπὸ π. θεοῦ ib.*1.5(1032B); tenuous in substance and joined with water at Creation, *ib.*2.13(1073A).

VI. *influence, spiritual force*;

A. of physical or psychical attraction, ref. attraction by magnetic stone, amber, etc. *πείθεται δὲ αὐτοῖς τὰ ἑλκόμενα ἀρρήτῳ ἑλκόμενα π.* Clem.*str.*2.6(p.126.29; M.8.961A); *συγκινεῖται...σιδήρου μοῖρα τῷ τῆς Ἡρακλείας λίθου π. ib.*7.2(p.8.22; M.9.413A); *ὄφεις τοῖς αὐτῶν π. τοὺς στρούθους ἐπισπῶνται Hom.Clem.*9.15.

B. of spiritual influence; **1.** of intellectual or moral disposition *π. σοφίας* Or.*Jo.*10.39(23; p.215.28; M.14.381B); *ib.*32.19(12; p.460.1; 796C); *λέγεται δὲ π. κατανύξεως εἶναι καὶ π. δειλίας καὶ π. Πύθωνος καὶ π. πορνείας...καὶ π. ἀσθενείας* Epiph.*anc.*72(p.90.12; M.43.152A); this meaning often allied with that of evil *spirit* (evil quality being personified) *ἀπέχου οὖν ἀπὸ τῆς ὀξυχολίας, τοῦ πονηροτάτου π.* Herm. *mand.*5.2.8; **2.** of 'spirit' of a person *τοῦ ἐν Μωϋσεῖ π.* Just.*dial.*49.7 (M.6.585A); Serap.*euch.*27.2; *τὸ τοῦ προφήτου Ἠλία π.* ‡Pall.*h.mon.* 7.1(p.31.7; M.34.1132D); cf.Or.*comm.in Mt.*13.2(p.178.9ff.; M.13. 1092cf.); **3.** of supernatural power or 'soul' in rel. to pagan idol *ξόανον οὔτε ζῷόν ἐστιν οὔτε θεῖον ἔχει π. Hom.Clem.*9.15; **4.** of 'sense' of a passage of scripture *δηλοῖ τὸ πνευματικὸν π.* Or.*schol.in Cant.* 7:2(M.17.281B); of spiritual opp. literal sense, v. *γραφή.*

VII. a kind of *immaterial substance* proper to spiritual beings, Hipp.*haer.*1.20(p.24.19; M.16.3048A); of angels' substance *ἀέριον π. ...ἢ πῦρ ἄυλον* Bas.*Spir.*38(3.32C; M.32.137A); *οὐ μετεβλήθη οὖν εἰς πνεῦμα τὸ σῶμα* [i.e. of Christ] Thdt.*eran.*(4.272).

VIII. of God as *π.* (i.e. *π.* as describing nature or power of God); **A.** in gen., of Father *φῶς ἀπρόσιτον...π., δύναμις, λόγος* Athenag. *leg.*16.2(M.6.920D); Father is *π.*, Son is *π.*, H. Ghost is *π.*, Eus.*e.th.* 3.5(p.163.6ff.; M.24.1012C); Geo.Laod.*ep.dogm.*ap.Epiph.*haer.*73.16 (p.288.22; M.42.433A); *τῷ πατρὶ καὶ τῷ υἱῷ, κατὰ τὸ ἴσον ἥ τε τοῦ π. καὶ ἡ τοῦ ἁγίου κλῆσις παρὰ τῆς γραφῆς ἐφαρμόζεται (π. γὰρ ὁ θεὸς καὶ π. πρὸ προσώπου ἡμῶν Χριστὸς κύριος...)* Gr.Nyss.*Eun.*2(2 p.369. 24ff.; M.45.549C).

B. God as *π.* dist. from spirit permeating material universe as in Stoic theory, Tat.*orat.*4(p.5.2; M.6.813A); and from physical world itself *εἰ δὲ π., δῆλον ὅτι θεῖον, κρεῖττον παντὸς αἰσθητοῦ καὶ συνθέτου σώματος* Eus.*Marcell.*1.1(p.5.14; M.24.721A); hence cannot be corporeal, Cyr.*ep.Calos.*(p.604.5; 6[3].364A).

C. Father as *π.* dist. from H. Ghost *ὁ γὰρ πατὴρ οὐκ ἔστι π.*

ἅγιον; καὶ ὁ πατὴρ π. ἁγιόν ἐστιν, ἀλλ' οὐ π. θεοῦ ‡Ath.*dial.Trin.*1.14 (M.28.1140A).

D. but category of spirit is inadequate for description of God, Thphl.Ant.*Autol.*1.3(M.6.1028C); οὐδὲ π. ἐστιν ὡς ἡμᾶς εἰδέναι Dion. Ar.*myst.*5(M.3.1048A).

E. exeg. Jo.4:24, v. ἀσώματος and IX.A.3.c.vi infra.

F. of Son as spirit (i.e. a being of divine nature) Χριστὸς...ὧν μὲν τὸ πρῶτον π. ἐγένετο σάρξ *2Clem.*9.5; λόγος γὰρ ὁ ἐπουράνιος, π. γεγονὼς ἀπὸ τοῦ π., καὶ λόγος ἐκ λογικῆς δυνάμεως...εἰκόνα τῆς ἀθανασίας τὸν ἄνθρωπον ἐποίησεν Tat.*orat.*7(p.7.6; M.6.820A,B); esp. ref. Lam.4:20, cf. *salutare autem quoniam spiritus, spiritus enim, inquit, faciei nostrae, Christus dominus,* Iren.*haer.*3.10.3(M.7.875A); εἰ δὲ μὴ ὢν ἄνθρωπος, ἐφαίνετο ἄνθρωπος, οὔτε ὃ ἦν ἐπ' ἀληθείας ἔμεινε, π. θεοῦ, ἐπεὶ ἀόρατον τὸ π. *ib.*5.1.2(1122A); τὸ ἐν τῇ παρθένῳ σαρκωθὲν π. Hipp.*haer.*9.12(p.248.29; M.16.3383C); ὁ κύριος π. καὶ λόγος Clem. *paed.*1.6(p.116.2; M.8.301B); ἐπειδὴ θεῖον π. ἦν ἐν σώματι Cels.ap.Or. *Cels.*6.77(p.146.14; M.11.1413C); λόγον...θεὸν μὲν κατὰ π., ἄνθρωπον δὲ καθ' ὃ γεγέννηται ἐκ τῆς Μαρίας Heraclides ap.Or.*dial.*2(p.122. 14); ὁ υἱὸς τοῦ θεοῦ π. ὢν τυγχάνει, καὶ π. καὶ αὐτὸς ἁγίων ἅγιον Eus. *e.th.*3.5(p.163.9; M.24.1012C); Ath.*inc.et c.Ar.*11(M.26.1004A); Geo. Laod.*ep.dogm.*ap.Epiph.*haer.*73.16(p.288.23; M.42.433A); προύχων τῆς γεννήσεως, εἰ καὶ γεγέννηται ἀπὸ γυναικός, κύριος ὤν, εἰ καὶ μεμόρφωται κατὰ τοὺς δούλους, π. ὤν, εἰ καὶ σὰρξ κατὰ τὴν ἕνωσιν τῆς σαρκὸς ἀποδέδεικται Apoll.*corp.et div.*6(p.187.17; M.*PL.*8.873D); id.*fr.*19(p.209.26)ap.Gr.Nyss.*Apoll.*7(M.45.1136D); τοῦ κυρίου ἐν τῇ τοῦ θεοῦ ἀνθρώπου φύσει θείου π. ὄντος Apoll.*fr.*32(p.211.28)*ib.*12 (1145D); εἶναι τὸν αὐτὸν υἱὸν θεοῦ καὶ θεὸν κατὰ πνεῦμα, υἱὸν δὲ ἀνθρώπου κατὰ σάρκα Apoll.*ep.Jov.*1(p.250.6; M.28.25A); Gr.Nyss.*Eun.*2 (2 p.369.24; M.45.549C); λόγος...π. ἐκ π. Epiph.*haer.*76.35(p.385.22; M.42.588D); δεδόξασται δὲ οὐδαμῶς, μὴ οὐχὶ τοῦτο λαβὼν κατὰ σάρκα, ὅπερ ἀεὶ ἔχων ἦν κατὰ π. Leont.B.*Nest.et Eut.*2(M.86.1321D); hence π. Χριστοῦ = Christ's divinity αὐτὸς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτιῶν ἔμελλεν τὸ σκεῦος τοῦ π. προσφέρειν θυσίαν *Barn.*7.3; this being Spirit, blasphemy against whom is unforgivable, Ath.*ep.Serap.*4. 19(M.26.665B); ἀπαθὲς δέδεικται τὸ θεῖον τοῦ Χριστοῦ π. Thdt.*eran.*3 (4.235); ζῇ γὰρ ἐκ δυνάμεως θεοῦ, τῷ θείῳ πνεύματι δηλονότι συνδιαιτώμενος ὁ ἄνθρωπος...τὸ μὲν γὰρ σῶμα μετάρσιον ἐσταυροῦτο, τὸ δὲ θεῖον τῆς σοφίας π. καὶ τοῦ σώματος εἴσω διῃτᾶτο, καὶ τοῖς οὐρανίοις ἐπεβάτευε *ib.*(4.236).

G. hence some confusion between π. (= Christ's divine nature) and π. (= H. Ghost) τὸ π. τὸ ἅγιον τὸ λαληθὲν μετὰ σοῦ ἐν μορφῇ τῆς ἐκκλησίας· ἐκεῖνο...τὸ π. ὁ υἱὸς τοῦ θεοῦ ἐστιν Herm.*sim.*9.1.1; οὗτος..., ὧν π. θεοῦ καὶ ἀρχὴ καὶ σοφία καὶ δύναμις ὑψίστου, κατήρχετο εἰς τοὺς προφήτας καὶ δι' αὐτῶν ἐλάλει Thphl.Ant.*Autol.*2.10(M.6.1064C); Hipp.*haer.*9.12(p.248.29; M.16.3383C); v. infra IX.E.

IX. τὸ πνεῦμα, ἅγιον πνεῦμα etc., *Holy Ghost*;

προσκόλλησις, ἡ, *joining, uniting,* of Church's union with Christ τὴν π. τῶν δύο εἰς ἑνὸς σώματος κοινωνίαν τὸ μέγα μυστήριον εἶναι λέγει Gr.Nyss.*hom.4 in Cant.*(M.44.836D); of soul's adherence to God, id.*Maced.*23(M.45.1329B); in gen. ἡ τῶν κακοτρόπων ἀνδρῶν ...συντυχία καὶ π. βλάψαι καὶ αὐτοὺς τοὺς προσέχοντας ἑαυτοῖς Leont.N.*v.Jo.Eleem.*1(p.4.5).

προσκομιδή, ἡ, 1. *supply, provision* Κωνσταντινούπολις...τὰ πολλὰ εὐθηνεῖται τῷ...διὰ θαλάσσης ἔχειν τῶν πανταχόθεν ἐπιτηδείων τὴν π. Socr.*h.e.*4.16.8(M.67.501B); of provisions given to poor as being form of divine service, Nil.*epp.*3.7(M.79.369A); **2.** *offering*; **a.** in gen., of offering of vinegar to Christ as an insult, Chrys.*hom. 87.1 in Mt.*(7.818A); **b.** *sacrificial offering*; **i.** ref. sacrifice of Isaac ἀπέδειξε γάρ, ὅτι παρὲκ θεοῦ ἄλλο τι οὐκ ἠγάπησε διὰ τῆς τοῦ μονογενοῦς π. Mac.Aeg.*hom.*5.6(M.34.509A); Thdt.*Cant.*8:7(2.157); **ii.** of alms πολλοὶ δὲ ἡμῖν καὶ περὶ ὀβολῶν ἐν καιρῷ μικρολογοῦνται προσκομιδήν ‡Chrys.*pan.Macc.*3(2.633A); Nil.*epp.*3.243(M.79.500B); **iii.** of OT sacrifices contrasted with self-offering of Christians as λογικὴ λατρεία, Thdr.Mops.*Rom.*12:1(p.160.28; M.66.861A); **iv.** of Hebrew free-will offering, Cyr.*ador.*4(1.130A); **v.** of Abel's sacrifice, Gennad.*fr.Gen.*4:4(M.85.1640C); **vi.** eucharistic, of service as a whole, *A.Mt.*B 25(p.254.14); εἰ χρὴ εἰς κοινὸν οἶκον π. γίνεσθαι Bas. *reg.br.*310 tit.(2.525D; M.31.1304B); Pall.*h.Laus.*57(M.34.1250C; p.150.21 om.); ἤτησεν ἐκεῖ γενέσθαι τὴν τοῦ θείου δώρου π. Thdt.*h.rel.*20(3.1234); ἐν τῷ καιρῷ τῆς θείας π. Cyr.S.*v.Sab.*32(p.117.24); of preparation of elements ἡ π. ἡ γενομένη ἐν τῷ σκευοφυλακίῳ ἐμφαίνει τὸν κρανίου τόπον ‡Bas.*h.myst.*48(p.389.26); ‡Sophr.H.*liturg.*21(M.87.4001A); of anaphora, †Gregent.*leg.hom.*(M.86.617A); ἀδελφὸς...ὃς ἦν μαθὼν τὴν π. τῆς ἁγίας ἀναφορᾶς...καὶ...εἶπεν τὴν π. ὡς ἐν τάξει τῆς στιχολογίας Jo.Mosch.*prat.*25(M.87.2869D); ἀπαγγέλλειν δὲ καὶ τὴν ἁγίαν π. τὴν ἐπὶ τῇ ἁγίᾳ κοινωνίᾳ γενομένην Ath.Scholast.*coll.*1.17 tit.(p.23); ἐν τῇ ἁγίᾳ π. ὁ ἱερεὺς...δυσωπεῖ τὸν θεὸν λέγων· μνήσθητι, κύριε, πάσης ψυχῆς Anast.S.*qu.et resp.*110(M.89.764B); Niceph.Ur. *v.Sym.*156(M.86.3132B); εἰ μή τινες εὐεργεσίας μετεῖχον...οὐκ ἂν ἐν τῇ π. ἐμνημονεύοντο ‡Ath.*qu.Ant.*34(M.28.617B); Jo.D.*haer.*86(M.94.756B); id.*trisag.*27(M.95.57C).

προσκομίζ-ω, 1. *carry* or *convey to* τὸ τοῦ πατρὸς σκῆνος...τῇ πόλει προσεκόμιζεν Eus.*v.C.*4.70(p.146.29; M.20.1225A); **2.** *address* speech, Cyr.*Ps.*34:19(M.69.908D); **3.** *offer*; **a.** in gen. χρυσὸν αὐτῷ γεννηθέντι ...προσεκόμισαν οἱ μάγοι Clem.*paed.*2.8(p.196.1; M.8.469A); Ephr. 1.221A; παράδοξα ἀεὶ ἡμῖν ἡ θεία μητροπάρθενος ἐν ἁγίαις αὐτῆς ἐπιλάμψεσι ~εται Thdot.Anc.*hom.BMV et Sym.*4(M.77.1396A); **b.** of sacrifice to God; **i.** of OT sacrifices, Clem.*str.*2.11(p.140.9; M.8.988A); Cyr.*ador.*4(1.129E); id.*Mal.*9(3.826D); **ii.** of sacrifice of Isaac likened to self-sacrifice of martyrs, *M.Glyc.*7(p.13*F); **iii.** of Christ's self-offering ἴδιον αὐτοῦ σῶμα τὸ ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας τῷ θεῷ καὶ πατρὶ προσκεκομισμένον Cyr.*Arcad.*7(p.64.17; 5^{3}.46A); οὐκ ἐπίγειον τινὰ θυσίαν ~οντα τῷ πατρί, θείαν δὲ μᾶλλον id. *Nest.*3.2(p.62.9; 6^{1}.74E); προσκεκόμικε μὲν ὁ Χριστὸς ἑαυτὸν ὑπὲρ τοῦ κατὰ σάρκα γένους *ib.*3.6(p.74.20; 93B); **iv.** of Christ's intercessory presentation of prayers to Father ~ει τῷ πατρὶ τὰς ὑπὲρ ἡμῶν ἱκετηρίας id.*Jo.*11.2(4.937A); **v.** of Christians' offering of worship ἐν παντὶ τόπῳ ~οντες αὐτῷ τὸν εὐώδη καρπὸν τῆς παναρέτου θεολογίας Eus.*d.e.*1.10(p.49.3; M.22.92D); τὴν ὑπὲρ σωτηρίας ἡμῶν εὐχαριστίαν δι' εὐσεβῶν ὑμνων τε καὶ εὐχῶν τῷ θεῷ ~οντες *ib.*(p.49.10; 92D); ἤξουσι...εἰς τὴν...ἐπουράνιον Ἱερουσαλήμ, ἐκεῖ προσκομιοῦσι θεῷ πνευματικὰς θυσίας Cyr.*Nah.*18(3.498A); ~όντων αὐτῷ τὰς πνευματικὰς λατρείας...πίστιν, ἐλπίδα, ἀγάπην id.*Mal.*12(3.830B); **vi.** and self-offering through Christ, id.*Juln.*8(6^{2}.258B); **vii.** of eucharistic offering ὑπὲρ τοῦ δώρου τοῦ προσκομισθέντος...τῷ θεῷ...δεηθῶμεν, ὅπως ὁ...θεὸς προσδέξηται αὐτὸ...εἰς τὸ ἐπουράνιον αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας *Lit.*ap.*Const.App.*8.13.3; κἂν γὰρ πιστεύσῃς ὡς ἀληθὲς εἴη τὸ σῶμα τοῦ Χριστοῦ καὶ προσκομίσῃς τῷ θυσιαστηρίῳ πρὸς μεταποίησιν Thdt.*eran.*2(4.145); ἐπιφανεὶς ὁ Χριστός...ἐν ἄρτῳ τε καὶ οἴνῳ πνευματικῶς προσκομίσας Niceph.Ur.*v.Sym.*115(M.86.3093B); μνήσθητι κύριε τῶν τὰ δῶρα ταῦτα προσκομισάντων *Lit.Bas.*(p.332.16); οἱ τὰ ἄζυμα ~οντες, νεκρὰν σάρκα, καὶ οὐχὶ ζῶσαν προσφέρουσιν ‡Jo.D.*azym.*proem.(M.95.388A); hence = *celebrate* χρὴ τοὺς ~οντας ...ἐκφωνεῖν τὰς εὐχὰς καὶ τὴν προσκομιδήν Ath.Scholast.*coll.*1.17 (p.24); ἐν τῷ ~ειν τὸν ἀββᾶν Jo.Mosch.*prat.*25(M.87.2872A); ~οντα αὐτὸν ἔφθασα *ib.*108(2972A); ταύτῃ τῇ κυριακῇ μὴ προσκομίσῃς *ib.*150 (3013D).

προσκομιστέον, *one must supply,* Clem.*str.*1.6(p.22.19; M.8.729A).

πρόσκομμα, τό, 1. *occasion of stumbling,* met. ὀνειδισμὸν ἑαυτῷ φέρει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων καὶ π. τῷ Βελίαρ *T.Reub.*4.7; π. λογικῆς φύσεώς ἐστι λογισμὸς ἀκάθαρτος, ἡ γνῶσις ψευδής Or.*exp.in Pr.*3:23(M.17.169A); **2.** *obstacle, stumbling-block* ἡ γὰρ στρεβλὴ ὁδὸς ...ἔχει...π. πολλά Herm.*mand.*6.1.3; met., *hindrance, obstacle* ἔθηκα

π. τῇ εὐθύτητί μου *A.Phil.*140(p.75.8); of scriptural difficulties οὐδὲν οὖν π. κατὰ τὸν τόπον ἐστίν Or.*engast.*10(p.294.10; M.12.1028C); ἐὰν δέ ποτε ἀναγινώσκων τὴν γραφὴν προσκόψῃς νοήματι ὄντι καλῷ λίθῳ προσκόμματος...αἰτιῶ σαυτόν. μὴ ἀπελπίσῃς γὰρ τὸν λίθον τοῦτον τοῦ π. ... ἔχειν νοήματα ὥστ' ἂν γενέσθαι κατὰ τὸ εἰρημένον· καὶ ὁ πιστεύων οὐ καταισχυνθήσεται id.*fr.hom.21 in Jer.*(p.196.10; M.14.1310C); τὰ ἐκ τῆς γραφῆς π. λύειν καὶ διαρθροῦν Gr.Naz.*or.*42.18(M.36.480B); **3.** *offence, scandal*; **a.** in gen., Herm.*mand.*2.4; εἰσιν οἱ γεννήσαντες τὴν ἀδοξίαν τῇ προνοίᾳ, τὰ π. τῷ θεῷ Or.*hom.12.11 in Jer.*(p.98.3; M.13.393B); *Const.App.*2.17.1; μὴ γενόμενος π. τοῖς ἀσθενέσι Pall.*v.Chrys.*18(p.112.2; M.47.62); Nil.*Magn.*37(M.79.1013D); of scandal of Christ, *Orac.Sib.*8.246; ref. Pauline teaching on sacrificial food ἐὰν διὰ προσκόμματος ἐσθίῃ Clem.*str.*3.12(p.235.17; M.8.1185C); **b.** ref. λίθος προσκόμματος (Is.8:14; Rom.9:33); **i.** interpreted of Christ, cf. *Jesus, quem plurimis, sed bonis... nominibus compellari invenimus, mirum fortasse videatur cur in hoc loco...lapis offensionis...nominetur...offensio et scandalum unum prope atque idem significat...quia igitur hi qui erant in Sion, vias non bonas incedentes iter perditionis...currebant, malis suis faventes invicem...veniens dominus...impedire coepit vias perditionis eorum, et effectus est lapis offensionis,* Or.*Rom.*7.19(M.14.1156A–C); †Bas.*Is.*214(540B; M.30.489B); εἰς Χριστός· ἀλλ' εἰς πτῶσιν κεῖται καὶ ἀνάστασιν· πτῶσιν μὲν τοῖς ἀπίστοις, ἀνάστασιν δὲ τοῖς πιστεύουσι· καὶ τοῖς μὲν ἔστι πέτρα προσκόμματος...τοῖς δὲ λίθος ἀκρογωνιαῖος Gr.Naz.*or.*17.7(M.35.973B); προσκόμματος δὲ λίθον...φησὶν ἀπὸ τῆς γνώμης καὶ τοῦ τέλους τῶν μὴ πιστευσάντων Chrys.*hom.16.10 in Rom.*(9.620D) = Jo.D.*Rom.*9:33(M.95.521A); Thdr.Mops.*Rom.*9:33 (p.150.8ff.; M.66.845A); ἁγιαζέσθω...ὁ Χριστὸς...καὶ φοβερὸς ἔστω παρ' ὑμῖν. ἔσται γὰρ οὕτως ὑμῖν ἁγίασμα, καὶ οὐχ ὡς λίθου προσκόμματι συναντήσετε αὐτῷ Cyr.*Is.*1.5(2.141B); cf. Ἰουδαῖοι περὶ...τὰ περιττὰ τοῦ νόμου κεχηνότες, τὸν ὑπὸ τῶν προφητῶν προαγορευθέντα λίθον ἰδεῖν οὐκ ἠθέλησαν Thdt.*Rom.*9:33(3.110); ὁ αὐτὸς δὲ κύριος, τοῖς μὲν ἁγίασμα, τοῖς δὲ π. γίνεται. καὶ π. μὲν ἴσως Ἕλλησιν τοῖς σοφίαν ζητοῦσιν, ἡ μωρία τοῦ κηρύγματος...διὰ τοῦτο δέ, φησίν, ἀδυνατήσουσιν ἐν αὐτοῖς πολλοί, δῆλον δι' ὅτι γέγονεν αὐτοῖς εἰς λίθον προσκόμματος Proc.G.*Is.*8:11–15(M.87.1988B–D), based on †Bas. ad loc.; **ii.** esp. ref. Christ's birth πῶς οὖν ἐγένετο λίθος π. ... Ἐμμανουήλ; διὰ τῆς ἐκ παρθένου κυήσεως. ὅθεν καὶ ὁ θεῖος ἀπόστολος ταῦτα διδάσκων ἔλεγεν, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρία. οἱ τοίνυν ἀπειθοῦντες τῇ ἰσχυρᾷ χειρὶ κυρίου ἔσχον αὐτὸν λίθον π. Eus.*Is.*8:12(M.24.145A); **iii.** esp. ref. Cross, Thdt.*Is.*8:13–15(p.44.22; 3.227–8); **iv.** with distn. bet. two passages of Is. combined by S. Paul κεῖται ἡ...λέξις ἐν ταῖς Ἡσαΐου προφητείαις διεσπαρμένως, οὐχ ὡς εἴρηται νῦν ὑπὸ τοῦ ἀποστόλου, συνηθροισμένως. περὶ μὲν ἀρχὴν τῆς βίβλου γέγραπται περὶ τοῦ κυρίου κατὰ τὴν ἔκδοσιν τὴν Ἀκύλα ἢ συμπεφώνηκε καὶ ἡ ἀποστολική·...ἔσται εἰς ἁγίασμα καὶ εἰς λίθον π. ... μετὰ πολλὰ δὲ ἔστιν ὅτι ἰδοὺ ἐμβάλλω...λίθον πολυτελῆ. ... καὶ ἔστι... κατανοῆσαι σαφῶς τὸν ἐν τῷ ἑτέρῳ λίθον ἁπλῶς εἰρημένον, ἐν τῷ ἑτέρῳ τὸν κύριον ἡρμηνευομένον ἐπὶ τοῦ θεϊκοῦ ἀξιώματος Apoll.*Rom.*9:33 (p.69.6) = Gennad.*fr.Rom.*9:33(M.85.1712B–C).

προσκόπτ-ω, 1. *stumble against*; abs., *stumble*, Jo.Mal.*chron.*4 p.89(M.97.173A); **2.** *offend* μᾶλλον ἀνθρώποις ἄφροσι...προσκόψωμεν ἢ τῷ θεῷ *1Clem.*21.5; Clem.*str.*2.12(p.142.11; M.8.992A); σοὶ τῷ θεῷ ~ειν Or.*hom.14.15 in Jer.*(p.121.20; M.13.424C); *Didasc.Jac.*2.6 (p.48.28); abs., ref. original sin ἐν μὲν γὰρ τῷ πρώτῳ Ἀδὰμ προσεκόψαμεν Iren.*haer.*5.16.3(M.7.1168B); ~ειν ποιεῖ διαλογισμοῖς ματαίοις Mac.Aeg.*hom.*5.2(M.34.496B); **3.** *take offence, find difficulty* or *perplexity* ἐπεὶ ~ουσιν οἱ ἀδελφοὶ ἡμῶν δύο εἶναι θεούς Or.*dial.*2(p.124.7); ἄνελε τὴν κακίαν, καὶ οὐ ~εις τῇ προνοίᾳ id.*hom.12.11 in Jer.*(p.97.28; M.13.393B); ἐάν ποτε ἀναγινώσκων τὴν γραφὴν προσκόψῃς νοήματι ὄντι καλῷ λίθῳ προσκόμματος...αἰτιῶ σαυτόν· μὴ ἀπελπίσῃς γὰρ τὸν λίθον τοῦτον τοῦ προσκόμματος...ἔχειν νοήματα ὥστ' ἂν γενέσθαι τὸ εἰρημένον· καὶ ὁ πιστεύων οὐ καταισχυνθήσεται id.*fr.hom.39 in Jer.* (p.196.19; M.13.541D); κατὰ μὲν τὴν καινὴν [sc. διαθήκην] οὐ ~οντες ἀλλ' ἀπολογίαν ζητοῦντες, κατὰ δὲ τὴν παλαιὰν περὶ τῶν παραπλησίων, δέον ἀπολογεῖσθαι ὁμοίως τοῖς ἀπὸ τῆς καινῆς, κατηγοροῦντες id.*princ.* 3.1.16(p.225.8; M.11.281C); μὴ ~ε τοίνυν, εἰ...τις λέγοι Meth.*res.*1.23 (p.246.12; M.41.1092C); **4.** impers., *be an obstacle* or *difficulty*, ref. Is.7:16 οὐ ~ει σοι ταῦτα λέγειν περὶ τοῦ μονογενοῦς Or.*hom.1.8 in Jer.* (p.7.2; M.13.264B); εἰ δέ τινι ~ει τοὺς ἀνθρωπίνους τεχνίτας μὴ δύνασθαι παραδέξασθαι τὸν θεὸν χωρὶς ὕλης...ὑποκειμένης κατασκευάζειν τὰ ὄντα id.*comm.in Gen.*ap.Eus.*p.e.*7.20(334D; M.12.48A); **5.** ? *be struck, knocked about* ὥσπερ γὰρ ἐν τῷ σινίῳ ὁ σῖτος ὑπὸ τοῦ σινιάζοντος ~ει Mac.Aeg.*hom.*5.2(M.34.496B) perh. for ~εται; **6.** f.l. for προκόπτειν, Nil.*exerc.*32(M.79.761A); ‡Nil.*perist.*9.8(M.79.880C).

***προσκορέω,** *be satiated*, Or.*exc.in Ps.*77:31(M.17.140C).

***προσκοσμέω,** reflex., *adorn oneself* for ἀρετὴν γὰρ τῇ σοφίᾳ συνήρμοσεν καὶ οὕτως ἐν τούτοις ἑαυτὴν...τῷ σωτῆρι Σωτερὶς προσεκόσμησεν Pamph.Mon.*Soter.*3(p.119.28).

***προσκουλκάτωρ, ὁ,** *advanced scout* (? for προσπεκουλάτωρ), Jo.Mal.*chron.*13 p.330(M.97.492C).

πρόσκρουσις, ἡ, 1. *offence* προσέκρουσας τῷ θεῷ, καὶ ἐπιλανθάνῃ; δευτέρα αὕτη π. Chrys.*hom.22.3 in 2Cor.*(10.592D); **2.** *opposition* εἰ μὴ ἐν π. ὁ τοῦ Χριστοῦ πατήρ, ὡς ὁ Μαρκίων λέγει, πρὸς τὸν ἴδιον αὐτοῦ υἱὸν γεγένηται Epiph.*haer.*42.16(p.185.19; M.41.816C).

προσκρουσμός, ὁ, *offence*, Ast.Am.*hom.*5(M.40.228B); Chrys. *hom.17.3 in 1Tim.*(11.651A).

***προσκρουστικῶς,** *offensively*, Or.*Jo.*20.16(14; p.347.26; M.14. 608D).

προσκρού-ω, 1. *collide*, ref. theory of Leucippus ὅταν εἰς μέγα κενὸν...ἀθροισθῇ πολλὰ σώματα...~οντα ἀλλήλοις συμπλέκεσθαι τὰ ὁμοιοσχήμονα καὶ παραπλήσια τὰς μορφὰς Hipp.*haer.*1.12(p.16.20; M. 16.3037A); ~ομένων τῶν νεφελῶν...γίνεται ἡ ἀστραπή Or.*hom.8.4 in Jer.*(p.60.5; M.13.341C); **2.** *offend*, c. dat., *T.Gad* 5.5; Or.*hom.13.1 in Jer.*(p.102.6; M.13.400A); Chrys.*hom.62.5 in Jo.*(8.374C); τὰ... προσκρούσματα, ἃ καθ' ἑκάστην ~ομεν τὴν ἡμέραν id.*hom.19.7 in Mt.*(7.255C); id.*hom.86.4 in Jo.*(8.518D); ἀγίῳ ἀνδρὶ προσεκρουκώς Isid.Pel.*epp.*5.22(M.78.1340A); Thdt.*Rom.*8:34(3.95); **3.** *be offensive* ἐπεὶ πατέρα ἴδιον ἔλεγεν τὸν θεὸν...εἰκὸς αὐτοὺς ἐπιφέρειν πάλιν ~οντας τὸ ἕνα πατέρα ἔχομεν, τὸν θεόν Or.*Jo.*20.16(14; p.347.14; M. 14.608C).

προσκτίζω, *create in addition* ἐγεννήθη ὁ υἱός...οὐχὶ προγενόμενος ὑπάρχων πρὸ τῶν αἰώνων, οὐχὶ προσκτισθεὶς ὕστερον Nil.*epp.*2.323(M. 79.357C).

προσκυλινδ-έομαι, *roll before*; hence **1.** *fall prostrate before* ἐδεξιοῦντο αὐτὸν ~ούμενοι τοῖς τούτου ποσὶ βρώσεως μεταλαβεῖν *A. Jo.*6(p.154.30); *M.Ner.et Ach.*13(p.13.5); Nil.*epp.*2.140(M.79.260D); **2.** *wallow*, of a lunatic προσεκυλινδεῖτο τῇ γῇ Sophr.H.*v.Anast.*(M. 92.1729A); **3.** *grovel before*, in contemptuous ref. to martyr-cults καίτοι οὐκ εἴρηται παρ' ὑμῖν οὐδαμοῦ τοῖς τάφοις ~εῖσθαι Juln.Imp. ap.Cyr.*Juln.*10(6².335C); ὑπὲρ τίνος ~εῖσθε τοῖς μνήμασι; id.*ib.* (339E).

προσκυν-έω, 1. *make obeisance* πεσόντες πάντες ἐπὶ πρόσωπον προσεκύνησαν τρίτον τῷ ἀποστόλῳ *A.Phil.*93(p.36.11); ὁ παῖς προσεκύνησεν τῷ Πέτρῳ *M.Ner.et Ach.*12(p.12.16); ‡Ath.*dial.Trin.* 3.12(M.28.1220C); to emperor, *Chron.Pasch.*p.324(M.92.829B); in gen. ἰδὼν ἡμᾶς προσεκύνησε...ἐπὶ τὴν γῆν ἑαυτὸν ἐξαπλώσας ‡Pall.*h. mon.*8.48(p.46.19; M.34.1147A); Cyr.S.*v.Sab.*24(p.108.23); **2.** *make act of reverence, bow*, in liturgy ὁ διάκονος ~ήσας ἅπαξ λαμβάνει παρὰ τοῦ ἱερέως τὸ ἅγιον ποτήριον *Lit.Chrys.*(p.395.38; M.63.921); *ib.* (p.396.33; 921); **3.** *greet, salute* ~ηθῆναι αὐτὴν παρά τινος οὐ συγχωρεῖ *M.Ner.et Ach.*7(p.5.27); δυνησόμεθα εἰρηνικοῖς γράμμασιν ἑαυτοὺς ~εῖν CIllyr.*ep.*ap.Thdt.*h.e.*4.9.8(3.962); **4.** *entreat, beg*, Isid.Pel.*epp.* 1.490(M.78.449A); **5.** *hold in honour, respect* μεταλαβὼν δὲ ὁ βασιλεὺς ...τὰ περὶ τοῦ Δημητρίου, ~ήσας ἐκέλευσε μεγάλην ποιεῖσθαι τῶν βιβλίων ἐπιμέλειαν Aristeas ap.Eus.*p.e.*8.5(355A; M.21.597A); ἐάν σοι εἴπω, θέλων ἔπαθεν [sc. Χριστός], ἵνα μοι εἴπῃς, ἄπελθε, ~ησον τοὺς Ἰουδαίους, ἐπειδὴ τὸ θέλημα τοῦ θεοῦ ἐποίησαν Jo.D.*disp.*2(M.96. 1340D); **6.** *venerate, revere, adore, worship*; **a.** ref. pagan and idolatrous worshippers, Just.*dial.*20.4(M.6.520B); ἥλιον καὶ τὴν σελήνην, ἃ γέγραπται τοῖς ἔθνεσι συγκεχωρηκέναι τὸν θεὸν ὡς θεοὺς ~εῖν *ib.*55.1 (596A); θύεις πρόβατον, τὸ δ' αὐτὸ καὶ ~εῖς Tat.*orat.*10(p.11.14; M.6. 828B); τὰς ἀντιδόσεις ~οῦντες καὶ τὰς συμφοράς. ἐντεῦθεν τὰς Ἐρινύας καὶ τὰς Εὐμενίδας...ἀναπεπλάκασιν Clem.*prot.*2(p.19.20; M.8.96A); κατὰ χρόνους ὕστερον ἀνέπλαττον θεούς, οἷς ~οῖεν *ib.*3(p.33.26; 129B); θεοὺς δὲ δὴ τοὺς ὁρατοὺς καὶ τὸν σύγκλυδα τῶν γενητῶν τούτων ὄχλον ὁ ~ῶν...αὐτῶν ἐκείνων τῶν δαιμόνων ἀθλιώτερος μακρῷ *ib.*10(p.71.3; 212A); ref. cults of hero-tombs ἐπιόντι μοι τοὺς ~ουμένους ὑμῖν τάφους, ἐμοὶ μὲν οὐδ' ὁ πᾶς ἂν ἀρκέσαι χρόνος *ib.*3(p.35.4; 133A); of image-cults ἡ τέχνη...προσάγουσα...ἐπὶ τὸ...~εῖν τά τε ἀγάλματα καὶ τὰς γραφάς *ib.*4(p.45.14; 156C); ref. cults of divine rulers νῦν μὲν τὸν Μακεδόνα τὸν...Ἀμύντου Φίλιππον ἐν Κυνοσάργει νομοθετοῦντες ~εῖν *ib.*(p.42.22; 149B); ref. worship of deified men τὰ ~ούμενα παρὰ τοῖς ἔθνεσι τὰ μὲν ~εῖται ὡς θεοί, τὰ δὲ ὡς ἥρωες...Ἡρακλέα ~οῦσιν οὐχ ὡς γεγεννημένον θεόν, ἀλλ' ὡς ἐξ ἀνθρώπου εἰς θεὸν μεταβληθέντα... ὅταν δὲ ~ῶσι τοὺς πατέρας τούτων ὀνομαζομένους παρ' αὐτοῖς θεούς, ~οῦσιν οὐχ ὡς μεταβαλόντας ἐξ ἀνθρώπων εἰς θεούς, ἀλλ' ὡς...θεοὺς ἀρχῆθεν ὄντας Or.*hom.5.3 in Jer.*(p.33.19ff.; M.13.300C); ἐάν τις ἐν τῇ γῇ τοῦ θεοῦ, τῇ ἐκκλησίᾳ, τυγχάνων ~ήσῃ θεοῖς ἀλλοτρίοις θεοποιῶν τὰ μὴ θεοποιεῖσθαι ἄξια, ἐκβληθήσεται εἰς γῆν ἀλλοτρίαν καὶ ~είτω τοὺς θεούς, οὓς ἔνδον προσεκύνησεν γενόμενος *ib.*7.3(p.53.34; 333A); οὔτε ὡς Αἰθίοπες...Δία καὶ Διόνυσον...μόνους ~ήσομεν...οὔθ'

ὡς οἱ Ἀράβιοι τὴν Οὐρανίαν καὶ τὸν Διόνυσον...ὡς θήλειαν γὰρ Ἀράβιοι τὴν Οὐρανίαν ~οῦσι, καὶ ὡς ἄρρενα τὸν Διόνυσον...εἰ δὲ καὶ Ναυκρατίταις ἄλλα μὲν ἔδοξε σέβειν τοῖς πρεσβυτέροις, τὸν Σάραπιν δὲ τοῖς χθὲς καὶ πρώην ἀρξαμένοις, τὸν οὐ πώποτε γενόμενον θεόν, ~εἶν· οὐ παρὰ τοῦτο καὶ ἡμεῖς νέον τὸν οὐ πρότερον ὄντα θεὸν...φήσομεν εἶναι id.*Cels.* 5.37(p.41.9; M.11.1237C); ref. Dt.4:19, cf.Just.*dial.*55.1 cit. supra *ἀλλ' εἰκὸς ὅτι θελήσει ἡμᾶς κατασοφίσασθαι δι' ὧν ἂν δύνηται ὁ ἐχθρὸς πρὸς τὸ ~ῆσαι τῷ ἡλίῳ...κτλ. ἀλλ' ἡμεῖς ἐροῦμεν ὅτι ὁ τοῦ θεοῦ λόγος ταῦτα οὐ προσέταξεν. ... καὶ οὐδ' αὐτός γ' ἂν θέλοι ὁ ἥλιος ~εἰσθαι ὑπὸ τῶν ἀπὸ τῆς τοῦ θεοῦ μερίδος, εἰκὸς δὲ ὅτι οὐδὲ ὑπὸ ἄλλου τινός· ἀλλὰ...ὥσπερεὶ φήσει τῷ ~εἶν αὐτὸν ἐθέλοντι· τί...με ~εἷς; κύριον γὰρ τὸν θεόν σου ~ήσεις. ... τί βούλει ~εἶν τὸν ~οὖντα; κἀγὼ γὰρ τῷ θεῷ καὶ πατρὶ ~ῶ καὶ λατρεύω* id.*mart.*7(p.8.25; M.11.573A); *παραβάτης ἐκ Χριστιανῶν καὶ εἴδωλα ἀναισχύντως ~ῶν* Ath.*ep.encycl.*5 (p.174.23; M.25.233B); Bas.*ep.*243.2(3.373D; M.32.905A); ref. pagan image-worship compared with avarice *ὥσπερ τὸ ξόανον περιέπει ὁ Ἕλλην· οὕτω σὺ τὸ χρυσίον θύραις πιστεύεις καὶ μοχλοῖς, ἀντὶ ναοῦ τὸ κιβώτιον κατασκευάζων...ἀλλ' οὐ ~ῶ τὸ χρυσίον, φησίν· οὐδὲ ἐκεῖνος τὸ εἴδωλον, φησί, ~εἶ ἀλλὰ τὸν ἐνοικοῦντα δαίμονα. οὕτω καὶ σύ, κἂν μὴ τὸ χρυσίον ~ῇς, ἀλλὰ τὸν ἀπὸ τῆς ὄψεως τοῦ χρυσίου καὶ τῆς ἐπιθυμίας ἐπισπηδῶντά σου τῇ ψυχῇ δαίμονα* Chrys.*hom.65.3 in Jo.*(8. 392E); **b.** ref. veneration of idols and all created things, forbidden to Christians *τῷ δὲ καὶ μὴ δεῖν χειρῶν ἀνθρωπίνων ἔργοις ~εἶν Μενάνδρῳ τῷ κωμικῷ καὶ τοῖς ταῦτα φήσασι ταὐτὰ φράζομεν* Just.*Iapol.*20.5(M. 6.357D); *οὐ διακρίνοντες...τὸ ἀγένητον καὶ τὸ γενητόν, τὸ ὂν καὶ τὸ οὐκ ὄν, τὸ νοητὸν καὶ τὸ αἰσθητόν...~ήσομεν τὰ ἀγάλματα;* Athenag.*leg.* 15.1(M.6.920A); Or.*mart.*7(p.9.1; M.11.573A); hence Arian doctrine of Son condemned *κτίσμα γὰρ κτίσματι οὐ ~εἶ. ... οὐκ ἂν δὲ οὐδὲ αὐτὸς προσεκυνήθη...εἰ ὅλως τῶν κτισμάτων ἦν* Ath.*Ar.*2.23,24(M.26. 196A,197A); ref. attempted distinction between *π.* and *λατρεύω* based on Ex.20:4 *εἴπερ δὲ ὁ φάσκων· οὐ ποιήσεις σεαυτῷ...καὶ τὰ ἑξῆς, ὡς διαφερόντων πρὸς ἄλληλα τοῦ 'οὐ ~ήσεις αὐτοῖς' καὶ τοῦ 'οὐδὲ μὴ λατρεύσῃς αὐτοῖς', ταῦτα λέγει, μή ποτε ὁ μὲν διακείμενος πρὸς τὰ εἴδωλα λατρεύῃ αὐτοῖς· ὁ δὲ μὴ διακείμενος ἀλλὰ διὰ δειλίαν... καθυποκρινόμενος αὐτὰ ὑπὲρ τοῦ δοκεῖν ὁμοίως τοῖς πολλοῖς εὐσεβεῖν οὐ λατρεύει μὲν ~εἶ δὲ τοῖς εἰδώλοις. καὶ εἴποιμ' ἂν ὅτι οἱ...ἐξομνύμενοι τὸν Χριστιανισμὸν...οὐ λατρεύουσι μὲν ~οῦσι δὲ τοῖς εἰδώλοις, λαμβάνοντες τὸ ὄνομα κυρίου...τό, θεός, ἐπὶ μεταίῳ...ὕλῃ· προσεκύνουν δὲ οὕτως καὶ οὐκ ἐλάτρευον εἰδώλοις ὁ βεβηλωθεὶς λαὸς εἰς τὰς θυγατέρας Μωάβ. ... τάχα δὲ οὕτως...προσεκύνησαν οὐ λατρεύσαντες τῷ μόσχῳ, ὃν γινόμενον ἐθεάσαντο* Or.*mart.*6(p.7.15; M.11.569B); distinction recognized and equated with that between outward and inward reverence *ἐπειδὴ συμβαίνει τινὰς ~ῆσαι μὲν διὰ φόβον ἀνθρώπινον, οὐ μὴν καὶ λατρεῦσαι κατὰ ψυχήν, ἐδίδαξεν ὡς ἑκάτερον ἀσεβές* Thdt.*qu.38 in Ex.*20:3(1.149); for this distinction in Christian controversy v. infra and s. *εἰκών*; **c.** of emperor, refused by Christians *μᾶλλον τιμήσω τὸν βασιλέα, οὐ ~ῶν αὐτῷ, ἀλλ' εὐχόμενος ὑπὲρ αὐτοῦ. θεῷ...~ῶ, εἰδὼς ὅτι ὁ βασιλεὺς ὑπ' αὐτοῦ γέγονεν. ἐρεῖς οὖν μοι· διὰ τί οὐ ~εἷς τὸν βασιλέα; ὅτι οὐκ εἰς τὸ ~εἶσθαι γέγονεν, ἀλλὰ εἰς τὸ τιμᾶσθαι τῇ νομίμῳ τιμῇ· θεὸς γὰρ οὐκ ἔστιν, ἀλλ' ἄνθρωπος, ὑπὸ θεοῦ τεταγμένος, οὐκ εἰς τὸ ~εἶσθαι, ἀλλὰ εἰς τὸ δικαίως κρίνειν* Thphl.Ant. *Autol.*1.11(M.6.1041A); ref. God's dealings with Nebuchadnezzar *τοὺς τὴν παρὰ πάντων ἀπαιτοῦντας προσκύνησιν τοὺς ἁγίους αὐτοῦ θεράποντας ~εἶν ἀναγκάζει* Thdt.*Dan.*2:45(2.1100); of emperor's image under Christian empire *εἰκὼν βασιλέως πληροῖ χώραν βασιλέως· καὶ ~οῦσιν ἄρχοντες...καὶ δῆμοι ~οῦσιν, οὐ πρὸς τὴν σανίδα βλέποντες, ἀλλὰ πρὸς τὸν χαρακτῆρα τοῦ βασιλέως* †Sever.*cruc.*(p.898. 43); Constantine's statue *ἐπεγείρεσθαι* [sc. subsequent emperors] *τὸν κατὰ καιρὸν βασιλέα καὶ ~εἶν τὴν στήλην τοῦ αὐτοῦ βασιλέως...καὶ αὐτῆς τῆς τύχης τῆς πόλεως Chron.Pasch.*p.285(M.92.712B); in comparison of emperor's robe with Christ's flesh *ὁ βασιλεὺς καὶ γυμνὸς ~εἶται καὶ ἐνδεδυμένος, καὶ ἡ ἀλουργίς, ὡς μὲν ψιλὴ ἀλουργίς, πατεῖται ...βασιλικὸν δὲ γενομένη ἔνδυμα, τιμᾶται* Jo.D.*f.o.*4.3(M.94.1105A); id.*imag.*3.38(M.94.1356B); Taras.*ep.*1(M.98.1433D); **d.** of God; alone worshipped by Christians, Athenag.*leg.*16.2(M.6.921A); Thphl.Ant. *Autol.*1.11(M.6.1041A); Or.*Cels.*3.77(p.268.27; M.11.1021A); *τὸ ἐναντίον ποιῆσαι, ὡς ἐποίησαν οἱ υἱοὶ 'Ισραὴλ...ἐκεῖνοι μὲν γὰρ [τὰ ἀλλότρια] ἐν τῇ γῇ τῇ ἁγίᾳ ἀλλοτρίοις προσεκύνησαν· ἡμεῖς δὲ ἐν ἀλλοτρίᾳ γῇ τὸν ἀλλότριον τῆς γῆς ~οῦμεν θεόν, ἀλλότριον τῶν ἐπὶ γῆς πραγμάτων...ἦλθεν ἐπὶ ταύτην φορέσας σῶμα...ἵνα...δυνηθῶ ~ῆσαι τὸν θεὸν ἐνθάδε καὶ μετὰ τοῦτο ~ήσω ἐν τῇ γῇ τῇ ἁγίᾳ* id.*hom.7.3 in Jer.* (p.54.14; M.13.333C); ref. Arian doctrine of Son *οὐκοῦν θεοῦ ἐστι μόνου τὸ ~εἶσθαι* Ath.*Ar.*2.23(M.26.196B); ref. Gen.18:1–2 *τίνι προσεκύνησεν ἐπὶ τὴν γῆν, ἢ τοῖς ἀνδράσιν; εἶπον ὅτι δύο ἄγγελοι ἦσαν μετὰ τοῦ θεοῦ, καὶ προσεκύνει δηλονότι τῷ θεῷ* ‡Ath.*dial.Trin.*3.9(M. 28.1216C); of Trin., Gr.Naz.*or.*37.24(M.36.308C); Gr.Nyss.*Apoll.*44 (M.45.1228C); by angels *ἤγγισεν δὲ ἡ ὥρα τῶν ἀγγέλων τῶν φυλασσόντων τὴν μητέρα ὑμῶν τοῦ ἀναβῆναι καὶ ~ῆσαι τὸν κύριον Apoc. Mos.*7(p.4); **e.** of divine attributes, etc. *τὴν χεῖρα τοῦ θεοῦ...~εἶν A.Jo.*7(p.155.13); *~εἶν αὐτοῦ τὴν φιλανθρωπίαν* Bas.*ep.*5.2(3.78B; M. 32.240C); **f.** of Christ, contrasted with martyrs *τοῦτον μὲν γὰρ υἱὸν ὄντα τοῦ θεοῦ ~οῦμεν, τοὺς δὲ μάρτυρας ὡς...μιμητὰς τοῦ κυρίου ἀγαπῶμεν M.Polyc.*17.3; in gen. *ὁδὸς ἐστιν ὁ κύριος...στενὴ ἐπὶ γῆς ὑπερορωμένη, πλατεῖα ἐν οὐρανοῖς ~ουμένη* Clem.*prot.*10(p.72.20; M. 8.213C); *ὁ κύριος, ὄψει καταφρονούμενος, ἔργῳ ~ούμενος ib.*(p.78.12; 228A); of Sophia acc. Valentinians *ἰδοῦσα δὲ αὐτὸν ἡ Σοφία ὅμοιον τῷ καταλιπόντι αὐτὴν φωτὶ ἐγνώρισεν καὶ προσέδραμεν καὶ...προσεκύνησεν* id.*exc.Thdot.*44(p.120.21; M.9.680C); *οὐ...~ήσομεν τοὺς ~οῦντας ὡς οὐδὲ Μωϋσέα καὶ τοὺς μετ' αὐτὸν ἐκ θεοῦ προφητεύσαντας...ἀλλὰ...τὸν διάκονον αὐτῶν λόγον τοῦ θεοῦ ~ήσομεν* Or.*Cels.*5.12(p.13.27; M.11. 1200B); hence, as ambassadors of Sparta refused to prostrate themselves before Persian king (Herodotus 7.136), Christ's ambassadors will worship no other power, *ib.*8.6(p.225.17; 1528B); ref. Magi *οἷα θεῷ προσκυνῆσαι τῷ τεχθέντι* Eus.*h.e.*1.8.1(M.20.100B); *τοῦ σταυροῦ γενομένου, πᾶσα μὲν εἰδωλολατρεία καθῃρέθη...καὶ μόνος ὁ Χριστὸς ~εἶται* Ath.*gent.*1(M.25.5A); Trin. *~εἶται παρ' αὐτῶν* [sc. *ἀγγέλων*], *οὐχ ὡς τῇ δόξῃ μείζων, ἀλλ' ὡς ἄλλος παρὰ πάντα τὰ κτίσματα καὶ παρ' ἐκείνους ὤν...οὐκ ἂν δὲ οὐδὲ αὐτὸς προσεκυνήθη, οὐδὲ ταὐτ' ἐλέγετο περὶ αὐτοῦ, εἰ ὅλως τῶν κτισμάτων ἦν. νῦν δέ, ἐπειδὴ οὐκ ἔστι κτίσμα, ἀλλ' ἴδιον τῆς οὐσίας τοῦ ~ουμένου θεοῦ γέννημα...διὰ τοῦτο ~εἶται* id.*Ar.*2.23,24(M.26.196A,197A); ref. Jo.11:47 *ἄνθρωπον αὐτὸν ἔτι καλοῦσιν, οἱ τοσαύτην λαβόντες ἀπόδειξιν τῆς αὐτοῦ θεότητος. τί ποιοῦμεν; πιστεῦσαι ἔδει καὶ...~ῆσαι, καὶ μηκέτι νομίζειν ἄνθρωπον* Chrys.*hom.64.3 in Jo.*(8.386D); *ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς...ἐν γὰρ τῷ οὐρανῷ δεδόξαστο, ἔν τε τῇ φύσει τὴν δόξαν ἔχων, καὶ παρὰ τῶν ἀγγέλων ~ούμενος ib.80.2*(475A); ref. mocking of Christ *μετὰ χλεύης αὐτῷ προσεκύνουν ib.83.5*(496D); Christol. *οὐ ~οῦμεν ἡμεῖς τὸν κύριον μετὰ τῆς σαρκός· ἀλλὰ διαιροῦμεν τὸ σῶμα, καὶ μόνῳ τούτῳ λατρεύομεν;* Ath.*ep.Adelph.*5(M.26.1077D); Apoll.*ep.Jov.*(p.251.2; M.28.28A) cit. s. *προσκύνησις*; *~εἶν ὁμολογεῖ Χριστὸς κατὰ τὴν σάρκα τὸν πατέρα...καὶ οὐ χωρίζεται ἡ θεότης. ~εἶται κατὰ τὴν θεότητα καὶ οὐ μερίζεται τὸ σῶμα τῇ τῆς θεότητος προσκυνήσει. οὔτε ἀφιστῶμεν τὸ σῶμα, ὅτε ~οῦμεν* Apoll.*ep.Dion.*12(p.261.10; M.*PL.*8.935Af.); *ἡ σὰρξ τοῦ κυρίου ~εἶται, καθὸ ἓν ἐστι πρόσωπον καὶ ἓν ζῶον μετ' αὐτοῦ* id.*fr.*85(p.225.19)ap.Gr.Nyss.*Apoll.* 44(M.45.1228C); Nest.*fr.*C9(p.262.4)ap.Cyr.*apol.orient.*3(p.39.10; 6^1.165C) cit. s. *προσκύνησις*; *ἕνα ~οῦμεν υἱὸν καὶ κύριον...Χριστόν* Cyr.*ep.*17(p.35.27; 5^2.70C); id.*Arcad.*6(p.64.1; 5^2.45C); id.*Nest.*2.13 (p.52.12; 6^1.59E); *τὴν ζύμην τοῦ ἀνθρωπίνου φυράματος καθαρίσας, καὶ ὥσπερ ἐξοπτήσας τῷ οἰκείῳ πυρὶ τῆς θεότητος, καὶ εἰς ἓν σὺν αὐτῇ γεγονὼς πρόσωπον καὶ μίαν ~ουμένην ὑπόστασιν* Isid.Pel.ap.*cat.Jo.* 6:35(p.250.11); *τὴν μὲν διαφορὰν τῶν φύσεων γνωρίζομεν, φύσεις δὲ οὐ ~οῦμεν, ἀλλὰ τὸ ἓν αὐτοῦ πρόσωπον ἤτοι τὴν μίαν ὑπόστασιν, μιᾷ προσκυνήσει ~οῦμεν* Pamph.H.*panopl.*10.1(p.636); *ἡ σάρξ, κατὰ μὲν τὴν ἑαυτῆς φύσιν, οὐκ ἔστι προσκυνητή, ~εἶται δὲ ἐν τῷ σεσαρκωμένῳ θεῷ λόγῳ...καὶ οὔ φαμεν, ὅτι σάρκα ~οῦμεν ψιλήν, ἀλλὰ σάρκα θεοῦ, ἤτοι σεσαρκωμένον θεόν* Jo.D.*f.o.*4.3(M.94.1105B); in doxology, ‡Ath. *imag.Beryt.*7(M.28.805B); **g.** of H. Ghost *πνεῦμα δὲ τὸ προφητικὸν σεβόμεθα καὶ ~οῦμεν* Just.*Iapol.*6.2(M.6.337A); Trin. *τίς προσεκύνησε τῷ πνεύματι, φησίν;...ποῦ τὸ χρῆναι ~εἶν...γέγραπται;...τὸ πνεῦμά ἐστιν, ἐν ᾧ ~οῦμεν καὶ δι' οὗ προσευχόμεθα...τὸ οὖν ~εἶν τῷ πνεύματι ...οὐδὲν ἄλλο εἶναί μοι φαίνεται, ἢ αὐτὸ ἑαυτῷ...προσάγειν καὶ τὴν προσκύνησιν* Gr.Naz.*or.*31.12(p.159.8ff.; M.36.145B); *~ῶ πατέρα, ~ῶ τὸν υἱόν, ~ῶ τὸ πνεῦμα τὸ ἅγιον ib.*37.24(308C); Gr.Nyss.*Maced.*24 (M.45.1332B); **h.** of angels; not to be worshipped, Ath.*Ar.*2.23(M.26. 196B); ‡Ath.*dial.Trin.*3.9(M.28.1216C); Oecum.*Apoc.*19:10(p.205); **i.** of BMV, Leont.H.*Nest.*4.37(M.86.1712B); Leont.N.*serm.*3(M.93. 1608C); Jo.D.*imag.*3.33(M.94.1352A); *ib.*3.34(1353C); *ib.*3.41(1357A); **j.** of martyrs and saints; **i.** *ἀγάπη* for martyrs contrasted with *προσκύνησις* of Christ, *M.Polyc.*17.3; reverence for martyrs contrasted with pagan cults *οὐ γὰρ ~ῶ μάρτυρας, οὐδὲ νομίζω θεούς· σὺ δὲ...ἀνθρώπους...οὐ θεοὺς ~ῶν ἀποδέδειξαι* Ast.Am.*hom.*10(M.40. 324C); *ἡμεῖς μάρτυρας οὐ ~οῦμεν, ἀλλὰ τιμῶμεν ὡς γνησίους προσκυνητὰς θεοῦ ib.*(321D); **ii.** veneration of martyrs, by Montanists *Μλέξανδρον, τὸν λέγοντα ἑαυτὸν μάρτυρα,...ᾧ ~οῦσιν καὶ αὐτῷ πολλοί* Apollon.ap.Eus.*h.e.*5.18.6(M.20.477B); of saints by orthodox, Jo.D. *imag.*3.33(M.94.1352A); Thdr.Stud.*ep.imag.*(M.99.504B); **iii.** saints' relics *ὅσιε Ἐπιφάνιε, ποίησον ἀναβλέψαι, ὅπως καὶ ἡμεῖς ~ήσωμεν τὸ τίμιόν σου λείψανον. καὶ εὐθέως ἀνέβλεψαν, καὶ εἰσελθόντες ἐν τῇ πόλει προσεκύνησαν τὸ τίμιον λείψανον τοῦ ὁσίου πατρός* †Polyb.*v. Epiph.*66(M.41.112B); **k.** other relics, autograph of Fourth Gospel *ὅπερ μέχρι νῦν πεφύλακται...ἐν τῇ Ἐφεσίων...ἐκκλησίᾳ καὶ ὑπὸ τῶν*

πιστῶν ἐκεῖσε ~εῖται *Chron.Pasch.*p.219(M.92.533B); various, cf. Jo.D.*imag.*1.16(M.94.1245B); holy places ἔνθα ἐπέβη, ἢ κεκάθικεν ἢ ἐπέφανεν...~οῦμεν ὡς τόπον θεοῦ Leont.N.*serm.*3(M.93.1600B); Jo.D. *imag.*3.34(M.94.1353A); holy sepulchre, Ath.*exp.Ps.*108:29(M.27.461A); Cross, Juln.Imp.ap.Cyr.*Juln.*6(6².194C) cit. s. σταυρός; Ast. Am.*hom.*11(M.40.537B); Dor.*doct.*4.9(M.88.1669A); Taras.*ep.*1(M.98.1433C); τὸν δὲ σταυρὸν...ὅτι διὰ τὸν σταυρωθέντα ἐν αὐτῷ Χριστὸν ~οῦμεν οἱ πιστοὶ...τὸν...σταυροῦ τύπον ἐκ δύο ξύλων συνάπτοντες ~οῦμεν. ἡνίκα δέ τις ἡμῖν τῶν ἀπίστων ἐγκαλέσειεν, ὡς ξύλον ~οῦντας δυνάμεθα τὰ δύο ξύλα χωρίσαντες, καὶ τὸν τύπον...διαλύσαντες, ὡς ἀργὰ ταῦτα ἡγεῖσθαι ξύλα...καὶ τὸν ἄπιστον πεῖσαι, ὅτι οὐ τὸ ξύλον σεβόμεθα, ἀλλὰ τὸν τοῦ σταυροῦ τύπον ‡Ath.*qu.Ant.*39,41(M.28.621D, 624B); ~οῦμεν...καὶ τὸν τύπον τοῦ τιμίου σταυροῦ...ὡς Χριστοῦ σύμβολον Jo.D.*f.o.*4.11(M.94.1132B); sacred books, id.*imag.*3.35(M.94.1353C); **i.** of images (v. προσκύνησις); **i.** by Carpocratians, Epiph. *haer.*27.6(p.311.6; M.41.376A); **ii.** by orthodox, †Bas.*ep.*360(3.463A; M.32.1100C); *A.Thadd.*4(p.275.1); Jo.Mosch.*prat.*45(M.87.2900B); **iii.** forbidden by inconoclasts, CCP(754)*decr.*ap.CNic.(787)*act.*6 (H.4.417B); Steph.Diac.*v.Steph.*(M.100.1084C); **iv.** defended, *Dial. Christ.et Jud.*(p.74.16); Sym.Styl.J.*imag.*(M.86.3220A); Leont.N. *serm.*3(M.93.1597C,1600A); ‡Ath.*qu.Ant.*39(M.28.621B); Jo.D.*imag.* 1.21(M.94.1252C,D); ‡Jo.D.*Const.*9(M.95.325A); εἴ τις ~ῶν τὴν εἰκόνα Χριστοῦ, ἐν αὐτῇ φυσικῶς τὴν θεότητα ~εῖσθαι λέγοι, ἀλλὰ μὴ καθ' ὅσον ἐστὶ σκιὰ τῆς ἐνωθείσης αὐτῇ σαρκός...αἱρετικός ἐστιν Thdr. Stud.*antirr.*1.20(M.99.349D); id.*ep.imag.*(M.99.504C); **v.** with distinction of π. and λατρεύω (q.v.): πόσα τὰ ~ούμενα εὑρίσκομεν ἐν τῇ γραφῇ. ... πρῶτον μέν, ἐφ' οἷς ἀναπέπαυται ὁ θεός...ὡς τῇ ἁγίᾳ θεοτόκῳ καὶ πᾶσι τοῖς ἁγίοις...δεύτερος τρόπος, καθ' ὃν ~οῦμεν κτίσματα, δι' ὧν καὶ ἐν οἷς ἐνήργησεν ὁ θεὸς τὴν σωτηρίαν ἡμῶν...τρίτος τρόπος, καθ' ὃν ~οῦμεν τὰ τῷ θεῷ ἀνακείμενα, τὰ ἱερὰ...εὐαγγέλια καὶ τὰς λοιπὰς βίβλους...τέταρτος τρόπος, καθ' ὃν ~οῦνται αἱ εἰκόνες αἱ ὀφθεῖσαι τοῖς προφήταις...καὶ αἱ τῶν ἐσομένων εἰκόνες, ὡς ἡ ῥάβδος Ἀαρών...πέμπτος τρόπος, καθ' ὃν ~οῦμεν ἀλλήλοις, ὡς μοῖραν θεοῦ ἔχουσι...ἕκτος τρόπος, τῶν ἐν ἀρχαῖς καὶ ἐξουσίαις ὄντων...ἕβδομος τρόπος, καθ' ὃν τοῖς δεσπόταις οἱ δοῦλοι, καὶ τοῖς εὐεργέταις...ἀλλ' οὐδενὶ δεῖ ~εῖν ὡς θεῷ, εἰ μὴ μόνῳ τῷ φύσει θεῷ Jo.D.*imag.*3.33–40 (M.94.1352A–1356C); ~ήσωμεν καὶ λατρεύσωμεν μόνῳ τῷ κτίστῃ...ὡς φύσει προσκυνητῷ θεῷ. ~ήσωμεν καὶ τῇ ἁγίᾳ θεοτόκῳ, οὐχ ὡς θεῷ, ἀλλ' ὡς μητρὶ θεοῦ κατὰ σάρκα· ἔτι ~ήσωμεν καὶ τοῖς ἁγίοις ὡς ἐκλεκτοῖς φίλοις θεοῦ...εἰ γὰρ βασιλεῦσι...καὶ τοῖς ὑπ' αὐτοῦ χειροτονουμένοις ἄρχουσι...~οῦσιν οἱ ἄνθρωποι...πόσῳ μᾶλλον ἐχρῆν ~εῖν τῷ βασιλεῖ τῶν βασιλευόντων...καὶ τοῖς αὐτοῦ δούλοις καὶ φίλοις; *ib.*3.41 (1357A); εἰκόνας τοῦ...Χριστοῦ...τῆς τε...θεοτόκου, ἁγίων τε ἀγγέλων ...καὶ πάντων τῶν ἁγίων...ἡ...ἐκκλησία παρέλαβε...~εῖν, ἤτοι ἀσπάζεσθαι· ταυτὸν γὰρ ἀμφότερα· κυνεῖν γὰρ τῇ Ἑλλαδικῇ ἀρχαίᾳ διαλέκτῳ τὸ ἀσπάζεσθαι καὶ τὸ φιλεῖν σημαίνει· καὶ τὸ τῆς πρὸς προθέσεως ἐπίτασίν τινα δηλοῖ τοῦ πόθου, ὥσπερ φέρω καὶ προσφέρω ...κυνῶ καὶ ~ῶ...ὃ γάρ τις φιλεῖ, καὶ ~εῖ· καὶ ὃ ~εῖ, πάντως καὶ φίλει Taras.*ep.*1(M.98.1432D); Thdr.Stud.*epp.*2.85(M.99.1329A); **m.** of eucharistic elements μένει γὰρ ἐπὶ τῆς προτέρας οὐσίας... νοεῖται δ' ἅπερ ἐγένετο, καὶ πιστεύεται, καὶ ~εῖται, ὡς ἐκεῖνα ὄντα ἅπερ πιστεύεται Thdt.*eran.*2(4.126); **n.** of Inc. ἐπιφανείας...ἣν...ἡμεῖς ...~οῦμεν Ath.*inc.*1.1(M.25.97A).

προσκύνημα, τό, 1. *salutation* ἡμῖν λέγοντος τοῦ λόγου· ἐάν τις διὰ τοῦτο ἐκ δευτέρου καταφιλήσῃ, ὅτι ἤρεσεν αὐτῷ...οὕτως οὖν ἀκριβώσασθαι τὸ φίλημα μᾶλλον δὲ τὸ π. δεῖ Athenag.*leg.*32.3(M.6.964C); **2.** *reverence, act of adoration,* liturg. π. τρία ἔμπροσθεν τῆς προθέσεως ποιήσαντες *Lit.Chrys.*(p.356.15; M.63.904); Trin. οὐ χρεία τρισὶ π. τὰς τρεῖς θείας ὑποστάσεις προσκυνεῖν, ἀλλὰ μιᾷ προσκυνήσει ἡ ὁλότης τοῦ προσκυνητοῦ θεοῦ φύσει προσκεκύνηται Leont.H.*Nest.*1.44(M.86. 1504B); before images ποιοῦσιν...π. τρία ἔμπροσθεν τοῦ εἰκόνος τοῦ σωτῆρος καὶ τῆς...θεοτόκου *Lit.Chrys.*(p.353.7; M.901); **3.** *object of adoration* γέγονεν ἡμῖν...τὰ ποιήματα εἰς π. ‡Ath.*diab.*1(p.5.9).

***προσκυνήσιμος,** *involving adoration* σήμερον...π. ἡμέρα τοῦ τιμίου σταυροῦ καθέστηκε ‡Chrys.*ador.*1.1(3.819B).

προσκύνησις, ἡ, 1. *obeisance, act of reverence,* in prayers τὰς ἀπὸ τοῦ πάσχα ἡμέρας ἕως τῶν Ἁγίων Πάντων μὴ γονυκλιτεῖν ἐν ταῖς εὐχαῖς, ἀλλὰ μόνον προσκυνήσεις ποιεῖν κατὰ πάντα (ref. penitents) †Jo.Jej.*poenit.*(M.88.1916D); as act of penitence προσκυνήσεις ποιείτωσαν χωρὶς μετανοιῶν *ib.*(1904C); **2.** *salutation, greeting,* (tr. Lat. *salutatio*) *Cod.Afr.*138; **3.** *adoration, veneration, worship*; **a.** pagan τῆς τῶν πολυωνύμων θεῶν λατρείας καὶ π. Arist.*apol.*2.1; εἰ δύνανται... ἄξιοι εἶναι σεβασμῶν καὶ π. σπαραττόμενοι ὑπὸ Τιτάνων Or.*Cels.*3.23 (p.219.25; M.11.945D); τὰ...ἤτοι ὡς μὴ ὄντα ἢ ὡς ὄντα μὲν καὶ τιμῆς ἄξια οὐ μὴν καὶ π. καὶ σεβασμοῦ *ib.*1.11(p.63.18; 676B); **b.** Christian, defined τοῦτό ἐστιν ἡ π., ἡ μετὰ ἱκεσίας καὶ ταπεινότητος τῶν καταθυμίων τινὸς αἴτησις γινομένη Gr.Nyss.*Maced.*25(M.45.1333B); **c.** of God, Just.*dial.*86.6(M.6.681C); τῷ θεῷ πατρὶ πρέπει δόξα, τιμὴ καὶ π. σὺν τῷ συνανάρχῳ αὐτοῦ υἱῷ καὶ λόγῳ ἅμα τῷ παναγίῳ...πνεύματι Ath.*decr.*32(p.28.25; M.25.476C); θεόν, ᾧ πᾶσα δόξα καὶ π., νῦν καὶ ἀεί Bas.*hex.*3.10(1.32E; M.29.77C); τὴν τῷ θεῷ χρεωστουμένην λατρείαν καὶ π. τῷ ἀντικειμένῳ προσῆγον...οἱ ἄνθρωποι Gr.Nyss.*Eun.*2(2 p.343.18; M.45.520B); ref. Jo.4:24 λέγει δὲ περὶ τῆς ἐκκλησίας, ὅτι ἡ ἀληθὴς π. καὶ θεῷ πρέπουσα αὕτη ἐστὶν...καθὼς καὶ ὁ Παῦλός φησιν,...τὴν λογικὴν λατρείαν ὑμῶν Chrys.*hom.33.2 in Jo.*(8.191C); Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, καὶ π. νῦν καὶ ἀεί Eus.Al.*serm.*3(M.86.332C); τὴν ὀφειλομένην π. τῷ θεῷ Cosm.Ind. *top.*3(M.88.148D); by soul of departed ψυχὴν...οἱ ἄγγελοι...ἔστησαν ...εἰς π. τοῦ θεοῦ καὶ πατρός *T.Abr.*A 20(p.103.28); ref. Jo.4:24 ἐπὰν δὲ ἐνστῇ τὸ πλήρωμα τοῦ χρόνου, τότε οὐχ ἡγητέον τὴν ἀληθινὴν π. καὶ τελείαν θεοσέβειαν τελεῖσθαι ἐν Ἱεροσολύμοις ἔτι, ὅταν τις γένηται μηδαμῶς ἐν σαρκὶ ἀλλ' ἐν πνεύματι, καὶ μηδαμῶς ἐν τύπῳ, ἀλλὰ πᾶς ἐν ἀληθείᾳ...δὶς δὲ τό, ἔρχεται ὥρα, γέγραπται...καὶ οἶμαί γε τὸ μὲν πρότερον δηλοῦν τὴν ἔξω σωμάτων π. ἐνστησομένην κατὰ τὴν τελειότητα· τὸ δὲ δεύτερον τὴν τῶν ἐν βίῳ τούτῳ...τελειουμένων Or.*Jo.*13.13–14(p.238.12; M.14.420B); τοῖς μὲν ἐξ ἀρετῆς κατορθώμασιν εὐαγγελικῶς διαλάμποντα, τῇ δὲ τῶν θείων δογμάτων ὀρθότητι τὴν ὄντως ἀληθῆ πληροῦντα π. Cyr.*Jo.*2.5(4.191C); οἱ γὰρ Ἰουδαῖοι, σωματικώτερον περὶ θεοῦ φρονοῦντες, τὴν π. ἐπὶ τὰ Ἱεροσόλυμα...ἐποιοῦντο...οἱ δὲ Χριστιανοὶ οὐχ οὕτως, ἀλλὰ μονότροπον μίαν π. πνευματικήν, ὡς ἀπεριγράφου ὄντος τοῦ θεοῦ, ἐπὶ ἀνατολὰς ποιοῦνται Cosm.Ind.*top.*5 (209A); **d.** of Christ: by Magi, Chrys.*hom.8.3 in Mt.*(7.123C); refused by Jews τοῦ θεοῦ τοῦ καὶ αὐτὸν τοῦτον ποιήσαντος λατρευταὶ ὄντες, οὐ δεόμεθα τῆς ὁμολογίας αὐτοῦ, οὐδὲ τῆς π. Just.*dial.*64.1(M.6. 621C); Trin. δοξάσῃς πατέρα ἐν υἱῷ, καὶ υἱὸν ἐν πνεύματι ἁγίῳ...μὴ σχίζων τὴν π., ἀλλ' ἑνῶν τὴν θεότητα ‡Bas.*struct.hom.*1.2(1.325C; M. 30.13B); τὸ μὲν ἕν, τῇ οὐσίᾳ γινώσκοντες, καὶ τῷ ἀμερίστῳ τῆς π. Gr. Naz.*or.*42.16(M.36.477A); μία τριὰς καὶ μία θεότης καὶ μία π. Epiph. *haer.*76.27(p.376.12; M.42.572C); δέον οὖν τρισὶ μὲν ὁμοτίμοις π. τὰς τρεῖς ὑποστάσεις τὰς θείας προσκυνεῖν Leont.H.*Nest.*1.44(M.86. 1504C); μιᾷ π. λατρεύομεν μίαν τρισυπόστατον θεότητα ‡Meth.*palm.*5 (M.18.393A); Christol. εἶναι τέλειον αὐτὸν υἱὸν θεοῦ καὶ αὐτὸν υἱὸν ἀνθρώπου, ἓν πρόσωπον καὶ μίαν τὴν π. τοῦ λόγου καὶ τῆς σαρκὸς ἣν ἀνέλαβεν. καὶ ἀναθεματίζομεν τοὺς διαφόρους π. ποιοῦντας, μίαν θεϊκὴν καὶ μίαν ἀνθρωπίνην Apoll.*fid.sec.pt.*27(p.177.8; M.10.1116C); οὐ δύο φύσεις τὸν ἕνα υἱόν, μίαν προσκυνητὴν καὶ μίαν ἀπροσκύνητον, ἀλλὰ μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην καὶ προσκυνουμένην μετὰ τῆς σαρκὸς αὐτοῦ μιᾷ π.· οὐδὲ δύο υἱούς...προσκυνούμενον...μὴ προσκυνούμενον ἀλλ' ἕνα υἱόν *ep.Jov.*(p.251.3; M.28.28A); διὰ τί οὐ λογίζεσθε, ὅτι καὶ ποιηθὲν τὸ σῶμα τοῦ κυρίου οὐ κτιστὴν ἀποφέρεται τὴν π.; τοῦ γὰρ ἀκτίστου λόγου γέγονε σῶμα· οὗ γὰρ σῶμα γέγονε, τούτῳ προσάγετε καὶ τὴν π. ‡Ath.*Apoll.*1.6(M.26.1101C); διὰ τὸν κεκρυμμένον προσκυνῶ τὸν φαινόμενον...χωρίζω τὰς φύσεις, ἀλλ' ἑνῶ τὴν π. Nest.*fr.*C 9(p.262. 6)ap.Cyr.*apol.orient.*3(p.39.12; 6¹.165C); ἀρνεῖται γὰρ [sc. Nest.]...τὴν ἕνωσιν, καθ' ἣν οὐχ ὡς ἕτερος ἑτέρῳ συμπροσκυνεῖταί τις...ἀλλ' εἷς νοεῖται Χριστὸς Ἰησοῦς υἱὸς μονογενής, μιᾷ π. τιμώμενος μετὰ τῆς ἰδίας σαρκός Cyr.*ep.*17(p.37.8; 5².72A); εἴ τις τολμᾷ λέγειν τὸν ἀναληφθέντα ἄνθρωπον συμπροσκυνεῖσθαι δεῖν τῷ θεῷ λόγῳ...ὡς ἕτερον ἑτέρῳ...καὶ οὐχὶ δὴ μᾶλλον μιᾷ π. τιμᾷ τὸν Ἐμμανουὴλ...ἀνάθεμα ἔστω *ib.anath.*8 (p.41.15; 5².76E); id.*expl.xii cap.*8(p.23.12; 6¹.154D); ἡμεῖς δὲ μιᾷ π. τιμᾶν εἰθίσμεθα τὸν Ἐμμανουήλ, οὐ δαίσταντες τοῦ λόγου τὸ ἑνωθὲν αὐτῷ καθ' ὑπόστασιν σῶμα id.*Nest.*2.10(p.47.29; 6¹.53A); *ib.*2.14(p.52.37; 60E); τὴν παρὰ πάντας τῆς κτίσεως δέχεται π. ὡς ἀχώριστον πρὸς τὴν θείαν φύσιν ἔχων τὴν συνάφειαν, ἀναφορᾷ θεοῦ καὶ ἐννοίᾳ πάσης αὐτῷ τῆς κτίσεως τὴν π. ἀπονεμούσης Thdr.Mops.*symb.*(p.98.27; M.66. 1017C); ὥσπερ...οὐ χρεία τρισὶ προσκυνήμασι τὰς τρεῖς θείας ὑποστάσεις προσκυνεῖν, ἀλλὰ μιᾷ π. ἡ ὁλότης τοῦ προσκυνητοῦ θεοῦ φύσει προσκεκύνηται, οὕτως ἐπὶ τῆς οἰκονομίας· εἰ ὡς ὑποστάσει τῇ τοῦ λόγου τοῦ σεσαρκωμένου προσάγοιμεν τὴν π., οὐ δέον τι λέγειν ἕτερον ἑτέρῳ συμπροσκυνεῖσθαι ἐν Χριστῷ, ἀλλὰ μιᾶς ὑποστάσεως προσκυνήσει τιμᾶσθαι τὸ τοῦ λόγου πρόσωπον ἕν Leont.H.*Nest.*1.44(M.86. 1504B); εἴ τις...τῶν παρ' αὐτοῦ εἰσαγομένων δύο προσώπων ἓν πρόσωπον λέγει κατ' ἀξίαν καὶ τιμὴν καὶ π. CCP(553)*anath.*5; exeg. Phil.2:10 ὅταν λέγῃ ὅτι 'αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων...' οὐ γόνατα καὶ ὀστᾶ περιτιθεὶς τοῖς ἀγγέλοις ταῦτα λέγει...ἀλλὰ τὴν ἐπιτεταμένην π. διὰ τοῦ παρ' ἡμῖν σχήματος αἰνίξασθαι βούλεται Chrys.*hom.32.3 in 1Cor.*(10.290B); Christ not to be venerated by means of images (ref. prohibition of images by Philoxenus) εἶναι δὲ μόνην αὐτῷ προσδεκτὴν...τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ π. Jo.Diacr. *fr.h.e.*ap.CNic.(787)*act.*5(H.4.305D); **e.** of H. Ghost, Ath.*decr.*32 (p.28.25; M.25.476C) cit. 3.c supra; ‡Bas.*struct.hom.*1.2(1.325C; M. 30.13B) cit. 3.d supra; τί ζυγομαχοῦσι πρὸς ἡμᾶς [sc. Macedonians]

περὶ λατρείας καὶ π.; τί κατειρωνεύονται διὰ τοῦ τῆς λατρείας ὀνόματος κατὰ τῆς θείας...φύσεως; Gr.Nyss.*Maced.*23(M.45.1329C); Eus.Al. *serm.*3(M.86.332C) cit. 3.c supra; **f.** of BMV, disallowed παρθένος καὶ τετιμημένη, ἀλλ' οὐκ εἰς π. ἡμῖν δοθεῖσα, ἀλλὰ προσκυνοῦσα τὸν ἐξ αὐτῆς γεγεννημένον Epiph.*haer.*79.4(p.479.18; M.42.745C); but v. *προσκυνητός*; **g.** of angels, contrasted with worship of God βουλομένου γὰρ τὸν θεῖον ἄγγελον προσκυνῆσαι τοῦ εὐαγγελιστοῦ, καὶ οὐχ ὡς θεὸν προσκυνῆσαι...ὅμως καὶ αὐτὴν τὴν ὡς ἀγγέλου π. φαίνεται παραιτούμενος, ἐπειδὴ ὅλως ἐστὶ π. Oecum.*Apoc.*19:10(p.205); **h.** of an inspired prophet, Thdt.*Dan.*2:45(2.1100); **i.** of Cross ἡμέρα...τὸν ...σταυρὸν προσκομίζουσα, καὶ τοῦτον προτιθεμένη εἰς π. ‡Chrys.*ador.* 1.1(3.819B); ἡ δὲ τοῦ θείου σταυροῦ καθαρωτάτη π. τὸν νοῦν ἡμῶν ἀπάγουσα τῆς τῶν αἰσχίστων ἔργων συγχύσεως Sophr.H.*or.*5(M.87. 3312D); καὶ νῷ καὶ λόγῳ καὶ αἰσθήσει τὴν π. αὐτῷ ἀπονέμοντες τοὺς ἐν τῷ ἐδάφει τοῦ σταυροῦ τύπους...κατασκευαζομένους ἐξαφανίζεσθαι... προστάττομεν CTrull.*can.*73; *Symb.Nic.*(787)(H.4.456B); προσάγειν τῷ θεῷ τὸ σέβας διὰ τῆς τοῦ σταυροῦ π. †Jo.D.*B.J.*33(M.96.1176D); **j.** of shrines, relics, holy places τοῖς βήμασι τοῖς σωτηρίοις τὴν πρέπουσαν ἀπεδίδου π. Eus.*v.C.*3.42(p.95.18; M.20.1101B); τῆς ἐκδημίας δὲ σκοπὸς ὑπῆρχε καὶ πρόφασις ἡ εἰς Μηνᾶν τὸν ἅγιον τὸν ἐν τῇ Μαρεώτῃ π. Sophr.H.*mir.Cyr.et Jo.*51(M.87.3613C); Jo.D.*imag.*1.16 (M.94.1245C); πλῆθος...εἰς π. ... συνέρρεον τῶν μακαρίων σωμάτων †Jo.D.*B.J.*40(M.96.1240A); **k.** of images (v. *προσκυνέω*); veneration defended τὴν νοερὰν π. τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων ἀποκαταστῆσαι Steph.Diac.*v.Steph.*(M.100.1117B); with distinction between π. and λατρεία (q.v.): ἀφέντες τὰς π. τοῦ διαβόλου, ταύτας [sc. icons] προσεκύνησαν οὐ λατρευτικῶς, ἀλλὰ σχετικῶς †Gr.II Papa *ep.Leon.*1(H.4. 5C); οἶδα διαφορὰν προσκυνήσεως. προσεκύνησε ποτὲ Ἀβραὰμ τοῖς υἱοῖς Ἐμμώρ...προσεκύνησε μέν, ἀλλ' οὐκ ἐλάτρευσε Jo.D.*imag.*1.8 (M.94.1240B); ἡ π. ... τιμῆς ἐστι σύμβολον· καὶ ταύτης διαφόρους ἔγνωμεν τρόπους· πρώτην, τὴν κατὰ λατρείαν ἣν προσάγομεν μόνῳ... θεῷ. ἔπειτα, τὴν διὰ...θεὸν προσαγομένην τοῖς αὐτοῦ φίλοις...ἢ τοῖς θεοῦ τόποις...καὶ τοῖς αὐτοῦ ἀναθήμασιν...καὶ...τοῖς ὑπ' αὐτοῦ χειροτονηθεῖσιν ἄρχουσιν. ... οἶδα καὶ κατὰ τιμὴν τὴν πρὸς ἀλλήλους π. ὡς Ἀβραὰμ τοῖς υἱοῖς Ἐμμώρ· ἢ τοίνυν πᾶσαν π. ἄνελε, ἢ πάσας δέχου, μετὰ τοῦ ὀφείλοντος λόγου καὶ τρόπου *ib.*1.14(1244A,B); φόβου καὶ πόθου καὶ τιμῆς ἐστιν ἡ π. σύμβολον, ὑποπτώσεώς τε καὶ ταπεινώσεως. ἀλλ' οὐδενὶ δεῖ προσκυνεῖν ὡς θεῷ, εἰ μὴ μόνῳ τῷ φύσει θεῷ *ib.*3.40 (1356C); προσκυνοῦμεν οὖν ταῖς εἰκόσιν, οὐ τῇ ὕλῃ προσφέροντες τὴν π., ἀλλὰ δι' αὐτῶν τοῖς ἐν αὐταῖς εἰκονιζομένοις *ib.*3.41(1357C); εἰ δὲ καὶ πολλάκις εὕρηται ἡ π. ἐν τῇ θείᾳ γραφῇ, καὶ τοῖς ἀστειολόγοις ἁγίοις πατράσιν ἡμῶν ἐπὶ τῆς ἐν πνεύματι λατρείας, ὡς πολύσημος οὖσα ἡ φωνὴ μίαν τῶν αὐτῆς σημαινομένων ἐμφαίνει τὴν κατὰ λατρείαν π. ἔστι γὰρ π. καὶ ἡ κατὰ τιμὴν καὶ πόθου καὶ φόβου...ἔστιν ἑτέρα κατὰ φόβον μόνον...ἔστι καὶ κατὰ χάριν...ἔνθεν καὶ ἡ...γραφὴ...'κύριον... προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις'· τὴν μὲν π. ἀπολύτως καὶ οὐ μόνῳ εἴρηκεν, ὡς διάφορα σημαινόμενα ἔχουσαν καὶ ὁμώνυμον οὖσαν τὴν φωνήν· τὸ δὲ λατρεύσεις αὐτῷ μόνῳ εἴρηκε· καὶ γὰρ μόνῳ θεῷ τὴν λατρείαν ἡμεῖς ἀναφέρομεν Taras.*ep.*1(M.98.1433Cff.); Thdr.Stud. *antirr.*1.20(M.99.349C) cit. s. *σχετικός*; id.*ep.imag.*(M.99.504B); ἐπ' αὐτοῦ δὴ Χριστοῦ λατρευτικὴ ἡ π. προσκυνῶν γὰρ αὐτὸν συμπροσκυνῶ τὸν πατέρα καὶ τὸ ἅγιον πνεῦμα...ὅπερ ἐστὶν ἡ τριαδικὴ ἡμῶν π. καὶ λατρεία· ἐπὶ δὲ τῆς εἰκόνος, ἡ αὐτὴ μὲν...σχετικὴ δὲ ὅμως, ἤγουν ὁμωνυμική id.*epp.*2.85(M.99.1328D); veneration approved καλῶς εἶναι...τὴν ὀφειλομένην π. ἀπονέμειν· εἴτε οὖν ἀσπασμόν τινι τοῦτο φίλον καλεῖν ἢ π. ... εἰ μή που τὴν κατὰ λατρείαν π. τις ἐννοήσειεν· ἄλλη γὰρ αὕτη CNic.(787)*act.*6(H.4.441C); ἀσπασμὸν καὶ τιμητικὴν π. ἀπονέμειν, οὐ μὴν τὴν κατὰ πίστιν ἡμῶν ἀληθινὴν λατρείαν, ἣ πρέπει μόνῃ τῇ θείᾳ φύσει *Symb.Nic.*(787)(H.4.456B).

προσκυνητέον, *one must venerate* οὐδαμῶς γὰρ π. τὰ κτίσματα Or. *mart.*7(p.9.1; M.11.573A).

[*]προσκυνητήριον, τό, *place of worship,* Thphn.*chron.*p.281(M. 108.693C).

προσκυνητής, ὁ, 1. *one who holds in reverence* οἱ τἀγαθοῦ π. Clem. *prot.*9(p.65.24; M.8.200B); οἱ τῆς ἀληθείας π. Cyr.*Jo.*1.2(4.19A); ὁ τῆς Χριστοῦ θυσίας π. Bas.Sel.*or.*27.2(M.85.313B); **2.** *one who makes obeisance, suppliant* πολεμίους π. ἀποφήναντι Thdt.*Ps.*128:2(1.1500); **3.** *worshipper* οἱ τῶν παρ' ὑμῖν λεγομένων θεῶν π. Arist.*apol.*2.1; οἱ τῶν λίθων π. Clem.*prot.*4(p.40.14; M.8.145A); *ib.*10(p.71.11; 212B); π. [sc. man] μικτόν, ἐπόπτην τῆς ὁρατῆς κτίσεως,...βασιλέα τῶν ἐπὶ γῆς Gr.Naz.*or.*38.11(M.36.324A) = *ib.*45.7(632A); πατὴρ ἐποίησε διὰ υἱοῦ, καὶ υἱὸς ἐκτίσατο πατρώῳ θελήματι...οὕτω κοινὸν γέγονας ἔργον, ἵνα καὶ κοινὸς π. ἀμφοτέρων ᾖς ‡Bas.*struct.hom.*1.2(1.325C; M.30. 13B); τὸν λαὸν...τέλειον τελείας τῆς τριάδος π. Gr.Naz.*or.*21.37(M.35. 1128B); of martyr as π. θεοῦ who must not receive worship due to God, Ast.Am.*hom.*10(M.40.321D); π. τῆς ἁγίας τριάδος, καὶ τῆς Χριστοῦ εἰκόνος ‡Jo.D.*ep.Thphl.*28(M.95.381A); π. εἰμι σχετικῶς ἀλλ' οὐ λατρευτικῶς *Euchol.*(p.255); ref. Jo.4:23 ὅταν τις γένηται μηδαμῶς ἐν σαρκὶ ἀλλ' ἐν πνεύματι...ὥστε ἐξομοιοῦσθαι αὐτὸν οἷς ζητεῖ προσκυνηταῖς ὁ θεός Or.*Jo.*13.13(p.238.15; M.14.420B); οἱ ἀληθινοὶ π. ἀφομοιοῦνται τῇ δόξῃ τοῦ θεοῦ *M.Carp.*7(p.11.15); τίνες οὖν εἰσιν οἱ ἀληθινοὶ π.; οἱ μήτε τόπῳ περικλείοντες τὴν λατρείαν, καὶ θεὸν ἐν πνεύματι θεραπεύοντες Chrys.*hom.33.2 in Jo.*(8.191D); τὸν ἀληθινὸν π., τὸν ἄνθρωπον δηλονότι τὸν πνευματικόν...διά τοι τοῦτο δικαίως τὸν πνευματικὸν ἀποδέχεται π., οὐκ ἐν μορφώσει καὶ τύποις φοροῦντα τῆς εὐσεβείας τὴν μόρφωσιν 'Ιουδαϊκῶς, ἀλλὰ...τῇ τῶν θείων δογμάτων ὀρθότητι τὴν...ἀληθῆ πληροῦντα προσκύνησιν...οἱ ἀληθινοὶ π. τὴν ἐν πνεύματι λατρείαν προσοίσουσι τῷ θεῷ Cyr.*Jo.*2.5(4.191B); id.*Lc.*6:12 (M.72.580B); of worshippers of Christ, Chrys.*hom.*7.5 *in Mt.*(7. 112B).

***προσκυνητικός,** *offering worship,* Cyr.ap.*cat.Lc.*6:12(p.49.11) for *προσκυνητάς* Cyr.*Lc.*6:12(M.72.580B).

προσκυνητός, 1. *to be worshipped*; **a.** of God τὸ...λουτρὸν...τῷ ἐμπαρέχοντι ἑαυτὸν τῇ θειότητι τῆς δυνάμεως τῶν τῆς π. τριάδος ἐπικλήσεών ἐστιν ἡ χαρισμάτων...πηγή Or.*Jo.*6.33(17; p.142.30; M. 14.257A); ἑνωθῆναι καὶ εὐαρεστῆσαι τῇ θείᾳ καὶ π. οὐσίᾳ τῆς θεότητος ‡Tit.Bost.*palm.*4(M.18.1269C); πρὸ τῆς ἁγίας ἐπικλήσεως τῆς π. τριάδος Cyr.H.*catech.*19.6; ἡ τριὰς π. Apoll.*fid.sec.pt.*37(p.181.22; M. 10.1120B); θεὸν καὶ λόγον καὶ πνεῦμα, μίαν οὖσαν θεότητα, τὴν καὶ μόνην π. Didym.(‡Bas.)*Eun.*5(1.306B; M.29.733C); μιᾶς τρισυποστάτου καὶ π. θεότητος Cosm.Ind.*top.*proem.(M.88.52A); καθ' ἕκαστον ὄνομα τῆς ἁγίας καὶ ὁμοουσίου καὶ π. τριάδος Jo.Mosch.*prat.*176(M.87. 3045A); πᾶσα προσκύνησις διὰ τὸν φύσει π. θεόν ἐστι Jo.D.*imag.*1.14 (M.94.1244A); *ib.*3.15(1337A); σὺ γὰρ π. καὶ δεδοξασμένος ὑπάρχεις ὁ θεὸς ἡμῶν, καὶ ὁ...υἱὸς καὶ πνεῦμά σου τὸ πανάγιον *Lit.Jac.*(p.226. 12); **b.** of Christ, ref. Ps.44:7–13 ὅτι γοῦν καὶ π. ἐστι καὶ θεὸς καὶ Χριστὸς ὑπὸ τοῦ ταῦτα ποιήσαντος μαρτυρούμενος, καὶ οἱ λόγοι οὗτοι... σημαίνουσι Just.*dial.*63.5(M.6.621B); Χριστὸς καὶ θεὸς π. διὰ Δαυείδ *ib.*126.1(768C); Trin. προσκυνεῖται...διὰ τοῦ εἶναι αὐτὸν υἱὸν τοῦ π. πατρός, ἡμεῖς δὲ προσκυνοῦμεν...διὰ τὸ εἶναι ἡμᾶς κτίσματα Ath.*decr.* 11(p.10.20; M.25.'444'(436)B); εἰ δὲ μήγε [sc. ὁμοούσιος], οὐδὲ π. οὐδὲ γὰρ προσκυνήσεις θεῷ ἀλλοτρίῳ Didym.(‡Bas.)*Eun.*5(1.317A; M.29. 760C); ἀντιμάχεται γάρ σοι [sc. Origen] καὶ ὁ λόγος. πᾶν γὰρ τὸ κτιστὸν οὐ π. ... εἰ δὲ ὅλως π., πολλῶν ἄλλων ὑπαρχόντων κτιστῶν οὐδὲν ἂν διοίσει τὸ καὶ ἡμᾶς μετὰ τοῦ ἑνὸς κτιστοῦ τὰ ὅλα προσκυνεῖν, σύνδουλα ὄντα καὶ τῇ αὐτῇ ἀγωγῇ τῆς ὀνομασίας ὑποπεπτωκότα Epiph.*haer.*64.8(p.418.7; M.41.1084B); εἰ γὰρ οὐκ ἔστιν ἀληθινὸς θεός, οὔτε π. ἐστι...καὶ εἰ οὐκ ἔστι π., πῶς ἄρα θεολογεῖται; *ib.*69.31(p.180.15; M.42.252B); ἄλλην τὴν προσκυνουμένην κτίσιν παρὰ τὸν π. κύριον, υἱὸν τοῦ θεοῦ...διὰ γὰρ τὸ ἐξ αὐτοῦ γεγεννῆσθαι ὅμοιον αὐτῷ καὶ ὄντα υἱόν· διὰ τοῦτο γὰρ καὶ π. παρὰ πᾶσι *ib.*76.8(p.349.13; M.42.529C); *ib.*76.27(p.376.5; 572B); Christol. σῶμα οὐκ ἀλλότριον τοῦ ἡμετέρου...τοῦ λόγου γεγονὸς ἔνδυμα π. †Ath.*fr.*(M.26.1245B); οὐδὲν οὕτως ἥνωται πρὸς θεὸν ὡς ἡ σὰρξ ἡ προσληφθεῖσα· τὰ μὴ οὕτως ἡνωμένα οὐδ' οὕτως π. οὐδὲν δὲ οὕτως π. ὡς ἡ σὰρξ τοῦ Χριστοῦ Apoll.*fr.*84(p.225.2)ap.Gr.Nyss.*Apoll.*44(M.45.1228B); εἰ μηδὲν ποίημα π. μετὰ τοῦ κυρίου ὡς ἡ σὰρξ αὐτοῦ *ib.*86(p.225.24; M.45. 1229A); id.*ep.Jov.*(p.251.1; M.28.28A) cit. s. *ἀπροσκύνητος*; ἔσται δὲ οὐχ ἑτέρως π., ἐὰν μὴ πιστεύσωμεν ὅτι αὐτὸς ὁ ἐκ θεοῦ λόγος ὁ παρὰ πάσης κτίσεως προσκυνούμενος σὰρξ ἐγένετο Cyr.*Arcad.*6(p.64.1; 5^{a}. 45C); πῶς ἔσται π., ὁ τοῖς προσκυνοῦσι συντεταγμένος; id.*inc.unigen.* (5^{1}.701E); ὅσον μὲν ἦν δεκτικὸν θείων αὐχημάτων τὸ ἀνθρώπινον τοῦ Χριστοῦ, μετέσχεν ὑπ' αὐτοῦ τοῦ λόγου διὰ τὴν ἕνωσιν, δι' ἣν καὶ σεπτόν ἐστι καὶ π. ‡Cyr.*Trin.*17(6^{3}.24B; M.77.1156D); ἡ σάρξ, κατὰ μὲν τὴν ἑαυτῆς φύσιν, οὐκ ἔστι π., προσκυνεῖται δὲ ἐν τῷ σεσαρκωμένῳ θεῷ λόγῳ Jo.D.*f.o.*4.3(M.94.1105B); **c.** of H. Ghost κατὰ τὸ ἔκτον... τῶν εἰς τὸ κατὰ 'Ιωάννην εὐαγγέλιον ἐξηγητικῶν [sc. 'Ωριγένης], καὶ π. αὐτὸ φανερῶς ἀπεφήνατο (cf. 1.a supra) Bas.*Spir.*73(3.61D; M.32. 204B); σὺν τῷ π. καὶ παναγίῳ καὶ ζωοποιῷ...πνεύματι Chrys.*hom.45.4 in Jo.*(8.268D); Ἀμφιλόχιος...ὑπόγυόν μοι λόγον ἀνέγνω περὶ τοῦ ἁγίου πνεύματος, ὅτι θεὸς καὶ π. ἐστιν, ἅπε δὴ παντοκράτωρ Hier. *vir.ill.*(tr.Sophr.Pal.)133(p.61.20; M.*PL*.23.716B); †Diad.*Ar.*9(M.65. 1165C); **d.** of divine glory, ‡Meth.*Sym.et Ann.*2(M.18.352C); **e.** of BMV μήτηρ θεοῦ, ἡ π. εἰς τοὺς αἰῶνας ‡Jo.D.*hom.*5(M.96.653C); σὺ π. καὶ πάσαις οὐρανίαις δυνάμεσιν Thdr.Stud.*nativ.BMV* 7(M.96. 696A); **2.** *to be venerated, venerable*; **a.** of saints ὡς τοῦ φύσει θεοῦ μέτοχοι, οὕτως εἰσὶ π., οὐχὶ φύσει, ἀλλ' ὡς τὸν φύσει π. ἐν ἑαυτοῖς ἔχοντες Jo.D.*imag.*3.33(M.94.1352C); **b.** of images; **i.** pagan ἀγάλματα...π. παρεισάγουσι Epiph.*haer.*79.4(p.479.13; M.42.745C); **ii.** Christian σεβασμίων καὶ π. εἰκόνων Jo.V H.*icon.*2(M.96.1349D); *ib.*3(1352B); v. *προσκυνέω, προσκύνησις*; **c.** of Cross, Cyr.*Is.*2.4(2. 294E); Jo.V H.*icon.*3(M.96.1352B); **d.** of events in gospel history

Nest.*ep.*5(p.32.2, v.l. *προσκυνητῶς* M.77.56B); *π. αὐτοῦ ἀναστάσεως* Procl.CP *or.*12.2(M.65.789B); **e.** of festival (Annunciation) *πανσεβάσμιος καὶ π.* Jo.Eub.*concept.BMV* 10(M.96.1476A); **f.** of Christian faith as *π. νόμος*, Const.ap.Ath.*apol.sec.*87(p.106.14; M.25.405B); **g.** of synodal definitions of faith *σωτηριώδη ὅρον καὶ τὴν π. σκέψιν διαφθεῖραι* Dam.Papa *ep.Illyr.*ap.Thdt.*h.e.*2.22.7(3.883); Gel.Cyz. *h.e.*1 proem.18,19(M.85.1196D,1197A); *ib.*2.25.3(1305B); **3.** *reverend Ἀναστασίῳ, τῷ π. ἁγίῳ τῆς ἀποστολικῆς καθέδρας ἐπισκόπῳ* (tr. Lat. *venerabilit*) *Cod.Afr.*56.

προσκυνητῶς, 1. *in worship τῇ μιᾷ τριάδι π. τὸ σέβας νέμειν* Epiph.*haer.*76.38(p.391.5; M.42.597B); **2.** *adorably*, Nest.*ep.Cyr.*2(M. 77.56B; *προσκυνητά* p.32.2); *π. κατασπαζόμενος* Thdr.Stud.*epp.*1.34 (M.99.1028C).

προσκύπτ-ω, 1. *lean towards* to whisper, Clem.*str.*1.23(p.96.16; M. 8.901A); **2.** *decline upon*, c. genit. *εἶδον ἄρτι τοῦ ὁρίζοντος τὸν ἑωσφόρον ~οντα* ‡Nil.*narr.*7(M.79.684C); abs., Vict.*Mc.*16:1(p.444. 12; f.l. for *προκεκοφυῖαν*); **3.** *be devoted to, preoccupied with πολλὰ τῇ ψυχῇ προσκεκυφώς* Synes.*ep.*126(M.66.1505C); **4.** *be placed under, be subject to* ban of excommunication *ὃν γε εἰκὸς ἀτολμότερον ἔσεσθαι προσκεκυφότα ταῖς ἐκκλησίαις ib.*72(1436A).

προσκυρ-όω, *assign to, make over to*; *π. ἑαυτῷ claim* for oneself *τὰ χρήματά σου τῷ ταμείῳ ~ωθήσεται M.Thdot.*1 8(p.66.13); (tr. Lat. *pertineo*) *Cod.Afr.*121; *ὁ γὰρ ἀρνούμενος τὸν ἀληθινὸν ἄνθρωπον τοῦ κυρίου...πλείστων ὅσων ἐμπαιγμάτων πληροῦται τοῦ διαβόλου καὶ τοῦτον ὡς οἰκεῖον Ἀπολινάριος ἔχει ἢ Βαλεντῖνος ἑαυτῷ ~οῖ* Leo Mag. *ep.*35(p.41.4; M.*PL.*54.806B); ref. objections to *Theotokos δέον ἢ ἐν ἀμφοῖν* [sc. Father and BMV] *ὁμοίαν θεωρεῖσθαι γέννησιν αὐτοῦ, ἢ τῇ κυριωτέρᾳ ~ωθῆναι τὸ ὄνομα* [i.e. for the divine generation] Leont.H.*Nest.*4.37(M.86.1709B); *τὴν δὲ αὐτῆς περιουσίαν τῇ ἑαυτοῦ προσεκύρωσεν λαύρᾳ* Cyr.S.*v.Sab.*25(p.109.13).

***προσκωμῳδέω,** pass., *be ridiculed*, ‡Nil.*perist.*9.9(M.79.881C).

προσλαλ-έω, 1. *speak to, address ὁμιλία πρὸς τὸν θεὸν ἡ εὐχή· κἂν...μετὰ σιγῆς ~ῶμεν* Clem.*str.*7.7(p.30.17; M.9.456B); Cyr.*inc. unigen.*(5[1].696D); *ib.*(706C); **2.** *address* by letter, Ign.*Eph.*3.1; id. *Magn.*1.1; **3.** *tell, instruct ταῖς ἀδελφαῖς μου ~ει ἀγαπᾶν τὸν κύριον* id. *Polyc.*5.1; **4.** *address oneself to ~ήσαντας σοφῶν βίβλοις* Gr.Naz. *carm.*1.2.10.163(M.37.692A).

προσλαλία, ἡ, *talk, Orac.Sib.*1.27.

πρωτουργός, 1. *primary, primordial*, of God τοῦ π. ἀγαθοῦ Didym.*Trin.*1.18(M.39.352A); of divine nature, *ib.*1.15(308C); Dion.Ar.*c.h.*7.1(M.3.205C); *ib.*7.2(208C); οὐ π. οὖν τὸ σκότος, ἀλλ' ἀνυπάρκτως γινόμενον κατὰ τὴν πρὸς τὸ φῶς παρακολούθησιν Proc.G.*Gen.* 1:5(M.87.57C); **2.** *originating* ὁ υἱὸς...πρωτουργὸς κινήσεως δύναμις Clem.*str.*7.2(p.8.5; M.9.412C); of souls, opp. bodies, as π. τοῦ καλοῦ καὶ τοῦ χείρονος Andr.Caes.*therap. fr.*1(p.165.6).

***πρωτοφάνεια, ἡ,** *primary revelation* ἱεροὺς νόας...τὴν πρωτοφανῆ ...π. ἀνεκπομπεύτως εἰσδεχομένους Dion.Ar.*c.h.*15.6(M.3.336A).

πρωτοφανής, *appearing first, first manifested* π. ἄνθος τοῦ ἔαρος Gr.Nyss.*ep.*12(M.46.1045A); Nonn.*par.Jo.*2:11(M.43.701C); of immediate illumination, Dion.Ar.*c.h.*10.1(M.3.272D); *ib.*15.6(336A); Synes.*hymn.*4.89(p.29, conj. for πρωτοφαῆ M.66.1605).

***πρωτοφανῶς,** *by direct revelation*, Dion.Ar.*c.h.*13.3(M.3.301C); Max.*schol.c.h.*8.1(M.4.80B).

***πρωτοφόνος, ὁ,** *first murderer*, ‡Caes.Naz.*dial.*31(M.38.893).

πρωτόχρονος, *first in time*, Geo.Pis.*hex.*1182(M.92.1525A).

πρωτόχυτος, *first-flowing*, Clem.*paed.*1.6(p.115.3; M.8.300A).

πταῖσμα, τό, *error, fault*; synon. with ἁμάρτημα, Or.*hom.*4.1 *in Jer.*(p.24.1; M.13.285D); id.*or.*28(p.381.1; M.11.529A); Meth.*symp.* 10.1(p.122.6; M.18.193A); Cyr.H.*catech.*1.1.

πταιστός, *liable to err, erring*, Max.*ep.*12(M.91.469C); Thphn.*chron.* p.210(M.108.537C); neut. as subst., Thdr.Stud.*epp.*2.99(M.99.1352C).

πταί-ω, 1. *stumble, trip, fall*, hence, met., *sin, lapse*, Pall.*h.Laus.* 70(p.166.2; M.34.1241D); αὐτὴ ἡ τῆς φύσεως ἀσθένεια καθεῖλκεν ἐπὶ τὸ ~ειν Thdr.Mops.*Gal.*1:3–5(p.8.22; M.66.900B); perf. ptcpl. act. as subst., *sinner*, Bas.*hom.in Ps.*14(1.355C; M.29.257C); perf. ptcpl. pass. neut. as subst., *sin*, Nil.*epp.*3 113(M.79.436D); *ib.*3.243(500C); **2.** *fall away* from; c. genit., Meth.*symp.*8.10(p.92.24; M.18.153B); *ib.*11.1(p.131.3; 208A); **3.** pass., *be crushed*, Apoll.ap.*cat.Mt.*27:3 (p.231.18).

πτερνίζ-ω, 1. *kick*, Thal.CP *Thds.*(p.8.30; M.91.1476A); †Gregent. *leg.Hom.*9(M.86.585C); *spur* a horse, Ath.*Pel.Ar.*1(M.26.820C); **2.** *catch by heel*; of Jacob, Or.*comm.in Gen.*ap.*philoc.*23.19(p.208.16; M.12.81C); **3.** *trip up, overcome in wrestling*, in interpn. of Jacob υἱοὶ δὲ Ἰακὼβ...οἱ τῆς κακίας πτερνίσαντες τὴν ἐνέργειαν Clem.*str.*6.7 (p.462.17; M.9.281C); ὁ βλέπων θεὸν...~ει τὰ πάθη τὰ γαστρίμαργα Isid.Pel.*epp.*1.192(M.78.305B); Cyr.*glaph.Gen.*3(1.97B); Ἰακὼβ...τὸν ~οντα τὸν σατανᾶν id.*Is.*4.4(2.685C); τύπος δ' ἂν εἴη παντὸς τοῦ ~οντος τὰς ἁμαρτίας id.*Mal.*4(3.821C); id.*Os.*138(3.170E); γνώσεται δὲ θεὸν Ἰακὼβ ὁ ἔτι...~ων τοὺς δαίμονας θεὸν δὲ Ἰσραὴλ ὁ τὴν τελείαν θεωρίαν δεξάμενος Proc.G.*Is.*2:1–4(M.87.1873C); **4.** *deceive, cheat, overthrow by stratagem*, of Dan (antichrist) ὄφις...ὁ...πτερνίσας τὸν Ἀδάμ Hipp.*antichr.*14(p.11.16; M.10.737B); Thdr.Mops.*Mal.*3:8–10 (M.66.625B); Nil.*Eulog.*25(M.79.1125C); ‡Just.*ep.Zen.et Ser.*5(M.6. 1188C); **5.** *supplant*, Gr.Naz.*ep.*153(M.37.260B); id.*carm.*2.1.11.425 (M.37.1058A); of supplanting of old Israel by Church, †Gregent. *disp.*(M.86.629A) cit. s. πτερνισμός.

πτερνισμός, ὁ, 1. *striking with the heel, kick*, ref. Ps.40:10 applied to Judas, Cyr.H.*catech.*13.6; **2.** *deception, stratagem*, ‡Ath.*synops.*18 (M.28.328A); Nil.*Eulog.*25(M.79.1125C); **3.** *supplanting*, ref. Jacob προοίμιον ἦν ὁ π. ἐκεῖνος τοῦ ἡμετέρου π.· ἐκεῖ γὰρ ὁ νεώτερος υἱὸς τὸν πρεσβύτερον ἐπτέρνισεν· ἐνταῦθα γὰρ ὁ νεώτερος ὄχλος τὸν πρεσβύτερον λαὸν ἐπτέρνισεν †Gregent.*disp.*(M.86.629A).

***πτερνιστήρα, ἡ,** *spur*, Gr.Mag.*dial.*(tr.Zach.)1.2(M.*PL*.77.158C).

πτερνιστής, ὁ, 1. *one who trips up, vanquisher* in wrestling; of Jacob as type of Christian who vanquishes sin, passions, etc., Or. *exc.in Ps.*80:2(M.17.149B); π. γὰρ ὁ Ἰακὼβ ἑρμηνεύεται, ὡς τὸν ἀρετῆς ἐναβλῶν ἀγῶνα Eus.*p.e.*11.6(519A; M.21.860D); Nil.*epp.*3.112(M.79. 436C); Cyr.*glaph.Gen.*3(1.97B); id.*Os.*138(3.170E); id.*Mal.*4(3.821C); **2.** *deceiver, cheat*, of Devil τὸν παλαιὸν π. †Gregent.*disp.*(M.86.664B).

***πτεροβολ-έω,** *put forth wings* οἱ γὰρ ὑπομένοντες τὸν κύριον... ~ήσουσι Hesych.S.*temp.*2.45(M.93.1525B), cf.Is.40:31(πτεροφυήσουσι LXX).

***πτεροβόλος,** *having wings*; of an angel, Tim.Ant.*nativ.Jo.Bapt.* 2(M.28.909B); *flighty, wanton*, of a disreputable woman, *Ep.*ap. CSyr.*act.*(*ACO* 3 p.95.8; H.2.1369B); *ib.*(p.96.17; 1372B).

***πτεροειδής,** *of winged appearance*; of a demon, *T.Sal.*14.4(M. 122.1336D).

πτερόεις, *winged*; of man's nature before Fall, Gr.Nyss.*hom.*15 *in Cant.*(M.44.1101A).

πτεροκοπέω, *clip the wings of*, c. acc., ‡Epiph.*hom.*4(M.43.481C).

πτερόν, τό, *wing*; **1.** worn on head of ἱερογραμματεύς in Egyptian rites, Clem.*str.*6.4(p.449.7; M.9.253B); **2.** of 'wings' of God κατ' ἄλλας καὶ ἄλλας αἰτίας τε καὶ δυνάμεις ὀνομάζουσι τὴν ὑπερφαῆ... ἀγαθότητα καὶ...ὀφθαλμοὺς αὐτῆς...καὶ π. ... ὑμνοῦσι Dion.Ar.*d.n.*1.8 (M.3.597B); of 'sun of righteousness' τοῖς πνευματικοῖς χαρίσμασιν οἷόν τισι π. συγκαλύψας, ἴασιν ταῖς...παρέσχε ψυχαῖς Thdt.*Mal.*4:2(2. 1693); cf. πτέρυξ; **3.** of wings of angels, esp. seraphim and cherubim οὐδὲν ἄλλο δηλοῖ τὰ π. ἢ τὸ τῆς φύσεως ὕψος Chrys.*incomprehens.*3.5 (1.468B); id.*hom.*6.2 *in Is.*6:1(6.140A); τῆς δὲ τῶν π. ἐξαπλῆς ἱεροπλαστίας τὴν ἐπὶ τὸ θεῖον ἐν πρώταις, ἐν μέσαις, ἐν τελευταίαις νοήσεσιν ἀπόλυτον καὶ ὑπερτάτην ἀνάστασιν, ἀλλὰ καὶ τὸ ἀπειρόπουν αὐτῶν... ὁρῶν ὁ...θεολόγος, καὶ τὸ τοῖς π. ἀποδιαστέλλεσθαι τὴν ὑπὸ τοὺς πόδας καὶ τὴν ὑπὲρ πρόσωπα θεωρίαν, καὶ τὴν ἐν τοῖς μέσοις π. ἀεικινησίαν, πρὸς τὴν νοητὴν τῶν ὁρωμένων ἀνήγετο γνῶσιν, ἐκφαινομένης...τῆς... τῶν θεομιμήτων ἐνεργειῶν...ὑψιπετοῦς ἀεικινησίας Dion.Ar.*c.h.*13.4 (M.3.304D); τὸ γὰρ π. ἐμφαίνει τὴν ἀναγωγικὴν ὀξύτητα...ἡ δὲ τῶν π. ἐλαφρία τὸ κατὰ μηδὲν πρόσγειον, ἀλλ' ὅλον ἀμιγῶς...ἐπὶ τὸ ὑψηλὸν

ἀναγόμενον *ib.*15.3(332D); τὴν δὲ τῶν π. ... ἐξαπλῆν θέσιν, οὐκ ἀριθμον ἱερὸν ἐμφαίνειν οἶμαι, κατὰ τὸ δόξαν ἑτέροις, ἀλλ' ὅτι...παντελῶς ἐστι... ὑπερκόσμια τὰ πρῶτα, καὶ μέσα, καὶ τελευταῖα τῶν νοερῶν...δυνάμεων id.*e.h.*4.3.7(M.3.481A); *ib.*4.3.8(481B); **4.** of soul, ref. supramundane fall ἐκεῖθεν δὲ διὰ κακίας τῶν π. ἐκπιπτόντων χαμαιπετεῖς πρόσγειοι γίνονται, τῇ παχύτητι τῆς ὑλικῆς καταμιγνύμεναι φύσεως Gr.Nyss. *anim.et res.*(M.46.113C); **5.** ref. spiritual ascent, Clem.*prot.*10(p.76.9; M.8.221C) cit. s. ἁπλότης; ἡ τῶν π. τῆς σωφροσύνης συγκρατεῖται φύσις Meth.*symp.*8.1(p.82.1; M.18.140B); Chrys.*bapt.Chr.*4(2.374C) cit. s. ἀετός; καθαροὶ τοίνυν κἂν τοῖς λογικοῖς, οἱ μὴ τοῖς γηίνοις προστετηκότες, ἀλλὰ τὰ π. τῆς πίστεως ἔχοντες...ταῦτα δὲ ἡμῖν... περιτίθησι Παῦλος, τὰ π. λέγων τῆς χάριτος καὶ τὰ ὅπλα τοῦ πνεύματος Thdt.*qu.11 in Lev.*(1.190); of breaking of wings of sacrificed birds, as symbol of soul's humility, Cyr.*ador.*16(1.564D); **6.** of prayer, and almsgiving, Chrys.*poenit.*3.1(2.295C,D) cit. s. ἐλεημοσύνη; π. ἐστι τῆς εὐχῆς ἡ ἐλεημοσύνη Jo.Clim.*scal.*28(M.88.1145C); **7.** of Christ as π. οὐράνιον παναγοῦς ποίμνης Clem.*paed.hymn.*21(p.291; M.8.681B); **8.** of wings of H. Ghost raising soul to heavenly sphere, Chrys. *hom.12.2 in Phil.*(11.292A).

πτεροποι-έω, *make winged,* met. ~οῦσι...αἱ θεῖαι γραφαὶ τοὺς πιστούς, τῷ πόθῳ τῶν οὐρανίων Ath. *fr.1 in Cant.*(M.27.1349C); ἐπτεροποιήθης τῇ πίστει Procl.CP *or.*15.3(M.65.801D).

πτερορρο-εω, = πτερορρυέω: ῥοπῇ δέ τινι τῇ πρὸς κακίαν ~ούσας τὰς ψυχὰς ἐν σώματι γίνεσθαι Gr.Nyss.*anim.et res.*(M.46.112C).

πτερορρυ-έω, *moult, lose feathers* of wings, hence *lose power of flight,* Bas.*hex.*8.5(1.75C; M.29.176C); met. κηλούμενοι γὰρ ταῖς ἡδοναῖς...~οῦσι πολλοί Meth.*symp.*8.1(p.81.17; M.18.140A); ψυχὴ διὰ τῆς παρακοῆς τῶν πρωτοπλάστων ~ήσασα Gr.Nyss.*hom.15 in Cant.*(M.44.1101C); id.*Eun.*1(1 p.210.13; M.45.457C); Thdr.Stud.*epp.* 2.208(M.99.1629C).

πτεροῤῥύησις, ἡ, *moulting*; met., of bias to evil which causes soul's fall into body acc. Platonist doctrine, Gr.Nyss.*anim.et res.* (M.46.117A).

***πτεροφορέω,** *be winged,* Cyr.*ador.*14(1.508A).

πτεροφυ-έω, *grow wings, 1Clem.*25.3; met. οἱ ~οῦντες μαθηταί Or.*comm.ser.3 in Mt.*(p.98.12; M.13.1669D); of Jo. Bapt. ἀκρίδας ἐσθίοντα καὶ ~ήσαντα τὴν ψυχήν Cyr.H.*catech.*3.6; ~ῆσαι καὶ πρὸς τὰς οὐρανίους ἀψίδας ἀναδραμεῖν Chrys.*subintr.*13(1.248B); Isid.Pel.*epp.* 1.282(M.78.348C); ὅστις ἐποχεῖται κουφότητι κενῆς δόξης, οὐδέποτε ~ήσει πρὸς τὸν τῆς ἀληθοῦς δόξης ἔρωτα ‡Nil.*vit.cog.*(M.79.1461C); ἐπεφάνη ὁ Χριστὸς ἵνα δι' ὁσιότητος καὶ δικαιοσύνης αὖθις ~ήσωμεν Proc.G.*Cant.*6:4(M.87.1709D).

πτεροφυΐα, ἡ, *growing of wings,* not to be inferred in lit. sense from descriptions of angelic beings, Dion.Ar.*c.h.*2.1(M.3.137A).

πτερ-όω, *give wings to, provide with wings, make to fly*; **1.** ref. spiritual ascent, Clem.*prot.*10(p.76.9; M.8.221C); ἂν εὐξαίμην τὸ πνεῦμα τοῦ Χριστοῦ ~ῶσαί με εἰς τὴν Ἱερουσαλὴμ τὴν ἐμήν id.*str.*4.26 (p.324.24; M.8.1381A); οἱ δ' ἐντραφέντες γνησίως τοῖς τῆς ἀληθείας λόγοις...εἰς οὐρανὸν ~οῦνται *ib.*1.1(p.5.9; 692A); 'τὴν ψυχὴν ἐπτερωμένην' τῷ πόθῳ τῶν κρειττόνων *ib.*7.7(p.30.23; M.9.456B), cf.Plato *Phaedrus* 246B,C; Serap.*ep.mon.*1(M.40.928A); ἡ σὰρξ ἐβάρησεν, ἀλλ' ὁ λογισμὸς ἐπτέρωσεν Gr.Naz.*or.*37.11(M.36.296B); id.*carm.*1.2.10.415 (M.37.710A); Chrys.*hom.43.5 in Mt.*(7.465C); δυνήσῃ κατὰ μικρὸν ~ῶσαί σου τὴν διάνοιαν id.*hom.17.2 in 1Cor.*(10.148B); φιλοσοφία ἀτάραχον δύναται τηρῆσαι ψυχὴν καὶ ~ῶσαι *ib.27.4*(349A); Isid.Pel. *epp.*1.166(M.78.292C); Cyr.*Is.*2.5(2.344A) cit. s. πτέρυξ; Geo.Pis. *carm.*3.13; **2.** ref. 'wings' of prayer νηστείᾳ καὶ σάκκῳ καὶ σποδῷ τὴν προσευχὴν ~ώσας προσέφερεν τῷ θεῷ Thdt.*Dan.*9:3(2.1229); **3.** ref. departed souls ascending to heaven, Ath.*v.Anton.*66(M.26.937A); **4.** of man's nature before Fall ἐπτέρωται κατὰ τὴν...γραφὴν τὸ πρωτότυπον Gr.Nyss.*hom.15 in Cant.*(M.44.1100D); **5.** in bad sense, *make light* or *wanton,* Clem.*paed.*3.11(p.269.17; M.8.632B).

πτερύγιον, τό, 1. *little wing,* ref. breaking of wings (Lev.1:17) interpreted as symbol of humility, Cyr.*ador.*16(1.564D); **2.** *border* of high-priestly robe, Nil.*serm.*10(M.79.1277D); of Saul's garment (1Reg.24:15) interpreted as τὸ ἦθος τῆς κατὰ τὴν ἠθικὴν φιλοσοφίαν ἀσχημοσύνης, †Cyr.*coll.VT*(6[4].69A; M.77.1277D); of Scribes' robes, Jo.D.*haer.*15(M.94.688A); of entire high-priestly robe, ‡Bas.Sel. *or.*38.4(M.85.413A); **3.** *pointed roof, 'wing'* of Temple, scene of S. James's martyrdom, Heges.ap.Eus.*h.e.*2.23.12(M.20.200B); fell at earthquake at Crucifixion, *Narr.Jos.*3.4(p.467); in vision of Christ and Moses appearing on Temple, †Gregent.*disp.*3(M.86.749B); **4.** medic., *membrane* in brain, Hipp.*haer.*4.51(p.76.13; M.16.3122B); *cartilage* joining nose to cheek, Melet.*nat.hom.*3(M.64.1180C).

πτερυγόω, *furnish with wings,* ref. creation in divine image, Or.*sel.in Gen.*(M.12.93C) cit. s. sq.

πτέρυξ, ἡ, *wing*; **1.** of 'wings' of God ἡμεῖς μὲν οὐκ ἐπτερυγώμεθα, περὶ δὲ θεοῦ λέγει...ὅτι ὑπὸ τὰς π. αὐτοῦ ἐλπιεῖς. εἰ δὲ ἐκεῖνος μὲν π. ἔχει, ἡμεῖς δέ ἐσμεν ζῷον ἄπτερον, οὐ κατ' εἰκόνα θεοῦ γέγονεν ὁ ἄνθρωπος Or.*sel.in Gen.*(M.12.93C); πτέρυγας δὲ νοήσεις τὰς τῆς προνοίας αὐτοῦ δυνάμεις Eus.*Ps.*16:8(M.23.164A); ἔθος τῇ θείᾳ γραφῇ πτέρυγας καλεῖν τὴν ἐπισκοπικὴν δύναμιν τοῦ θεοῦ Ath.*exp.Ps.*56:2(M. 27.257D); τῆς γὰρ φρουρητικῆς αὐτοῦ δυνάμεως εἰς π. λαμβανομένης Cyr.H.*catech.*6.8; τὸ πτερύγων ὄνομα διά τινος τροπικῆς θεωρίας εἰς τὸ θεοπρεπὲς μεταληφθήσεται νόημα, δυνάμεώς τε καὶ μακαριότητος καὶ ἀφθαρσίας...διὰ τοῦ ὀνόματος τῶν π. σημαινομένων Gr.Nyss.*hom.15 in Cant.*(M.44.1101A); π., τὸ σκεπαστικόν Didym.(‡Bas.)*Eun.*5(1. 316C; M.29.757C); πανταχοῦ...ἡ εἰκὼν αὕτη τῶν π. ... τὴν...σκέπην καὶ πρόνοιαν ἐνδεικνυμένη Chrys.*hom.74.3 in Mt.*(7.718D); misunderstanding refuted that man is not made in God's image because not possessed of wings, Isid.Pel.*epp.*3.95(M.78.800C); 'wings' interpreted of Son and H. Ghost, Cyr.*Ps.*16:8(M.69.817A); πτέρυγας...τὴν ὀξεῖαν καὶ σύντομον τῆς προνοίας ἀσφάλειαν Thdt. *Ps.*16:8(1.698); π. γὰρ τὴν τοῦ θεοῦ κηδεμονίαν καλεῖ id.*Ps.*60:5(1. 1009); **2.** of 'sun of righteousness' (Mal.4:2); prophecy applied to Maccabean age, Thdr.Mops.*Mal.*4:2(M.66.629C); referred to gift of H. Ghost, Cyr.*Mal.*64(3.867Eff.); cf. πτερόν; **3.** of angels, esp. cherubim and seraphim δώδεκα πτέρυγας ἄμφω ἔχει καὶ διὰ τοῦ ζῳδιακοῦ κύκλου καὶ τοῦ κατ' αὐτὸν φερομένου χρόνου τὸν αἰσθητὸν κόσμον δηλοῖ Clem.*str.*5.6(p.350.5; M.9.61B); six wings correspond to spiritual senses, Eus.*Is.*6:2(M.24.125A,B); αἱ π. τὸ ὕψος ἐμφαίνουσι τῆς φύσεως...οὐκ ἐπειδὴ πτερὰ περὶ τὸν ἄγγελον, ἀλλ' ἵνα μάθῃς, ὅτι ἐκ τῶν ὑψηλοτάτων χωρίων...πρὸς τὴν ἀνθρωπίνην ἀφίκται φύσιν Chrys.*incomprehens.*3.5(1.468B); αἰνίττονται αἱ π. τὸ ὑψηλὸν καὶ μετάρσιον τῶν δυνάμεων τούτων id.*Is.interp.*6:3(6.66D); αἱ ἓξ π. ἐνδείκνυνται αὗται τὸ ὑψηλὸν καὶ μετάρσιον καὶ κοῦφον καὶ τὸ ταχὺ ἐκείνων τῶν φύσεων id.*hom.6.2 in Is.*6:1(6.140A); veiling of faces with wings symbol of inability to see beginning or end of thought about God, Cyr.*Is.*1.4(2.103A); Thdt.*Ezech.*1:8(2.684); Dion.Ar.*e.h.* 4.3.5(M.3.480B); πτέρυγες...αἵπερ εἰσὶν ἔμφυτοί τινες ἀρεταί, δι' ἃς ὑψοῦνται τοσοῦτον, ὡς πλησίον εἶναι θεοῦ τὸν νοῦν ἔχοντας Proc.G.*Is.* 6:1–5(M.87.1933A); **4.** of man's original nature, which possessed 'wings' of immortality, etc., Gr.Nyss.*hom.15 in Cant.*(M.44.1101A); **5.** exeg. Ps.54:7 τίς δώσει πτέρυγας ὡσεὶ περιστερᾶς;...τίς καταξιώσῃ με τῆς χάριτος τοῦ πνεύματος; Or.*Ps.*54:7(p.56); cf. *hoc dicit prophetes non orans, ut corporales pennas accipiat columbae, sed pennas columbae spiritus sancti,* id.*hom.6.6 in Is.*(p.277.19; M.13. 245B); περιστερᾶς γὰρ δίκην ἀκάκου πτέρυγας ἐκφεῦξαι καὶ πετασθῆναι, ὡς ἂν φύγοι τὰ κακά, ἠξίου Eus.*Ps.*54:7(M.23.477B); **6.** of spiritual 'wings', i.e. virtues, etc.; ref. Pr.23:5, cf. *si accipiamus igitur pennas, leviter audiemus; si autem peccaverimus et negligentes fuerimus circa alas et defluxerunt pennae nostrae, gravabimur et graviter audiemus,* Or.*hom.6.6 in Is.*(p.277.22; M.13.245B); id.*comm. ser.47 in Mt.*(p.98.14; cf.M.13.1669D); of learning, cf.id.*hom.2.2 in Ex.*(p.156.26; M.12.306B); τῷ πτέρυγας περιστερᾶς ἀναλαβεῖν διὰ τῶν ἀρετῶν Proc.G.*Cant.*6:4(M.87.1709D); of profane scholarship, cf.Or.*hom.1.1 in Ex.*(p.145.18; M.12.297C); **7.** exeg. Is.24:16 πτέρυγας δὲ τῆς γῆς εἰκάσιν ὀνομάζειν τοὺς ἁγίους μυσταγωγούς, ὧν τοῖς λόγοις μονονουχὶ...πτερούμενοι τὰ ἄνω φρονοῦμεν Cyr.*Is.*2.5(2.343E); π. τῆς γῆς τὴν πίστιν καὶ τὴν θεογνωσίαν ὠνόμασεν Thdt.*Is.*24:16 (p.99.16; 2.291); π. ... τοὺς τοῖς θείοις λόγοις αὐτοὺς ἀποστόλους ἀναπτερώσαντας Proc.G.*Is.*24:1–23(M.87.2193A); **8.** liturg., ref. consecration of chrism τὸ μύρον...λαβὼν ἐπιτίθησι τῷ...θυσιαστηρίῳ, περικεκαλυμμένον ὑπὸ δυοκαίδεκα πτέρυξιν ἱεραῖς Dion.Ar.*e.h.*4.2(M. 3.473A); *ib.*4.3.4(477C); **9.** ref. Is.18:1 πτέρυγας...ὀνομάζει τὰ ἱστία Cyr.*Is.*2.3(2.274D); Proc.G.*Is.*18:1–7(M.87.2137C).

πτερύσσ-ομαι, *flutter, flap the wings*; met., be *stimulated, excited,* Isid.Pel.*epp.*1.151(M.78.605B); ~εσθαι...τὰ πάθη ‡Nil.*perist.*10. 3(M.79.892A).

πτέρωμα, τό, *plumage,* hence *power of flight,* ref. soul's ascent παρθενία...ᾗ καὶ τὸ τῆς ψυχῆς καταρδόμενον ἀληθῶς αὔξεταί τε καὶ κουφίζεται π. Meth.*symp.*8.1(p.81.9; M.18.140A).

πτέρωσις, ἡ, *plumage,* hence met., *that which enables* the soul *to fly* π. γὰρ ἡ τῆς ψυχῆς πνεῦμα τέλειον Tat.*orat.*20(p.22.11; M.6. 852A).

***πτερωτής, ὁ,** *one who encourages,* Gr.Naz.*or.*21.10(M.35.1093A).

πτερωτικός, *winged*; of S. Mark, in comparison of Evangelists with four beasts τὴν π. εἰκόνα τοῦ εὐαγγελίου δεικνύων Iren.*haer.*3.11. 8(M.7.888B); ‡Germ.CP *contempl.*(M.98.396B) cit s. μανδύας.

πτερωτός, *winged*; **1.** of God in popular anthropomorphic misunderstandings of scripture, Cyr.H.*catech.*6.8; **2.** of angelic beings ὁ προφήτης τὴν ὀξύτητα τῶν ἀγγέλων πετεινῷ π. ὡμοίωσεν διὰ τὸ

κοῦφον καὶ ἐλαφρὸν τῶν ἀγγέλων Hipp.*Dan.*4.30.1(M.10.685B); τροχοί, π. μὲν ὄντες,...τῆς πορευτικῆς αὐτῶν ἐνεργείας δύναμιν Dion.Ar.*c.h.*15.9(M.3.337C); ἡ τῶν λογίων...σοφία...τὸ καθόλου π. αὐτῶν αἰνισσομένη, καὶ...τῆς ἐπὶ τὸ ὄντως ὂν ἀναγωγικῆς δυνάμεως id.*e.h.*4.3.7(M.3.481A); **3.** of primal *ἄνεμος* identified with *ὄφις* in Naassene system, Hipp. *haer.*5.19(p.120.9; πρῶτον οὖν M.16.3183B).

***πτέσις, ἡ,** prob. error for *πεῦσις*, Ast.Am.*hom.*7(M.40.253B).

***πτηνοπρόσωπος,** *with the face of a bird*; of demons, *T.Sal.*18.1 (M.122.1341A).

πτῆσις, ἡ, *flight*; **1.** of birds as means of divination first practised by Phrygians and Isaurians, Tat.*orat.*1(p.1.6; M.6.804A); ἡ τῶν ὀρνίθων π. σημαίνει τι, οὐχὶ ποιεῖ Clem.*exc.Thdot.*70(p.129.23; M. 9.692B); **2.** of seraphim ἡ δὲ π. τὸ μετάρσιον αἰνίττεται τοῦ φρονήματος Thdt.*Is.*6:2(p.31.23; 2.207); **3.** of H. Ghost at Jordan, indicating Christ, Bas.Sel.*or.*34.1(M.85.369B); **4.** of sun's *course*, Cyr. *Ps.*18:6(M.69.829C).

πτήσσω, 1. *cower for fear* π. ἀπὸ προσώπου αὐτοῦ *Pers.*(p.3.22); med., Cyr.H.*catech.*14.19; **2.** *dread, fear,* Or.*engast.*7(p.290.1; M.12. 1021C).

πτισμός, ὁ, *pounding,* Gr.Naz.*carm.*1.2.10.688(M.37.730A).

πτίσσω, *pound, belabour* ὑπέροις σιδηροῖς ἐπτίσσετο [sc. Ἀνάξαρχος] Clem.*str.*4.8(p.274.15; M.8.1269A); Gr.Naz.*ep.*32(M.37.72A); Nemes.*nat.hom.*30(M.40.721A).

πτο-έω, 1. *terrify, scare*; pass. c. acc., *be terrified, scared of,* Jo. Mal.*chron.*18 p.432(M.97.637B); τὸ ἓν μέρος ~ηθὲν τὸν νόμον †Gregent. *leg.Hom.*32(M.86.597D); **2.** met., *flutter, excite*; pass. c. acc., *be excited at, be desirous of* τὴν δόξαν ἐπτοημένοι Nil.*exerc.*1(M.79.720B).

***πτοητέον,** *one must be scared, dismayed,* Thdr.Stud.*epp.*2.6(M. 99.1128B).

***πτυκτίον, τό,** *volume, book* (opp. papyrus roll), Gr.Naz.*ep.*31(M. 37.69A); π. τῆς Ὠριγένους φιλοκαλίας *ib.*115(212C); *ib.*202(332B); met. τὸν...τῆς γνώσεως νόμον ἐν π. τῆς καρδίας Const.Diac.*laud.*33(M.88. 517A).

πτυκτός, *folded*; fem. as subst. = foreg. ταῖς θείαις π. Isid.Pel. *epp.*1.73(M.78.233A).

πτύξ, ἡ, 1. *volume, book* (opp. papyrus roll) τῶν ἱερῶν πτυχῶν Dion.Ar.*e.h.*3.2(M.3.425C); τῶν ἁγιογράφων π. *ib.*3.3.8(437A); **2.** sens. dub., Synes.*hymn.*2.18(p.44; M.66.1592); *ib.*4.161(p.31; M. 66.1606).

πτύξις, ἡ, *enfolding,* Ath.*Ar.*1.1(M.26.13B, vv.ll. τάξιν, πτῆξιν); ‡Caes.Naz.*dial.*183(M.38.1160).

***πτῦρμα, τό,** *consternation,* Jo.Mal.*chron.*7 p.184(M.97.293B).

***πτύρσις, ἡ,** *disturbance, commotion,* Epiph.*haer.*42.12(p.168.16; M.41.792D); *ib.*62.2(p.391.11, v.l. πεῦσιν 1053A).

***πτύρτης, ὁ,** *one who scares* or *disturbs* π. τῶν περιστερῶν Epiph. *haer.*77.16(p.429.20; M.42.661D).

πτύρω, *perturb, scare, Hom.Clem.*2.39; Epiph.*haer.*70.9(p.241.15; M.42.353B); *ib.*77.15(p.429.10; 661C); *ib.*77.19(p.433.18; 669A).

πτύσμα, τό, *spittle*; **1.** ref. Jo.9:6, cf. *gentium populus, cui salvator reddidit visum, saliva sua unguens oculos ejus...mittebat eos quos spiritu unxit, ut crederent, ad Siloam,* Or.*hom.6.3 in Is.*(p.273.31; M.13.242C); cf.Meth.*res.*2.10(p.353.8); anointing with spittle signifies bestowal of Christ's power and that his body imparts φωτισμός through mere contact, Cyr.*Jo.*6.1(4.602D, 603A); signifies manifestation of Godhead in flesh, Thdt.*eran.*1(4.20); **2.** in other healings, ref. Sampsaean women healers συνεπόμενοι οἱ ὄχλοι αὐτῶν, τὸν χοῦν τῶν ποδῶν λαμβάνοντες ἰάσεως...ἕνεκεν, τὸν σίελον τῶν π. ὡσαύτως Epiph.*haer.*53.1(p.315.20; M.41.960C); **3.** ref. a Marcionite's refusal to be indebted to creator for use of water, and consequent employment of spittle for washing face, Thdt.*haer.*1.24(4.317); **4.** ref. sufferings of Christ as proof of humanity, Anast.S.*hod.*13 (M.89.208C); **5.** in abusive language πτύσματα μᾶλλον ῥημάτων ἢ ῥήματα προφερόμενοι Serap.*Man.*28(p.43; M.18.1124C).

πτύσσω, *roll up,* ref. formation of lips for speech, Thdt.*provid.*4 (4.529); of closing the mouth, *Hymn.*(*AS* 1 p.524).

πτύω, *spit*; ref. Jo.1:9ff., cf. *dominus exspuit in terram...ostendens antiquam plasmationem quemadmodum facta est, et manum dei manifestans...per quam e limo plasmatus est homo,* Iren.*haer.*5. 15.2(M.7.1165B); action signifies making of 'unction' of scriptural teaching for anointing eyes of spiritually blind, Or.*fr.63 in Jo.* (p.534.8).

πτῶμα, τό, A. *fall*; **1.** of Adam, exeg. Mt.24:28 (where π. = *corpse*) π. δὲ γεγένηται ἐν παραδείσῳ· ἐκεῖ γὰρ Ἀδὰμ...πέπτωκεν Hipp.*antichr.*64(p.44.15; M.10.784C); Meth.*symp.*3.6(p.32.18; M.18. 69A); id.*res.*1.23(p.248.2; M.41.1093A); Ἰησοῦς παρῆν...ἵν' ἐγὼ...τοῦ παλαιοῦ π. ἀνακληθῶ Gr.Naz.*or.*44.2(M.36.609A); ἐμβοᾷ...τῇ ἐκκλησίᾳ ὁ λόγος...λέγων· ἀνάστηθι, δηλαδὴ ἐκ τοῦ π. Gr.Nyss.*hom.*5 *in Cant.* (M.44.868A); resulting in clothing with coats of skin, Chrys.*hom. 18.1 in Gen.*(4.151B); **2.** of sin in gen. χαλεπώτατον δὲ πάντων π. τὴν ἄπτωτον ἀγάπην ἄνωθεν ἐξ οὐρανῶν ἐπὶ τοὺς ζωμοὺς ῥίπτεσθαι χαμαί Clem.*paed.*2.1(p.157.11; M.8.385C); ἀνάστασις ἡ ἐκ τοῦ π. τῆς ἁμαρτίας ἀνόρθωσις Gr.Nyss.*ep.can.*(M.45.221B); *ib.*(224B); προαιρέσεως τὸ π. Chrys.*hom.5.3 in Rom.*(9.464C); **3.** *error* ἵνα...μάθωσιν [sc. Arians] ἐν ποίῳ κεῖνται π. Ath.*Ar.*1.9(M.26.29A); of Jews in rejecting Christ, Thdt.*Am.*5:2(2.1429); Thdr.Stud.*epp.*1.38(M.99. 1044D); **4.** *collapse, fall by overthrow* ἔρεισμα τῷ π. τῆς αἱρέσεως Ath. *Ar.*2.43(M.26.240A); **5.** *fall, deposition*; from eccl. office, Eus.*h.e.*5. 15(M.20.464A).

B. *corpse*; **1.** in gen. ἐστιν...ὁ μεθύων...π. ἀπολογίας ἐστερημένον Chrys.*stat.*1.5(2.7D); Cyr.*Joel.*31(3.223A); **2.** exeg. Mt.24:28, Or. *comm.ser.47 in Mt.*(p.98.9) cit. s. ἀετός; interpreted as destruction of sin ἐπεὶ δὲ π. γέγονεν—ὅπου γὰρ π., ἐκεῖ καὶ οἱ ἀετοί—, καλὸν τοῦτο τὸ π. ἐφ' ὃ ἦλθεν πρῶτος ὁ Ἰησοῦς id.*hom.16 in Lc.*(p.111.3); Chrys. *hom.76.3 in Mt.*(7.735D).

πτωματίζω, 1. *cause to fall,* morally and spiritually οἱ ἐπιχαίροντες ἐπὶ πτώσει ἑτέρων, ἑαυτοὺς πτωματίζουσιν †Cyr.*hom.div.*14(5^{3}.413E); ὀφείλει ὁ μοναχὸς ἀποκλεῖσαι αὐτοῦ πάσας τὰς πύλας τῆς ψυχῆς, καὶ φυλάξαι πάσας τὰς αἰσθήσεις...τοῦ μὴ πτωματισθῆναι αὐτὴν δι' αὐτῶν Esaias *or.*10(p.68); Jo.Carp.*cap.*44(M.85.1845); Dor.*doct.*5.2(M.88. 1677B); **2.** *overthrow* ἔπεσεν γὰρ ὁ...Χοσρόης...καὶ ἐπτωματίσθη εἰς τὰ καταχθόνια Heracl.*ep.*ap.*Chron.Pasch.*(M.92.1017C).

***πτωματιστής, ὁ,** *one who causes to fall,* Thdr.Stud.*epp.*1.52(M.99. 1100D).

πτῶσις, ἡ, 1. *fall*; **a.** of Satan as Lucifer, Eus.*p.e.*7.16(328C; M. 21.556A); **b.** of moral and spiritual lapses in gen. π. δέ ἐστιν ἡ ἁμαρτία Gr.Nyss.*ep.can.*1(M.45.221B); Chrys.*stat.*1.3(2.6A); †Cyr. *hom.div.*14(5^{2}.413D,E); exeg. Lc.2:34, Bas.*ep.*260.7(3.399E; M.32. 964C); **c.** of lapse in persecution, Petr.I Al.*ep.can.*1(M.18.468A); **d.** exeg. Pr.24:16 (Naassene) ἑπτάκις πεσεῖται ὁ δίκαιος καὶ ἀναστήσεται· αὗται γὰρ αἱ π., φησίν, αἱ τῶν ἄστρων μεταβολαὶ ὑπὸ τοῦ πάντα κινοῦντος κινούμεναι Hipp.*haer.*5.7(p.84.12; M.16.3134C); **2.** *overthrow,* ref. Devil τὴν π. τοῦ ἑνὸς τῶν ἀρχόντων, τουτέστι τοῦ...ὄφεως, πεσόντος π. μεγάλην διὰ τὸ ἀποπλανῆσαι τὴν Εὔαν Just.*dial.*124.3(M. 6.765A); of persecutors, Eus.*v.C.*4.12 tit.(p.114.19; M.20.1145B); of Chosroes, *Chron.Pasch.*p.398(M.92.1617B); **3.** *falling* in battle, hence *casualties* ἑκατέρων δὲ τῶν μερῶν π. οὐ μικρὰ γέγονεν Thphn.*chron.* p.350(M.108.841C); **4.** *humiliation, depression,* Gr.Naz.*carm.*1.2.2.7 (M.37.578A).

πτωχεία, ἡ, *poverty*;

A. distn. between π. and πενία: τῆς γραφῆς ἐν τοῖς ἐπαινουμένοις τιθείσης τὴν π. καὶ τὴν πενίαν, ὡς ἐν τῷ 'μακάριοι οἱ πτωχοί' καὶ ἐν τῷ 'τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσε κύριος'...τίς ἐστιν ἡ διαφορὰ π. καὶ πενίας;...λογίζομαι, ὅτι πτωχὸς μέν ἐστιν ὁ ἀπὸ πλούτου κατελθὼν εἰς ἔνδειαν· πένης δέ, ὁ ἐξ ἀρχῆς ἐν ἐνδείᾳ ὤν Bas.*reg.br.*262(2.504D,E; M.31.1260B); cf. distinctive use of both ἐπὶ τῆς πενίας δὲ μὴ τὴν π. μόνον, ἀλλὰ καὶ τὴν ἐντεῦθεν ἡδονὴν ἀναλογίζου Chrys.*hom.38.6 in 1Cor.*(10.359D).

B. in Christian life; **1.** involuntary: attitude to poverty in others καταπικραίνοντες δὲ ταῖς δυσθυμίαις τοὺς τῇ π. κατηχθισμένους, καίτοι χεῖρα μᾶλλον ὀφείλοντες ὀρέγειν αὐτοῖς τὴν φιλάλληλον Cyr.*Am.* 16(3.267A); and oneself Χριστιανοὶ...ἐὰν ἐν πενίᾳ...ἐξετασθῶσιν, οὐκ ὀφείλουσι ξενίζεσθαι, ἀλλὰ μᾶλλον συνηδύνεσθαι τῇ π. Mac.Aeg.*hom.* 15.19(M.34.596B); λόγος γὰρ οὐδεὶς παραστῆσαι δυνήσεται τὴν ὀδύνην, ὅσην ὑπομένουσιν οἱ π. συζῶντες, καὶ φιλοσοφεῖν οὐκ εἰδότες Chrys. *Laz.*1.9(1.720C); both profitable for souls ἀφῆκεν [sc. Christ] εἶναι πολλοὺς ἐν π., διά τε τὸ ἐκείνοις, διά τε τὸ σοὶ συμφέρον id.*eleem.*5 (3.256E); **2.** voluntary; **a.** in gen. οὐδὲν γὰρ αὐθαιρέτου π. εἰς πῆξιν τῶν καλῶν καὶ συντήρησιν ἰσχυρότερον. θεμέλιος γὰρ τῶν ἐν ψυχῇ θείων οἰκοδομημάτων καθέστηκεν ἀρραγής Max.*opusc.*(M.91.69C); **b.** ref. Mt.5:3 ὁ μέν τις πλοῦτος κτητὸς ἂν εἴη καὶ περίβλητος, ὁ δὲ ἄκτητος καὶ ἀπόβλητος· τὸν αὐτὸν δὲ τρόπον καὶ π. μακαριστὴ μὲν ἡ πνευματικὴ Clem.*q.d.s.*17(p.170.32; M.9.621B); οὐκ ἀεὶ ἐπαινετὴ ἡ π., ἀλλ' ἡ ἐκ προαιρέσεως κατὰ τὸν εὐαγγελικὸν σκοπὸν κατορθουμένη. πολλοὶ γὰρ πτωχοὶ μὲν τῇ περιουσίᾳ, πλεονεκτικώτατοι δὲ τῇ προαιρέσει τυγχάνουσιν· οὓς οὐχ ἡ ἔνδεια σώζει, ἀλλ' ἡ προαίρεσις κατακρίνει. οὐ τοίνυν ὁ ἐνδεὴς πάντως μακαριστός, ἀλλ' ὁ κρείττονα ἡγησάμενος τῶν τοῦ κόσμου θησαυρῶν τὴν ἐντολὴν τοῦ Χριστοῦ. τούτους καὶ ὁ κύριος μακαρίζει λέγων, μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· οὐχ οἱ πένητες κατὰ τὴν περιουσίαν, ἀλλ' οἱ τὴν π. ἐκ ψυχῆς προελόμενοι Bas. *hom.in Ps.*33(1.147D; M.29.361A,B); variously interpreted, Gr.Nyss. *beat.*1(M.44.1200B) cit. s. ἀκτημοσύνη; δοκεῖ μοι π. πνεύματος τὴν ἑκούσιον ταπεινοφροσύνην ὀνομάζειν ὁ λόγος *ib.*(1200D); compared

with Mt.19:21 *μὴ ἀποβάλῃς...καὶ τὸν ἕτερον τῆς π. λόγον, ὃς τοῦ κατ' οὐρανὸν πλούτου πρόξενος γίνεται· 'πώλησόν σου' φησί, 'πάντα τὰ ὑπάρχοντα.' καὶ γὰρ ἡ τοιαύτη π. δοκεῖ μοι μὴ ἀπάδειν τῆς μακαριζομένης π. ib.*(1208A).

C. poverty of Christ, Christol., Alex.Al.*ep.Alex.*9(p.25.18; M.18.561B) cit. s. *κένωσις*; ref. 2Cor.8:9 *δι' ἡμᾶς ἐπτώχευσεν, ἵνα ἡμεῖς τῇ ἐκείνου π. πλουτήσωμεν* Bas.*hom. in Ps.*33(1.147E; M.29.361C); *τὴν τοῦ θεοῦ π. ὁ ἀπόστολος ἡμῖν λέγων προδείκνυσιν, 'ὃς δι' ἡμᾶς ἐπτώχευσε...'* Gr.Nyss.*beat.*1(M.44.1200D); *ὁ καθαρὸς...διὰ πάσης τῆς π. ἡμῶν διεξελθὼν μέχρι τῆς τοῦ θανάτου πρόεισι πείρας. ὁρᾶτε τῆς ἑκουσίου π. τὸ μέτρον ib.*(1201C); *ἐκεῖνος δόξαν ἐκένωσεν, οὐχ ἵνα ὑμεῖς τῷ πλούτῳ αὐτοῦ, ἀλλὰ τῇ π. πλουτήσητε. εἰ μὴ πιστεύεις, ὅτι ἡ π. πλούτου ἐστὶ ποιητική, ἐννόησόν σου τὸν δεσπότην, καὶ οὐκέτι ἀμφιβαλεῖς...τὸ γὰρ θαυμαστὸν τοῦτο, ὅτι π. ἐπλούτησε πλοῦτον. ... διὰ... ποίας π.; διὰ τοῦ σάρκα ἀναλαβεῖν...καὶ παθεῖν ἄπερ ἔπαθε* Chrys. *hom.17.1 in 2Cor.*(10.558E–559A); *πλούσιε σωτὴρ...σὺ γὰρ ἐπτώχευσας, ἵνα τῇ σῇ π. πλουτήσωμεν* ‡Ath.*pass.*31(M.28.240A); ‡Meth. *Sym.et Ann.*6(M.18.360C).

D. met., *deficiency* in spiritual goods *εἶναι...πτωχοὶ καὶ οὐκ οἴδασιν τὴν π. αὐτῶν Agraph.*(p.69); *παρέμεινα τῇ π. τοῦ κόσμου ἕως ὅτε σὺ ὁ πλοῦτος τῆς ἀληθείας ἀπεκαλύφθης A.Thom.*A 145(p.202.17); *κατηγορεῖ πτωχείας τοῦ νοῦ* Or.*hom.6.3 in Jer.*(p.51.8; M.13.328D); exeg. Pr.13:8 *πλοῦτος λύτρον ἐστὶν ἀνδρὸς ψυχῆς κατὰ τὸν Σολομῶντα, ἡ δὲ ἐναντία τούτῳ π. ὀλέθριον* id.*Cels.*7.21(p.173.2; M.11.1452B); *ὅταν τὴν ἀπόρρητον...ὑπόστασιν ἑρμηνεύῃ, διὰ τὸ ἀχώρητον εἶναι τὴν ἀνθρωπίνην π. τῶν ὑπὲρ λόγον...*διδαγμάτων Gr.Nyss.*Eun.*8(2 p.188.1; M. 45.781C); *π. τῶν ἰδίων λόγων ib.*9(2 p.206.25; 804C); *π. τῆς ἀνθρωπίνης φύσεως* id.*beat.*3(M.44.1225A); *ὦ φύλαξ καὶ πρόμαχε πιστῶν... τῆς ἡμῶν μὴ ἐπιλάθῃ π. καὶ ταπεινώσεως* Nect.*Thdr.*23(M.39.1840A).

E. ref. name of Ebionites *βιοῦσι γὰρ κατ' αὐτόν, ἐπώνυμοι τῆς κατὰ τὴν ἐκδοχὴν π. τοῦ νόμου γεγενημένοι* Or.*Cels.*2.1(p.126.18; M.11.793A).

F. as self-depreciatory style *τὴν ἡμετέραν π. διὰ γραμμάτων... παρακαλοῦντας* Cyr.*hom.div.*4(p.104.19; 5^2.358B).

πτωχεῖον, τό, *alms-house, hospital* *υἱὸς ἡμῶν...ὁ συμπρεσβύτερος, πτωχείου προέστηκε...πολυανθρώπου* Gr.Naz.*ep.*211(M.37.348C); *ὁ πρεσβύτερος καὶ ἀφηγούμενος τοῦ π. τῶν λελωβημένων* Pall.*h.Laus.*6 (p.23.8; M.34.1018D); *οἱ κληρικοὶ τῶν π. καὶ μοναστηρίων καὶ μαρτυρίων ὑπὸ τῶν ἐν ἑκάστῃ πόλει ἐπισκόπων τὴν ἐξουσίαν... διαμενέτωσαν* CChalc.*can.*8; *τὸν...ἐκ διακόνου τῆς...ἐκκλησίας, καὶ σπουδαῖον ἐπίτροπον πτωχείων* Soz.*h.e.*4.20.2(M.67.1173A); Niceph. Ur.*v.Sym.*76(M.86.3057A).

πτωχεύ-ω, A. *be poor, become poor*; **1.** ref. Christ (cf. 2Cor.8:9) *αὐτός ἐστιν ὁ ~σας...ἵνα ἡμεῖς πάντες ἐκ τοῦ πληρώματος αὐτοῦ λάβωμεν* Bas.*hom.in Ps.*33(1.148A; M.29.361D); cf.‡Ath.*pass.*31(M. 28.240A); *ὁ ἐνανθρωπήσας δι' ἡμᾶς καὶ ~σας θεός, ἵνα ἀναστήσῃ τὴν σάρκα* Gr.Naz.*or.*7.23(M.35.785C); *τοῦ δι' ἡμᾶς ~σαντος τὴν σάρκα ταύτην...ἵνα ἡμεῖς πλουτήσωμεν τὴν θεότητα ib.*14.15(876C); as example *οὗτος τοίνυν εἰ ~ει τῷ πνεύματι, πρὸς τὸν δι' ἡμᾶς ~σαντα ἑκουσίως βλέπων...μακαριστὸς ἀληθῶς* Gr.Nyss.*beat.*1(M.44.1205D); *ὁ τῷ πτωχῷ κοινωνήσας, εἰς τὴν μερίδα τοῦ δι' ἡμᾶς ~σαντος ἑαυτὸν καταστήσει. ἐπτώχευσεν ὁ κύριος, μὴ φοβηθῇς μηδὲ σὺ τὴν πτωχείαν. ἀλλὰ βασιλεύει πάσης τῆς κτίσεως ὁ δι' ἡμᾶς ~σας. οὐκοῦν ἐὰν ~σαντι συμπτωχεύσῃς καὶ βασιλεύοντι συμβασιλεύσεις ib.*(1208B,C); Ast.Am.*hom.*1(M.40.176D); Cyr.*Jo.*2.1(4.123E); **2.** ref. voluntary poverty of Christians *ἐλεῶν ἐλεήσω ὃν ἂν ἐλεῶ, φησὶ κύριος. λέγει δὲ ταῦτα καὶ τοῖς θέλουσι διὰ τὴν δικαιοσύνην ~σαι* Clem.*str.*4.6(p.263. 11; M.8.1245B); *ἡ ψυχὴ...~ουσα ὧν ἄν τις ὑπὸ πλούτου διαφθείρη⟨ται⟩ σώζεται* id.*q.d.s.*18(p.171.23; M.9.624A); *ib.*16(p.169.32; 620C); ref. Mt.5:3 *ἐκ τοῦ ~σαι κατὰ προαίρεσιν, καὶ τὴν τοῦ μακαρισμοῦ κοινωνίαν ἐφελκυσώμεθα* Gr.Nyss.*beat.*1(M.44.1201B); *βούλει νοῆσαι, τίς ὁ ~ων τῷ πνεύματι; ὁ ἀνταλλαξάμενος τὸν τῆς ψυχῆς πλοῦτον τῆς σωματικῆς εὐπορίας, ὁ διὰ τὸ πνεῦμα ~ων...εἰ οὖν χρὴ τοῖς ἄνω προσβῆναι, τῶν κάτω καθελκόντων ~σωμεν ib.*(1208A,B); **3.** ref. spiritual things, *be destitute ὁ μὲν πλούσιος ἔχει χρήματα πολλά, τὰ δὲ πρὸς τὸν κύριον ~ει περισπώμενος περὶ τὸν πλοῦτον αὐτοῦ* Herm.*sim.*2.5; *be stupid μὴ γὰρ ἐπὶ τοσοῦτον ~σαι ὁ νοῦς ἡμῶν, ὡς οἰηθῆναι σωματικοῦ τινος ἄρτου...τοὺς ἀγγέλους ἀεὶ μεταλαμβάνοντας τρέφεσθαι* Or.*or.*27.10 (p.370.3; M.11.513B); *μηδὲ ~ε...τὴν διάνοιαν* Chrys.*hom.17.3 in 1Cor.* (10.149E).

B. *be lacking* in something, *have deficiency* *οὐ γὰρ ἐπτώχευσεν ὁ λόγος αὐτῶν ἀληθὴς ὤν* Afric.*ep.Or.*2(p.80.8; M.11.48A); *εἰς οὐδὲν ~οντος τοῦ θεοῦ* Meth.*res.*2.9(p.349.5; M.18.288D); ref. S. Paul *τῇ λέξει π.* Chrys.*sac.*4.6(p.120.12; 1.412A); *be lacking in food, starving ἐπτώχευσαν τὰ ἄλογα αὐτῶν* Thphn.*chron.*p.381(M.108.912B).

[*]**πτωχέω,** = foreg., Mac.Aeg.*perf.*7(M.34.848A).

πτωχίζω, *make poor,* Gr.Naz.*carm.*1.2.34.165(M.37.957A).

πτωχικά, τά, *alms,* Isid.Pel.*epp.*1.250(M.78.333C).

***πτωχογενής,** *born poor,* ‡Jo.D.*hom.*5(M.96.660C).

***πτωχοδεκάδες, αἱ,** *tithes devoted to poor-relief* in Israel, Hier. *Ezech.*45:13,14(M.*PL.*25.451A).

***πτωχόκομπος,** *wretchedly boasting,* Geo.Pis.*hex.*63(M.92.1432A).

***πτωχόνοια, ἡ,** *poverty of intellect,* Jo.Mon.*hymn.Nic.Myr.*4(M. 96.1385A); Steph.Diac.*v.Steph.*(M.100.1153C).

πτωχοποιός, *making poor,* Chrys.*hom.23.6 in 1Cor.*(10.201C).

***πτωχοπρεπής,** *befitting a poor man, beggarly*; of human nature, Or.*Ps.*10:4(p.465); Anast.S.*monoph.*(M.89.1189C); neut. as subst., id.*hod.*13(M.89.237C).

πτωχός, *poor*;

A. ref. Ps.9:18f. *π. δὲ λέγεται καὶ ὁ πτωχεύων δι' ἁμαρτίαν, καὶ ὁ μέτριος καὶ ἄτυφος, καὶ ὁ χρήζων δέξασθαι παρὰ θεοῦ. ἕκαστος δὲ γενητός ἐστι τοιοῦτος. κατὰ πάντας τούτους τοὺς τρόπους ὁ λεγόμενος π., μνημονεύεται θεῷ* Didym.*Ps.*9:18(M.39.1197B).

B. of the materially poor; **1.** dist. from *πένης: φασὶ δὲ π. τὸν ἐκπεσόντα πλούτου· πένητα δὲ τὸν ἐκ πόνου τὰ πρὸς τὸν βίον περιποιούμενον. λέγει δὲ ἡ γραφή· 'πλούσιοι ἐπτώχευσαν', καὶ τό, 'ἐπτωχεύσαμεν σφόδρα'* Or.*sel.in Ps.*11:6(M.12.1201B); Bas.*reg.br.*262(2.504E; M.31. 1260C) cit. s. *πτωχεία; ἐπῆλθέν τισιν εἰπεῖν π. μὲν εἶναι τοὺς μεταπεσόντας τοῦ πλούτου· πένητας δὲ τοὺς ἐκ πόνου δι' ἐργασίας γινομένου τὸ ζῆν ἔχοντας. καὶ ἔστιν γε κατὰ ταύτην τὴν νόησιν ὁ π. πένης ἐξ ἀνάγκης, οὐκ ἀντιστρέφοντος τὸν πένητα π. εἶναι. καὶ τάχα γε τὰ εἰρημένα περὶ τοῦ π. κατασκευάσεται καὶ ἐκ τῆς γραφῆς· εἴρηται γάρ, 'πλούσιοι ἐπτώχευσαν'* Didym.*Ps.*11:6(M.39.1213C); **2.** treatment of poor *πᾶσι...π. ἀνοικτέον τὰ σπλάγχνα* Gr.Naz.*or.*14.6(M.35. 864C); *ἂν μέν τινα ἴδῃς σκεύη κατασκευάσαντα ἱερὰ καὶ προσάγοντα... μὴ κέλευε πραθῆναι...ἂν δὲ πρὶν ἢ κατασκευάσαι τις ἔρηται, κέλευε δοθῆναι πτωχοῖς* Chrys.*hom.80.2 in Mt.*(7.768A); *ὅταν ἴδῃς π. ... μὴ μόνον μὴ ὑβρίσῃς, ἀλλὰ καὶ αἰδέσθητι* id.*hom.20.3 in 2Cor.*(10.582B); seeing Christ in them *ὁ Χριστὸς ἕστηκε πρὸ τῶν θυρῶν σου ἐν σχήματι πτωχοῦ* id.*hom.1.6 in Ps.48:17*(5.514B); *θεὸς γὰρ ἦν ὁ διὰ τῶν π. λαμβάνων* id.*hom.79.1 in Mt.*(7.759A); *μηδέποτε π. παρίδῃς δακρύοντα, ἵνα μὴ παροφθῇ τῆς σῆς προσευχῆς τὰ δάκρυα* Nil.*sent.*22 (M.79.1241C); **3.** rewards for assistance to poor *στρατόπεδον τὸ τῶν π., καὶ πόλεμος ὃν ὑπὲρ σοῦ πολεμοῦσιν οἱ πένητες. ὅταν γὰρ λάβωσιν, εὐχόμενοι τὸν θεὸν ἵλεω ποιοῦσιν* Chrys.*hom.66.4 in Mt.*(7.659B); *πόσα παρέχει τότε* [sc. in next world] *π. εὐκαίρως τραφείς* ‡Nil.*peristl.* 12.12(M.79.964B); **4.** relations between rich and poor *ὁ πλούσιος ἐπιχορηγείτω τῷ π., ὁ δὲ π. εὐχαριστείτω τῷ θεῷ, ὅτι ἔδωκεν αὐτῷ, δι' οὗ ἀναπληρωθῇ αὐτοῦ τὸ ὑστέρημα 1Clem.*38.2; ref. Mc.12:41f. *ὡς μόνος δυνάμενος βλέπειν τοὺς πλουσίους εἶδεν εἴ ποτε π. ψυχὴ καὶ ὑστερουμένη βάλλει ὅλῃ δυνάμει ⟨καὶ⟩ διὰ τοῦτο δικαιουμένη παρὰ τοὺς πολλοὺς πλουσίους* Or.*Jo.*19.9(2; p.308.15; M.14.541B); ref. metempsychosis *εἴ τις...ἐστὶ πλούσιος ἐν τούτῳ τῷ κόσμῳ, καὶ ἐὰν ἐξέλθῃ ἐκ τοῦ σκηνώματος αὐτοῦ, ἀνάγκη αὐτὸν εἰς πτωχοῦ σῶμα μεταγγισθῆναι, ὥστε περιπατοῦντα αὐτὸν ἐπαιτῆσαι καὶ μετὰ ταῦτα ἀνελθεῖν αὐτὸν εἰς κόλασιν αἰώνιον* Hegem.*Arch.*10(p.16.4; M.10.1444A).

C. of the spiritually poor; **1.** in gen., as needing grace of God *π. γὰρ ἅπαντες, καὶ τῆς θείας χάριτος ἐπιδεεῖς* Gr.Naz.*or.*14.1(M.35. 857A); **2.** sinners and heretics *ὁ μὲν π. καὶ ἄθεος οὐκ οἶδεν τὰ ἀποκείμενα* Tat.*orat.*6(p.7.3; M.6.820A); *πρὸς 'Ἰουδαϊκοὺς καὶ γραώδεις μύθους ἐκτραπείς, πτωχὸς...τῶν ἀξίων περὶ θεοῦ νοημάτων* Bas.*hom.* 1.14(1.226D; M.29.544C); *οὐδὲν γὰρ πτωχότερον διανοίας ἐκτὸς θεοῦ φιλοσοφούσης τὰ τοῦ θεοῦ* Diad.*perf.*7(p.10.1).

D. of the poor in spirit (Mt.5:3) *πῶς τις δύναται εἶναι π. τῷ πνεύματι, μάλιστα ὅτε αἰσθηθῇ ἐν ἑαυτῷ, ὅτι μετετέθη καὶ προέκοψε...; ἕως οὗ ταῦτά τις κτᾶται, καὶ προκόπτει, οὐκ ἔστι π. τῷ πνεύματι, ἀλλ' οἴεται περὶ ἑαυτοῦ· ὅταν δὲ ἔλθῃ εἰς ταύτην τὴν σύνεσιν καὶ τὴν προκοπήν, αὕτη ἡ χάρις διδάσκει αὐτὸν εἶναι π. τῷ πνεύματι...μὴ ἡγεῖσθαί τι ἑαυτὸν εἶναι* Mac.Aeg.*hom.*12.3(M.34.557C,D); *ἀποσκοποῦσα γὰρ ἡ ψυχὴ ἡ πιστὴ καὶ φιλαλήθης...εἰς τὴν ἄρρητον τῆς μελλούσης ἐπιφοιτᾶν θείας χάριτος εὐεργεσίαν, ἀναξίαν ἑαυτήν, καὶ τὴν σπουδὴν αὐτῆς...ἡγεῖται πρὸς τὰς ἀρρήτους ἐπαγγελίας τοῦ πνεύματος. οὗτός ἐστιν ὁ π. τῷ πνεύματι, ὃν ὁ κύριος μακαρίζει ib.*29.7(720C); *οὗτοί εἰσιν οἱ π. τῷ πνεύματι, οἵτινες οὐ δι' ἄλλην τινὰ αἰτίαν ἐπτώχευσαν, ἀλλὰ διὰ τὴν διδασκαλίαν τοῦ κυρίου...ἐὰν δέ τις, καὶ τὴν ὁπωσοῦν συμβᾶσαν πτωχείαν καταδεξάμενος, κυβερνήσῃ πρὸς τὸ θέλημα τοῦ θεοῦ, ὡς ὁ Λάζαρος, οὐδὲ οὗτος τοῦ μακαρισμοῦ ἀλλότριος* Bas.*reg.br.*205(2.484A; M.31.1217C); in connexion with Is.14:30 *τίς ἐστιν ὁ βόσκων π., ἢ ὁ ποιμὴν τῶν προβάτων; π. δὲ οὐ τοὺς κατὰ χρήματα ἐνδεεῖς λέγει, ἀλλὰ τοὺς τῇ διανοίᾳ ἠλαττωμένους. οὗτοι δὲ οἱ π., οἱ παρ' αὐτοῦ μακαριζόμενοι τοῦ κυρίου* †Bas.*Is.*287(1.597D; M.30. 624A); *τί ἐστιν, οἱ π. τῷ πνεύματι; οἱ ταπεινοὶ καὶ συντετριμμένοι τὴν διάνοιαν. πνεῦμα γὰρ ἐνταῦθα τὴν ψυχὴν καὶ τὴν προαίρεσιν εἴρηκεν.*

ἐπειδὴ γάρ εἰσι πολλοὶ ταπεινοί, οὐχ ἑκόντες, ἀλλ' ὑπὸ τῆς τῶν πραγμάτων ἀνάγκης βιαζόμενοι, ἀφεὶς ἐκείνους...τοὺς ἀπὸ προαιρέσεως ἑαυτοὺς ταπεινοῦντας...μακαρίζει πρώτους. καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, οἱ ταπεινοί, ἀλλ', οἱ π.; ὅτι τοῦτο ἐκείνου πλέον Chrys.*hom.15.1 in Mt.*(7.185D,E); id.*anom.*10.4(1.533E).

E. of the truly poor γνήσιος π. καὶ νόθος ἄλλος π. καὶ ψευδώνυμος, ὁ μὲν κατὰ πνεῦμα π., τὸ ἴδιον, ὁ δὲ κατὰ κόσμον, τὸ ἀλλότριον. τῷ δὴ κατὰ κόσμον ⟨οὐ⟩ π. καὶ πλουσίῳ κατὰ τὰ πάθη ὁ κατὰ πνεῦμα οὐ π. καὶ κατὰ θεὸν πλούσιος 'ἀπόστηθι' ⟨φησί⟩ 'τῶν ὑπαρχόντων ἐν τῇ ψυχῇ σου κτημάτων ἀλλοτρίων...' Clem.*q.d.s.*19(p.172.1ff.; M.9.624B); δύναται γὰρ π. μὲν τοῖς χρήμασιν εἶναι, ἐπιθυμεῖν δὲ ἢ καὶ πράττειν ὁ...οὐ χρή *Hom.Clem.*15.10; ref. Ps.33:7 τῇ δεικτικῇ φωνῇ ἐπὶ τὸν πτωχεύοντα κατὰ θεόν...τὴν διάνοιάν σου προκαλεῖται· οὗτος ὁ π., μονονουχὶ δακτύλῳ δεικνύς· οὗτος ὁ μαθητὴς Χριστοῦ Bas.*hom.in Ps.*33(1.147E; M.29.361B); διπλή τις ἐστὶν ἡ περὶ τὸν π. σημασία· ἡ μὲν δηλοῦσα τῶν ἀναγκαίων τὴν ἔνδειαν· ἡ δὲ τὴν μετριοφροσύνην καὶ τοῦ ἤθους τὴν ταπεινότητα...οὐ γὰρ ὁ κατ' ἀνάγκην πενόμενος ἐπαινεῖται· ἀλλ' ὁ τὴν γνώμην αὐθαιρέτως μετριάζων θαυμάζεται...μακαρίζει οὖν ἡ γραφὴ τὸν π. ἐκεῖνον τὸν φιλοσόφῳ ψυχῇ τοὺς μόχθους βαστάζοντα...ὃν καὶ σαφέστερον διαγράφει ἐν τῷ πρώτῳ τῶν μακαρισμῶν ὁ κύριος...οὔτε οὖν πᾶς π. δίκαιος, ἀλλ' ἐκεῖνος οἷος ὁ Λάζαρος Ast.Am.*hom.*1(M.40.176A–C).

F. ref. God and Christ οὐ γὰρ οὕτω π. ὁ θεός, ὡς τοιαῦτα ἐργάζεσθαι μόνα, ἃ τῇ τῶν λογισμῶν ἀσθενείᾳ περιληφθῆναι δύναται τῶν σῶν Chrys.*hom.17.3 in 1Cor.*(10.148E); ref. Phil.2:5ff. τί πτωχότερον ἐπὶ θεοῦ τῆς τοῦ δούλου μορφῆς; τί ταπεινότερον ἐπὶ τοῦ βασιλέως τῶν ὄντων, ἢ τὸ εἰς κοινωνίαν τῆς π. ἡμῶν φύσεως ἐλθεῖν; Gr.Nyss.*beat.*1(M.44.1201B).

G. ref. interprn. of name of Ebionites *Ἐβίων...ὁ π. παρὰ Ἰουδαίοις καλεῖται* Or.*Cels.*2.1(p.126.19; M.11.793A); ὡς οἱ π. τῇ διανοίᾳ *Ἐβιωναῖοι, τῆς π. διανοίας ἐπώνυμοι (ἐβίων γὰρ ὁ π. παρ' Ἑβραίοις ὀνομάζεται)* id.*princ.*4.3.8(p.334.1f.; M.11.389A); *Ἐβιωναίους ὠνόμαζον, Ἑβραϊκῇ φωνῇ π. τὴν διάνοιαν ἀποκαλοῦντες...τὴν δὲ τοῦ υἱοῦ θεότητα μὴ εἰδότας* Eus.*e.th.*1.14(p.74.14; M.24.853A).

H. *miserable, inferior,* of things and thoughts μὴ ἐμπεσεῖν εἰς φλυαρίαν π. νοημάτων Meth.*res.*1.22(p.244.15; M.41.1089C); αἱ περὶ τῆς ἐνσάρκου παρουσίας...π. λέξεις Ath.*Dion.*10(p.53.10; M.25.493C).

πτωχότης, ἡ, *destitution,* Herm.*vis.*3.12.2.

πτωχοτροφεῖον, τό, *alms-house, hospital,* used also as *hostel, guest house,* managed by a chorepiscopus, Bas.*ep.*143(3.235D; M.32.593A); accommodating bishop, *ib.*150.3(240D; M.604C); containing chapel, *ib.*176(263D; M.653C); καθιστᾷ τοῦτον πρεσβύτερον τό τε ξενοδοχεῖον αὐτῷ ἐμπιστεύει, ὅπερ ἐν τῷ Πόντῳ καλεῖται π. τοιαῦτα γάρ τινα κατασκευάζουσι κατὰ φιλοξενίαν καὶ τοὺς λελωβημένους...ἐκεῖσε ποιοῦντες καταλύειν ἐπιχορήγουσι...οἱ τῶν ἐκκλησιῶν προστάται Epiph.*haer.*75.1(p.333.24; M.42.504C); †Gregent.*leg.Hom.*proem.(M.86.580B); τῶν πενήτων ἁπάντων καταταγέντων εἰς τὰ π. ... οὐ προστάττομεν...ἀπαιτεῖν ἄρτον ἐπὶ τῆς μέσης *ib.*55(609B); Max.*ep.*44(M.91.648A).

***πτωχοτροφέω,** *support the poor,* Gr.Naz.*or.*26.6(M.35.1236A); id.*ep.*215(M.37.352A); id.*carm.*2.1.11.1219(M.37.1113A).

***πτωχοτροφία, ἡ,** *care of the poor, management of poor-relief,* Bas.*ep.*142(3.235C; M.32.592C); Gr.Naz.*or.*43.9(M.36.505A); id.*ep.*219(M.37.360A); id.*carm.*2.2(poem.)3.24(M.37.1479A).

πτωχοτρόφος, *caring for the poor, responsible for poor-relief* τρεῖς προεστησάμην π. εἶναι Gr.Naz.*test.*(M.37.389A); id.*carm.*2.2(poem.)2.17(M.37.1479A); θεὸς ἀπαγγέλλεται τῶν π. τὰ ὀνόματα βίβλοις ζώσαις ἐγγράφειν Ast.Am.*hom.*4(M.40.224A); Max.*ep.*44(M.91.645D); διάκονος τῆς μεγάλης ἐκκλησίας...καὶ π. *Chron.Pasch.*p.382(M.92.980A).

πυγμή, ἡ, *fist*; dat. *? thoroughly, with the whole fist, with a fistful* of water, in washing (cf. Mc.7:3) ἔτυχε *Ἰουβῖνον νιπτῆρα λαβόντα νίψασθαι τὰς χεῖρας καὶ τοὺς πόδας πυγμῇ ὕδατι ψυχροτάτῳ* Pall.*h. Laus.*55(p.48.21; M.34.1244A).

***πυγμικῶς,** *by fighting as boxers,* Hesych.S.*temp.*2.36(M.93.1521D).

***πυθμεύ-ω,** *give the base of a series* στραφεὶς ὁ τρίπους τρίτην στροφήν, φησίν, ὁ προφήτης ~ει (i.e. this third oracle reveals meaning of two previous ones) *Pers.*(p.8.20).

πυθμήν, ὁ, 1. *bottom* π. τοῦ ᾅδου *the abyss, 1Apoc.Jo.*20(p.88); Bas.*ep.*45(3.139C; M.32.380B); Isid.Pel.*epp.*1.247(M.78.332D); **2.** *column* in architecture, Paul.Sil.*Soph.*559(M.86.2141A); **3.** *branch,* ref. Gen.40:9–10 as type of Trin. μίαν ἄμπελον ἐν τρισὶ π., τοῦτον τοῦ ἄλλου π. οὐδαμοῦ προβαθέστερον Didym.*Trin.*1.18(M.39.348B).

πυθόμαντις, ἡ, *prophetess, woman diviner*; of witch of Endor, Eustrat.*stat.anim.*21(p.507).

πύθων, ὁ, 1. *Python*; as adj., *of divination,* cf. *daemonem, quem Pythonem nominant, id est ventriloquum,* Or.*princ.*3.3.5(p.262.1; M.11.318C); ἡ ἐγγαστρίμυθος ὑπὸ τοῦ ἐν αὐτῇ προσφωνοῦντος πνεύματος π. ἐναερίου...τερατεύεται ‡Jo.D.*ep.Thphl.*16(M.95.368A); **2.** plur., *ventriloquists* π. μαντεύονται, ἀλλ' ὑφ' ἡμῶν ὡς δαίμονες ἐκριζούμενοι φυγαδεύονται *Hom.Clem.*9.16; Proc.G.*Is.*8:19–22(M.87.1993B).

***πυθωνικός,** *possessed of spirit of divination* ἐγγαστριμύθους...τοὺς ψευδομάντεις, ἤτοι π. Cyr.*Is.*4.2(2.596D).

πυκάζω, 1. *cover closely*; med., *be clothed* πυκάσαντο δικαιοσύνην ἱερῆς †Apoll.*met.Ps.*131:9(M.33.1513B); **2.** met., in pass., *be close. cautious* νοῦς...πεπωπασμένος Cyr.*glaph.Num.*(1.406B, prob. error for πεπυκασμένος).

***πυκασμός, ὁ,** *thick covering* of booths at Feast of Tabernacles ἑορτή, διὰ τοῦ π. τῆς σκηνοπηγίας τῆς κάτω κτίσεως πρὸς τὰς...προβεβλημένας περὶ τὸ ἄνω θυσιαστήριον δυνάμεις συνυπηχοῦσα Gr. Nyss.*nativ.*(M.46.1129A).

πυκνάζω, 1. *be a frequent visitor,* Jo.Mosch.*prat.*211(M.87.3104B); **2.** *attend upon,* Cyr.S.*v.Euthym.*40(p.60.28).

***πυκνοκέντητος,** *very prickly,* Geo.Pis.*carm.*1.83.

πυκν-όω, *make close* or *solid*; pass.; **1.** *be packed full* τὸ κατὰ Λοῦκαν [sc. εὐαγγέλιον] πλείοσιν ἱστορίαις ~ούμενον Max.*ambig.*(M.91.1245D); **2.** *be made dense* or *gross,* met. ἡ ~ωθεῖσα ἕξις τῇ...μοχθηρίᾳ ‡Proc.G.*Pr.*30:21(M.87.1529B); Max.*ambig.*(M.91.1112C); **3.** met., *be made firm, be strengthened* ζήλῳ...~ωθέντες Gr.Naz.*carm.* 1.2.10.710(M.37.731A).

πύκνωμα, τό, plur., *abundance,* Or.*schol.in Cant.*7:8–9(M.17.284C).

***πυκτεῦμα, τό,** *boxing contest*; met., of ascetic life, *Hymn.*(*AS* 1 p.594).

πυκτεύ-ω, 1. *box, contend,* met. κινδύνῳ ἐπύκτευσα *Mir.Artem.*32 (p.46.18); of spiritual combat Λαζάρου τοῦ...πενίᾳ καὶ ἐρημίᾳ... ~οντος Chrys.*stat.*1.10(2.16C); ταῖς ἀσωμάτοις δυνάμεσι ~ει id.*hom. 57.4 in Mt.*(7.581B); of the poor as soldiers fighting agst. Devil with prayers in return for maintenance by almsgiving, *ib.66.5* (659C); *ib.76.5*(739D); Pall.*h.Laus.*34(p.98.22; M.34.1166C); ὁ μεθ' ὑποταγῆς καὶ προσευχῆς ~ων τῷ θελήματι, ἀθλητής ἐστιν εὐμέθοδος Marc.Er.*opusc.*2.148(M.65.953B); **2.** *strive* τοῦτον [sc. ποταμόν] παρελθεῖν ἐπύκτευον Gr.Mag.*dial.*(tr.Zach.)3.9(M.*PL.*77.235A).

πυκτίον, τό, *book, volume* (opp. papyrus roll) πυκτία τῶν θείων γραφῶν Ath.*apol.Const.*4(M.25.600C); Gr.Naz.*ep.*234(M.37.377A); Chrys.*hom.32.3 in Jo.*(8.188A).

πυκτίς, ἡ, = foreg., Isid.Pel.*epp.*1.61(M.78.224A); Jo.D.*parall.* (M.95.1045); met. ὃς [sc. swan] τὴν πτερωτὴν ἐξαπλώσας π. τερπνὴν ξενουργεῖ ταῖς πνοαῖς μελῳδίαν Geo.Pis.*hex.*1186(M.92.1526A).

πύλη, ἡ, *gate*; **1.** in gen., ref. righteousness as gate of life, ref. Ps.117:19, *1Clem.*48.2–3; πύλας δικαιοσύνης...αὗται...ἀνοίγονται τῷ μεταδιώκοντι τὰς κατ' ἀρετὴν πράξεις Or.*Cels.*6.36(p.105.24; M.11.1352B); of gate of life to which γνῶσις is key, *Hom.Clem.*3.18; cf.Or. *hom.14.2 in Ezech.*(p.452.27; M.13.765D); opened by Christ to all nations, Eus.*d.e.*4.10(p.167.16; M.22.280A); **2.** of heaven, opened in visions, *T.Lev.*5.1; †Gregent.*disp.*4(M.86.776D); **3.** of hell (Mt. 16:18) contrasted with gates of Sion (cf. Ps.9:15) each of former being a sin, of latter a virtue, Or.*comm.in Mt.*12.12f.(pp.91.18,93.9; M.13.1008B,1009B); id.*Cels.*6.36(p.105.21; M.11.1352B); ref. Christ's descent to gates of Hades, Jo.Eub.*concept.BMV* 9(M.96.1473B); **4.** ref. Christ as gate of tower which represents Church, Herm.*sim.* 9.12.3; connected with Christ as 'stone', *Pers.*(p.32.2); **5.** Naassene οἱ λογικοί, οἱ ζῶντες ἄνθρωποι, οἱ διὰ τῆς π. εἰσερχόμενοι τῆς τρίτης Hipp.*haer.*5.8(p.95.3; M.16.3147D); gate of heaven being resurrection from 'choic' to 'pneumatic' state, *ib.*(p.93.19; 3140C); οἱ πνευματικοὶ...διὰ τῆς π. ὁδεύοντες ἀληθινῆς, ἥτις ἐστὶν *Ἰησοῦς*...καὶ ἐσμὲν...ἡμεῖς Χριστιανοὶ μόνοι, ἐν τῇ τρίτῃ π. ἀπαρτίζοντες τὸ μυστήριον καὶ χριόμενοι ἐκεῖ ἀλάλῳ χρίσματι *ib.*5.9(p.102.13; 3159A); **6.** ref. BMV as typified by Ezech.44:2 π. κατὰ ἀνατολὰς βλέπουσα Ephr.3. 530B; αὕτη ἡ βλέπουσα κατὰ ἀνατολὰς π. ἡ διὰ τῆς δεσποτικῆς εἰσόδου καὶ ἐξόδου κλειομένη εἰς τὸν αἰῶνα Procl.CP *or.*6.17(M.65.756A); Rom.Mel.(*BZ* 24, p.5); id.(*SBBAW* 1898[2] p.193); Thdr.Stud.*nativ. BMV* 7(M.96.689D); id.*or.*5.11(M.99.728A); as gate of heaven δι' ἧς μόνος ὁ τῶν οὐρανῶν δεσπότης διώδευσε Andr.Cr.*or.*4(M.97.880D); **7.** ref. senses as gates of soul, Or.*fr.52 in Lam.*(p.257.26; M.13. 636B); Esaias *or.*10(p.68).

πυλών, ὁ, A. *gateway*; **1.** *porch* of church, *A.Mt.*16(p.237.5); **2.** met. τῶν πυλών⟨ων⟩ τῆς ἀθανασίας ἤρξατο ἅπτεσθαι Const.ap. Gel.Cyz.*h.e.*2.7.39(πυλῶν codd., M.85.1241B); *ib.*2.7.4(1233A); exeg. Apoc.21:12 π. δώδεκα, τοὺς θείους ἀποστόλους αἰνίττεται Oecum. *Apoc.*21:12(p.238); Andr.Caes.*Apoc.*67(M.106.429D); ἥ τε χρεία τῶν π. ὡς εἰσαγόντων εἰς τὸ τῆς ζωῆς ταμεῖον τοὺς αὐτοῦ ἀποστόλους παριστᾷ, δι' ὧν τὰ ἔθνη τῷ Χριστοῦ ταμείῳ εἰσήχθησαν Areth.*Apoc.* 21:12–14(M.106.768B).

B. *? alcove* in catacomb *κιτε π. τρίτῳ, λάνῳ πέμπτῃ IG* 14.150 (Syracuse).

πυλωρός, ὁ, *door-keeper*, member of minor order in Church *ἐξορκιστὰς δὲ καὶ ἀναγνώστας ἅμα π. δύο καὶ πεντήκοντα* Corn.ap.Eus. *h.e.*6.43.11(M.20.621A); *Const.App.*2.26.3; *ib.*2.57.7; not permitted to baptize, *ib.*3.11; to be *μονογάμος, ib.*6.17.2; Phot.*nomoc.*1.31 (p.478; M.104.1016A).

πύξινος, *of box-wood, fitted with box-wood* knuckle-dusters *ἐπύκτευον πυξίνοις δακτύλοις πυκτικὰς συμβολάς* Jo.Mal.*chron.*12 p.288(M.97.436A).

πυξίον, τό, *tablet of box-wood*; any *tablet π. μὲν λέγεται κυρίως τὸ ἐκ πύξου κατεσκευασμένον, κοινότερον δὲ καὶ καταχρηστικῶς ἀπ' ἐκείνου π. καὶ τὸ ἐκ μολίβου...καὶ ἄλλης τινὸς ὕλης γεγονός* CAnc.(358) *ep.syn.*ap.Epiph.*haer.*73.5(p.275.3; M.42.412C); of tables of Law, Pall.*v.Chrys.*12(p.75.26; M.47.43); met. *τὸ ἔργον τοῦ νόμου, γραπτὸν ...ἐν τῷ τῆς καρδίας π.* Gr.Nyss.*hom.14 in Cant.*(M.44.1076B); ref. Abac.2:2 *ἔοικε τὸ ἡγεμονικὸν τῶν ἁγίων πυξίῳ τινί, ἐν ᾧ καταγράφει ὁ θεὸς ἅπερ λεχθῆναι δέον τῷ λαῷ αὐτοῦ* Nil.*epp.*1.108(M.79.129A); ‡Caes.Naz.*dial.*194(M.38.1184).

πῦρ, τό, *fire*;

A. as an element; **1.** qualities *ἐν δὲ τοῖς τρισὶ στοιχείοις τὸ π. ἐναιωρεῖται...καὶ ὑπὸ τούτων ἐξάπτεται καὶ τούτοις ἐπαποθνήσκει, μὴ ἔχον τόπον ἀποτακτὸν ἑαυτοῦ ὡς καὶ τὰ ἄλλα στοιχεῖα, ἐξ ὧν τὰ συγκρίματα δημιουργεῖται* Clem.*exc.Thdot.*48(p.122.17; M.9.681C); id.*ecl.*26(p.144.16ff.; M.9.712A) cit. s. *διπλόος; τὸ π. αὐτοκίνητόν ἐστι* Or.*princ.*3.1.2(p.196.10; M.11.249B); cf. *ignis autem duplicem habet virtutem, unam, qua illuminat, aliam, qua incendit,* id.*hom.13.4 in Ex.*(p.275.16; M.12.392A); **2.** origin and necessity *ἐκ λίθων μὲν π. ἐξάλλεται, ἐκ σιδήρου δέ, ὃς καὶ αὐτὸς ἀπὸ γῆς ἔχει τὴν γένεσιν, π. ἄφθονον ἐν ταῖς παρατρίψεσι πέφυκεν ἀπολάμπειν. ὃ καὶ θαυμάσαι ἄξιον, πῶς ἐν μὲν τοῖς σώμασιν ὑπάρχον τὸ π., ἀβλαβῶς ἐμφωλεύει· προκληθὲν δὲ ἐπὶ τὸ ἔξω, δαπανητικόν ἐστι τῶν φυλασσόντων τέως* Bas. *hex.*1.7(1.8B; M.29.20Af.); *ἀναγκαία τῷ παντὶ τοῦ π. ἡ οὐσία, οὐ μόνον πρὸς τὴν τῶν περιγείων οἰκονομίαν, ἀλλὰ καὶ πρὸς τὴν συμπλήρωσιν τοῦ παντός ib.*3.5(1.27B; M.64C); created after earth and water, *ib.*2.3 (1.15A; M.36A); **3.** Gnost. *π. ἅπασιν αὐτοῖς ἐκπεφυκέναι θάνατον καὶ φθοράν* Iren.*haer.*1.5.4(M.7.500A); **4.** ass. demons *πνευματικὴ δέ ἐστιν αὐτοῖς* [sc. *δαίμοσιν*] *ἡ σύμπηξις ὡς πυρὸς καὶ ἀέρος* Tat.*orat.*15(p.16. 28; M.6.840A); *ὁ δαίμων ἀφανὴς ἐγένετο, μόνον δὲ ἀποστάντος αὐτοῦ π. καὶ καπνὸς ὤφθη A.Thom.*A 46(p.163.15).

B. ref. idea of divinity of fire; **1.** pagan assertions, acc. Parmenides and Heraclitus, Clem.*prot.*5(p.49.3,18ff.; M.8.165A,168Aff.); Persian fire worship, *ib.*(p.49.18ff.; 168Aff.); Chrys.*stat.*4.3(2.54B); **2.** Christian refutation *οἱ δὲ νομίζοντες τὸ π. εἶναι θεὸν πλανῶνται. τὸ γὰρ π. ἐγένετο εἰς χρῆσιν τῶν ἀνθρώπων καὶ κατακυριεύεται ὑπ' αὐτῶν περιφερόμενον ἐκ τόπου εἰς τόπον...φθείρεται δὲ καὶ κατὰ πολλοὺς τρόπους ὑπὸ τῶν ἀνθρώπων σβεννύμενον. διὸ οὐκ ἐνδέχεται τὸ π. εἶναι θεὸν ἀλλ' ἔργον θεοῦ* Arist.*apol.*5.3; Athenag.*leg.*6.4(M.6.904A); *τοίνυν Ζεὺς μὲν τὸ π., Ἥρα δὲ ἡ γῆ...στοιχεῖα δὲ ταῦτα, τὸ π. ... οὐδεὶς αὐτῶν θεός ib.*22.1(936C); *εἰ ὁ περὶ θεοῦ κρατεῖ λόγος, δυνατὸν αὐτὸν εἶναι κατὰ πάντα, καὶ μηδὲν μὲν αὐτοῦ κρατεῖν...πῶς οἱ τὴν κτίσιν θεοποιοῦντες οὐχ ὁρῶσιν αὐτὴν ἐκτὸς οὖσαν τοῦ τοιούτου περὶ θεοῦ ὅρου;...τὸ π. δέ, εἰ γένοιτό τις ὑδάτων πλημμύρα, σβέννυται* Ath.*gent.*29(M.25.57B); **3.** pagan idea ridiculed *οἱ μέν τινες* [sc. *τῶν φιλοσόφων*] *π. ἔφασαν εἶναι τὸν θεόν (οὗ μέλλουσι χωρήσειν αὐτοί, τοῦτο καλοῦσι θεόν) Diogn.*8.2; *προσκυνῶ τὸ π. ὦ τοῦ γέλωτος...τὸ προσκυνούμενον τί σβεννύεις;...εἰ γὰρ θεός ἐστι τὸ π., ἐπινεμέσθω σου τὸ σῶμα* Chrys.*hom.12.2 in Eph.*(11.91C,D).

C. fire as man's servant, Clem.*prot.*11(p.81.11; M.8.233B); id. *paed.*3.12(p.290.18ff.; M.8.680A).

11:10(840C); abs. σ. ἄλλον ἔχων κορυνηφόρον ἐσμὸν ὁδίτην *ib.*18:3 (889A); met. σ. ... ἔχω παλιναυξέα τιμήν *ib.*17:10(885A); **3.** in time, *concurrent, contemporaneous* μήτε μὴν παντὶ τοῦ βίου μήκει σ. ἔχοιμι τὴν πληγήν Cyr.*Ps.*38:6(M.69.976A); τοὺς σύνδρομον τῇ ζωῇ τὸν δι' ἀπιστίας ὑπομένοντας θάνατον Andr.Caes.*Apoc.*33(M.106.321A); ref. generation of Son ἐνταῦθα...σ. τῷ εἶναι τὸ γεγεννῆσθαι Gr.Naz.*or.*29.9(p.85.6; M.36.85A); of God in rel. to mankind σ. πάντα θεῷ...ὧν γὰρ θεός, γίνεται ἄνθρωπος, οὐκ ἐκστὰς τοῦ εἶναι θεός †Chrys.*nativ.*2(6.392B); **4.** mentally; **a.** *agreeing, in agreement with* σ. ... ἀλλήλοις εἰσὶ περὶ τὴν τῶν θείων δογμάτων ἐξήγησιν Cyr.*Jo.*1(4.8B); σ. ἔχω σε τοῦ μίσους μου Areth.*Apoc.*2:6(M.106.529B); **b.** in bad sense, *consenting* ταῖς τῶν Ἰουδαίων ἀπονοίαις σ. ἦν ὁ Πιλᾶτος Cyr.*Is.*5.1(2.746E); as subst., *aider and abettor* ἄλλων...δημευθέντων ὡς σ. Ὑπατίου Thphn.*chron.*p.158(M.108.428A); **5.** *corresponding; commensurate; befitting; appropriate*; **a.** of things πότερον ἁπάδει τῆς οὐσίας ἢ σ. ἐστι κατὰ τὴν ἔννοιαν; Gr.Nyss.*Eun.*1(1 p.207.21; M.45.456A); τότε σ. τῇ κατὰ σάρκα γεννήσει δέχεται τὴν κλῆσιν [sc. τοῦ Χριστοῦ] Cyr.*Is.*4.4(2.656E); id.*Os.*III(3.143B); abs. ἡ ψυχὴ...τῆς αἰωνίου σωτηρίας σὺν πᾶσι τοῖς ἁγίοις καταξιοῦται ἅτε δὴ κοινωνὸς καὶ σ. κατὰ μίμησιν αὐτῶν...διαστραφεῖσα Mac.Aeg.*hom.*4.27(M.34.494C); λέγε Χριστὸν παθόντα, καὶ σ. εὑρήσεις τὸ ὄνομα τῆς σαρκός Euther.*confut.*10(M.28.1368A); χρὴ...ἑνὸς ὄντα ποιήματα τοῦ φιλαρέτου θεοῦ, σ. ἔχειν τὴν ἀποκάθαρσιν Cyr.*Lc.*11:39(M.72.713A); **b.** theol., of various divine attributes, exeg. Jo.14:9 τὸ ἀγαθὸν τοῦ θελήματος, ὅπερ σ. ὂν τῇ οὐσίᾳ ὅμοιον καὶ ἴσον, μᾶλλον δὲ ταὐτὸν ἐν πατρὶ καὶ υἱῷ θεωρεῖται Bas.*Spir.*21(3.18B; M.32.105B); ὁ...υἱὸς σ. ἔχει τῇ γεννήσει τὴν τελειότητα Thdt.*Heb.*7:28(3.593); σ. ἔχει θεὸς τῇ φύσει τὴν θέλησιν ‡Just.*fr.*ap.Max.*opusc.*(M.91.280B); esp. of God's power in rel. to his will ἡ βούλησις, σ. ἔχουσα τὴν δύναμιν, ὑπεστήσατο ὅσα ἠθέλησεν ‡Ath.*dial.Trin.*1.8(M.28.1129A); *ib.*1.4(1121C); ἐπὶ τῆς θείας φύσεως σ. ἐστι τῇ βουλήσει ἡ δύναμις Gr.Nyss.*hex.*7(M.44.69A); id.*or.catech.*8(p.50.24; M.45.40A); Thdt.*Ps.*88:9(1.1233); id.*Dan.* 3:42f.(2.1120); Jo.D.*f.o.*1.7(M.94.805B); exeg. Ps.32:6 (ref. argument ascribed to Macedonians that Word of God here = impersonal λόγος προφορικός) οὐ γὰρ ἔσχεν ὁ λόγος σ. τὴν δύναμιν, ἀλλ' ἐνέμεινεν τὴν τοῦ υἱοῦ ἐνέργειαν ‡Ath.*dial.Trin.*3.24(M.28.1240B); of H. Ghost as δύναμις οὐσιώδης: πρὸς πᾶσαν πρόθεσιν σ. ἔχουσαν τῇ βουλήσει τὴν δύναμιν Gr.Nyss.*or.catech.*2(p.15.8; M.45.17C).

συνδυάζ-ω ([*]**συνδιάζω**, [*]**συνδοιάζω**), **1.** *join oneself* with, *combine, associate oneself* with πλησίον γινομένους καὶ ~οντας Chrys. *hom.*6.3 *in Tit.*(11.769D); μὴ ἀνασχόμενος συνδιάσαι τῷ μαρορρήμονι Nil.*epp.*1.147(M.79.144B); οἱ Ἰουδαῖοι σ. μετὰ Ἑλλήνων Ammon.*Ac.* 14:2(M.85.1544C, v.l. συνδιάζουσι); **2.** *harbour, entertain* thoughts σ. λογισμοῖς ἀκαθάρτοις Nil.*epp.*3.81(M.79.425A); Marc.Er.*opusc.*4(M. 65.997A); Cyr.S.*v.Euthym.*50(p.73.1); **3.** med., *be in collusion with*; also act. εἰς τὸ μὴ συνδοιάσαι μετ' ἀλλήλων, ἀλλ' ἀνοθεύτως ἑρμηνεῦσαι Epiph.*mens.*3(M.43.241C); ἄνευ τοῦ πρὸς ἀλλήλους σ. *ib.*17(265A); ὥστε τὴν ἁγίαν σύνοδον...εἰς συνδυάσαι σοι ἀναγκασθῆναι Leo Mag. *ep.*106.2(p.57.3; M.*PL.*54.1004B); abs. ἐμοῦ, ὅπερ ἀπείη, ~οντος *ib.* 104.3(p.60.9; 996B); **4.** *conspire* σ. μετὰ τοῦ...δαίμονος τὰς κατὰ τῆς...ἐκκλησίας ἐπιβουλὰς κατεσκεύασεν Jo.Mosch.*prat.*43(M.87. 2897C).

***συνδύασμα, τό**, *act of fornication*, †Gregent.*disp.*(M.86.720A).

συνδυασμός, ([*]**συνδιασμός**, [*]**συνδοιασμός**), **ὁ**, *combination of one and one, coupling*; **1.** *copulation, coition*, ref. Adam's creation μὴ ἐκ σ. ἀνδρὸς καὶ γυναικὸς ἀλλ' ἐκ τῆς θείας χειρὸς διαπλασθῆναι Bas. *Eun.*1.15(1.227D; M.29.548A); Didym.(‡Bas.)*Eun.*4(1.282B,283C; M. 29.680A,681B); ref. Son's generation θαυμάζω...ὅτι μὴ καὶ τοῦτο τολμᾷς, σ. τινας ἐννοεῖν Gr.Naz.*or.*29.4(p.78.4; M.36.77C); λόγος...καὶ ἀπαύγασμα λέγεται διὰ τὸ ἄνευ σ. ... γεγεννῆσθαι ἐκ τοῦ πατρός ‡Cyr. *Trin.*8(6³.11C; M.77.1136C); Jo.D.*f.o.*1.8(M.94.813C); ἡ Μαριάμ...ἐξ αὐτῆς, οὐκ ἐκ σ. συλλαβοῦσα (mystically interpreted ref. scripture) Clem.*str.*7.16(p.66.26; M.9.532A); οὐχ ὁμοίως ἀνθρώποις ἐγεννήθη (οὐ γὰρ ἐκ σπορᾶς καὶ σ.) CAnc.(358)*ep.syn.*ap Epiph.*haer.*73.9 (p.279.20; M.42.420A); cf.Gr.Nyss.*or.catech.*13(p.61.5; M.45.45B); οὐκ ἀπὸ σπέρματος ἀνδρὸς συνελήφθη ἵνα μὴ σ. καὶ παραπλοκὴ ἐν τῇ ἐνσάρκῳ γεννήσει γένηται Epiph.*haer.*69.25(p.175.24; M.42.244A); οὐδὲ ...ἐτέτεκτο ἐκ σ. ... ἀλλ' ὑπὸ τῆς θείας τοῦ πνεύματος ἐνεργείας διέπλαστο Thdr.Mops.*fr.inc.*7(p.296.30; M.66.977A); ‡Cyr.*Trin.*14 (6³.20C; M.77.1152A); **2.** plur., *social intercourse, companionship* τῶν πονηρῶν ἀνθρώπων σ. καὶ κοινωνίαι Mac.Aeg.*hom.*9.11(M.34. 540A); Nil.*epp.*3.328(M.79.540C); **3.** *harbouring* in the mind φυλάττειν ἑαυτὸν ἀπὸ σ. αἰσχρῶν λογισμῶν Cyr.S.*v.Euthym.*50(p.74.6); ἐνέστηκε...ἡ πάλη, διὰ τὸ ὑμᾶς καταφρονῆσαι εἰσελθεῖν καὶ τὴν προσβολὴν καὶ τὸν σ. Jo.Jej.*doct.*1(p.229); ἄλλο δέ ἐστι προσβολή, καὶ ἄλλο συνδοιασμός...σ. δέ ἐστιν ἡ παραδοχὴ τοῦ ὑποβαλλομένου λογισμοῦ παρὰ τοῦ ἐχθροῦ, καὶ οἷον μετ' αὐτοῦ μελέτη καὶ ἐνήδονος ὁμιλία ἡ παρὰ τῆς προαιρέσεως ἡμῶν Jo.D.*spir.neg.*(M.95.93A') = Ephr.3.429C,D (συνδιασμός) = ‡Ath.*polit.*(συνδυασμός M.28.1400A).

***συνδυαστέον**, *one must act in collusion* with ἀδελφῷ περί τινος φαύλου πράγματος μὴ σ. Niceph.Ur.*v.Sym.*36(M.86.3017D).

***συνδυναμόω**, *give the same power to* one as another, *infuse with equal power*, Christol. σ. σῶμα γήινον τῇ θεότητι εἰς μίαν δύναμιν ἥνωσεν Epiph.*anc.*80(p.100.26; M.43.168C).

***συνδυσχεραίνω**, *be thoroughly annoyed* σ. ἐπὶ τῇ ἀμελείᾳ Gr. Nyss.*v.Macr.*(p.412.15; M.46.997C).

***συνδύω**, *dress at the same time*, met. ἐνδιδυσκομένης σου συνεδύθη [sc. ἡ παρθενεία] σοι *M.Ner.et Ach.*8(p.6.29).

συνεγγράφω, *paint one* thing *with another*; pass., *be painted* or *depicted likewise* ὁ σταυρὸς ἐγγέγραπταί σοι, ὁ δὲ σταυρωθεὶς οὐ συνεγγέγραπται Thdr.Stud.*ref.*(M.99.456C).

σύνεγγυς, **1.** of place, *near, close to*, met. τὸν γνωστικὸν τὴν ὑπέκβασιν παντὸς τοῦ κόσμου...ἑκουσίως ποιούμενον, ἐνδεικνύμενον... ὅτι μάλιστα σ. ἔσοιτο τοῦ θεοῦ Clem.*str.*7.7(p.30.28; M.9.456B); **2.** of time, *lately* ἐκ τοῦ σ. Acac.B.*ep.Cyr.*(p.99.8; M.77.100B).

συνεγείρ-ω, **1.** *join in raising*; s.v.l., of raising money, *earn* τῷδε τῷ βίῳ προσμεῖναι πονοῦντα...καὶ τὸν ἐντεῦθεν ~οντα πλοῦτον Thdt. *h.rel.*13(3.1207) but prob. f.l. for συναγείροντα; **2.** *raise together*, i.e. one with another; med. and pass., *rise, get up together*, Ign.*Polyc.* 6.1; from the dead ~όμεθα ἐν Χριστῷ †Bas.*bapt.*1.2.15(2.640D; M. 31.1552C); Gr.Nyss.*Apoll.*30(M.45.1189B); with Christ ὁ συνεγερθεὶς τῷ Χριστῷ †Bas.*Is.*69(1.429B; M.30.237B); *ib.*284(595B; M.617A); *Const.App.*7.45.1; Cyr.*Arcad.*(p.112.29; 5^2.118A).

***συνεδιαζόμενος**, vox nihili ὁ ὄνυξ...μαρμάρῳ ἐστὶ σ., σὺν τῇ τοῦ αἵματος ἰδέᾳ Epiph.*gemm.*12(M.43.301B, conj. συνδιαζόμενος).

συνεδρεία (συνεδρία), ἡ, **1.** *seat in, membership of, the Sanhedrin* οἱ...πρεσβύτεροι καὶ ἱερεῖς...ἱερώτεροι κατὰ τὸν νόμον, καὶ τῇ σ. τετίμηντο Cyr.*Zach.*20(3.677D); **2.** theol., *consession* of Son with Father ἐπανῆλθε...εἰς ἰδίαν τὴν ἐκ δεξιῶν τοῦ...πατρὸς σ. Didym. *Trin.*3.10(M.39.856D); ἡ...σ. οὐδὲν ἕτερον δείκνυσιν, ἢ τὸ ὁμότιμον Chrys.*hom.*2.3 *in Heb.*(12.19C).

***συνέδρευσις, ἡ**, *sitting together*; *consession* of Son with Father, Cyr.*apol.orient.*8(p.50.21; 6^1.180D).

***συνεδρευτής, ὁ**, *one who sits with*, e.g. as *assessor* πρεβυτέριον... σύμβουλοι καὶ σ. τοῦ ἐπισκόπου ‡Ign.*Trall.*7.

συνεδρεύ-ω, **1.** *sit together*; hence, theol., of Son as sitting at right hand of Father αὐτῷ σ. τῷ πατρί, καὶ τοῦτο ἐκ δεξιῶν Cyr.*Jo.*3.5(4. 304E); implying equality ἀπό τε τοῦ σ. αὐτὸν τῷ πατρί, καὶ ἀπὸ τοῦ κεκλῆσθαι κατὰ φύσιν υἱόν, εἰς ἀκριβεστάτην ἐρχόμενος τοῦ μυστηρίου κατάληψιν...[Heb.1:5] *ib.*5.4(505A); *ib.*9(721D); therefore never of men or angels ἆρ' οὖν...ἀντ' ἐκείνου τῷ πατρὶ ~σομεν, καὶ ὑπόθεσιν ἀσεβείας τὴν τοῦ τιμῶντος ποιησόμεθα χάριν; *ib.*1.9(74E); id. *dial.Trin.*4(5^1.536A); except in Christ ~οντος τοῦ...Χριστοῦ, ἐφ' ὅλην δραμεῖται τὸ καύχημα τὴν ἀνθρώπου φύσιν id.*Heb.*1:9(p.384.22); controv. Nestorius μὴ ἀλλότριον τοῦ λόγου τὸ σῶμα αὐτοῦ, μεθ' οὗ καὶ αὐτῷ σ. τῷ πατρί, οὐχ ὡς δύο πάλιν ~όντων υἱῶν, ἀλλ' ὡς ἑνὸς καθ' ἕνωσιν μετὰ τῆς ἰδίας σαρκός id.*ep.*4(p.28.6; 5^2.24C); id.*apol.orient.*8 (p.50.2,20; 6^1.179E,180C); **2.** *assemble, congregate*, for worship; of Christ with Jewish multitude in Temple, Eus.*d.e.*8.2(p.388.14; M. 22.628B); of Christian congregations ὁ...Ἰωάννης μετὰ τὴν ὁμιλίαν τὴν πρὸς τοὺς ἀδελφοὺς καὶ τὴν εὐχὴν καὶ τὴν εὐχαριστίαν καὶ μετὰ τὴν χειροθεσίαν τὴν ἐφ' ἑκάστου τῶν σ. ποιησάμενος *A.Jo.*46(p.173.22); *ib.*(p.173.17); μήτε...ἀπολειπέσθω τις τοῦ ~ειν *Hom.Clem.*3.69; *ib.* 9.23; *ib.*11.18; πολλοὶ τῶν σ. ... ἡμῖν ἐγκαλέσουσιν Chrys.*hom.*43.1 *in 1Cor.*(10.401B); *sit in church* ὅταν...μήτε ἀγρυπνῇ, μήτε φροντίζῃ, ἀλλὰ ἁπλῶς σ. ἐν ἀδείᾳ id.*hom.*15.2 *in 1Tim.*(11.636E).

συνεδριάζω, **1.** *sit with* or *beside*, as a mark of honour σ. αὐτῷ τὸν υἱὸν ἐκέλευσεν. ὁ δέ, τῇ πρὸς τὸν πατέρα εὐλαβείᾳ...τοῦτο μὴ θελήσας ποιῆσαι †Jo.D.*B.J.*26(M.96.1101C); *ib.*(1105B); *ib.*29(1133A); theol., of consession of Son with Father τὴν κάτω φύσιν...ἐν τοῖς οὐρανοῖς συναγαγών, σ. τῷ θεῷ καὶ πατρὶ πεποίηκε †Gregent.*disp.*(M.86.772A); **2.** *meet in council* οἱ δὲ...σ. ... πέμπουσι...τὴν κοινωνίαν αὐτῶν ἐπιζητοῦντες Philost.*h.e.*10.1(M.65.584B); *ib.*4.10f.(524B,C).

συνέδριον, τό, A. *council*; **1.** prob. of Jewish *sanhedrin, Pss.Sal.* 4.1; **2.** of college of presbyters as bishop's council τῶν πρεσβυτέρων εἰς τύπον συνεδρίου τῶν ἀποστόλων Ign.*Magn.*6.1; τοὺς...πρεσβυτέρους ὡς σ. θεοῦ id.*Trall.*3.1; ἐὰν μετανοήσωμεν εἰς ἑνότητα θεοῦ καὶ σ. τοῦ ἐπισκόπου id.*Philad.*8.1; ὁ καθεζόμενος ἐν πρεσβυτερίῳ συνειδότι μεμιασμένος...τὸ Χριστοῦ μολύνων σ. Or.*fr.*50 *in Jer.*36:21(p.223. 23; M.13.580A); *Const.App.*2.28.4 cit. s. βουλή; **3.** σ. ἐπισκόπων *council, synod* ὅτι δ' ἂν ἐν τοῖς ἁγίοις τῶν ἐπισκόπων σ. πράττηται, τοῦτο πρὸς τὴν θείαν βούλησιν ἔχει τὴν ἀναφοράν Const.ap.Eus.*v.C.*

3.20(p.87.11; M.20.1080A); Jo.Ant.*ep.pap.CP*(p.129.9; M.83.1449B); cf. τοῦ ἀρχιερατικοῦ *σ.* Thdt.*ep.*42(4.1100); abs. *ποία...σύνοδος ἐπισκόπων ἦν τότε; ποῖον σ. ἀληθείας ἐχόμενον;* CAlex.*ep.*ap.Ath.*apol.sec.* 8(p.94.5; M.25.261C); Ath.*syn.*1(p.231.9; M.26.681A); Pall.*v.Chrys.*3 (p.16.10; M.47.12); Philost.*h.e.*2.7,11(M.65.472A,473B); *σ. ποιέω,* Gr.Naz.*or.*27.9(p.16.5; M.36.24A); *σ. συγκροτέω,* Pall.*v.Chrys.*7(p.38. 11; M.47.23); *σ. καθίζω* Philost.*h.e.*8.4(M.65.560A); of a council lacking proper eccl. authority *τῷ τῆς ἀποστασίας σ.* CEph.(431)*can.* 1,2; hence **a.** *session, meeting* of a council *τὸ σ. τῆς συνόδου συνεκροτεῖτο* CArim.*ep.Const.*1 ap.Ath.*syn.*10(p.237.23,35; M.26.697A,B); Acac.Mel.*hom.*(p.90.9; M.77.1468A); **b.** *council-chamber* ἵν'...*αὐθαίρετος εἰσέλθῃ εἰς τὸ σ.* Pall.*v.Chrys.*4(p.22.20; M.47.15); *ib.*8(pp.45.24, 46.12,15; M.47.27); Thdt.*haer.*4.2(4.353).

B. of non-legislative assemblies; **1.** any *public gathering, concourse,* Clem.*paed.*3.11(p.278.27; M.8.656A); **2.** *assembly, congregation*; **a.** as signifying whole body of Jews or Christians *καταλέλοιπε ...ὁ λόγος τοῦ θεοῦ τὸ Ἰουδαίων σ. καὶ ἄλλο σ. καὶ ἐκκλησίαν ἑαυτῷ πεποίηκε τὴν ἀπὸ τῶν ἐθνῶν* Or.*hom.14.15 in Jer.*(p.122.1; M.13. 423C); *ἀπηλλάγη τοῦ σ. τοῦ λοιμικοῦ, καὶ περιέτυχε τῇ σωτηρίῳ πηγῇ* Chrys.*hom.59.1 in Jo.*(8.344D); *ἐξεβάλλετο...τοῦ κοινοῦ σ.* id.*hom.5. 2 in 1Tim.*(11.576F); **b.** local assembly or congregation *ἄνδρες οἱ ἐλθόντες εἰς τὸ σ. τοῦ Χριστοῦ καὶ θέλοντες εἰς τὸν Ἰησοῦν πιστεῦσαι A.Thom.*A 37(p.154.19); of gatherings of Ophites, Or.*Cels.*6.28(p.98. 19; M.11.1336B); of other heretics *οἴκους, ἐν οἷς τὰ σ. ταῦτα πληροῦτε* Const.ap.Eus.*v.C.*3.65(p.112.12; M.20.1141A); **c.** of the building, whether *church ὅπως ἁγίων ἀνθρώπων ἄξιον σ. ἀποδειχθῇ* Const.*ib.* 3.53(p.100.27; 1116A); or *conventicle τὰ τῆς δεισιδαιμονίας ὑμῶν σ.* Const.*ib.*3.65(p.112.28; 1141C).

σύνεδρος, **1.** *seated with*; theol., of Son with Father implying equality *σ. ἔχων τὸν ἴδιον υἱόν* Cyr.*Jo.*5.4(4.505D); id.*dial.Trin.*4(5[1]. 536A); *ἀνεφέρετο εἰς τὸν οὐρανὸν ἵνα σ. εἴη τῷ πατρί* id.*Lc.*24:45ff.(M. 72.949B); of incarnate Lord as God *θεὸς...ὢν κατὰ φύσιν καὶ σ. τῷ θεῷ καὶ πατρί* id.*Heb.*2:14(p.393.5); *ὡς θεὸς...σ. ἦν τῷ γεγεννηκότι* id. *ep.*17(p.35.25; 5[2].70B); **2.** *sitting with* or *together in council ἐπισκόπους...τῶν σ. ἀνίστασαν μάρτυρας* Synes.*ep.*67(M.66.1417B).

συνεζευγμένως, *in conjunction, conjointly,* in anon. accusation against Bas. of following Apoll. in Sabellian teaching *σ., μᾶλλον δὲ ἡνωμένως* Bas.*ep.*129.1(3.220C; M.32.557C); *τὸν ἔλεον καὶ σ. αὐτῷ τὴν ἀνάστασιν...ἡμῖν αἰτεῖ* Cyr.*Ps.*40:11(M.69.997B); *νοεῖται σ.* Ammon. *Jo.*21:11(M.85.1521A).

***συνεθέλησις, ἡ,** *a willing the same, consensus of will,* as bet. Father and Son, Cyr.*Jo.*4.5(4.414B).

***συνεθελητής, ὁ,** *one who wills the same as another*; in gen., *like-minded person,* Cyr.*ador.*14(1.482E); id.*Jo.*4.5(4.401B); theol., of Son as consentient with Father *ἰδιογνώμων οὐδαμῶς, σ. δὲ...τῷ... πατρί ib.*5.5(521C); *ἰσογνώμων...καὶ σ. ... τῷ γεννήσαντι πρὸς πᾶν ὅτιοῦν ib.*(530B); *ib.*2.9(239C).

συνεθέλω, *will the same* as another, ref. Son as consentient with Father, Cyr.*Jo.*5.5(4.521E).

***σύνεθνος, ὁ,** *member of the same race* or *nation, fellow countryman καθὰ καὶ...λέγουσιν οἱ σ. ὑμῶν A.Pil.*A 2.4(p.225); Jo.Disc.*v. Epiph.*2(M.41.25C); Cyr.S.*v.Sab.*70(p.172.8).

συνείδησις, ἡ, συνειδός, τό, **I.** *consciousness, mind*;

A. in gen. *ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτὸ συναχθέντες τῇ σ. 1Clem.*34.7; *ἥ τε τοῦ σ. ... τῆς ψυχῆς δύναμις* Clem.*str.*7.7(p.29.3; M.9.453A); *γυμνὴ δὲ ἡ ψυχὴ ἐν δυνάμει τοῦ σ.* id.*exc.Thdot.*27(p.116.2; M.9.673A); *μετὰ τοῦ λόγου εἰσελθόντας εἰς τὴν παντὸς οὐτινοσοῦν σ.* Or.*Cels.*5.1(p.1.7; M.11.1181A); †Bas.*bapt.*2.8.6(2.664B; M.31.1605D); *disposition τὴν αὐτὴν σ. τῇ...ἐκκλησίᾳ...φυλάττων* Gr.Naz.*test.*(M.37.389B).

B. as private and secret *αὐταὶ καταγελῶσιν ὑμῶν αἱ συνοικοῦσαι, εἰ καὶ μὴ φανερῶς, ἀλλ' ἐν τῷ συνειδότι* Chrys.*subintr.*11(1.245C); id.*Jud.* 8.8(1.687C); *οὐ μόνον τὴν ἐπιφάνειαν τοῦ φαινομένου σώματος ἀλλὰ καὶ τοῦ σ. αὐτὸ τὸ ἀπόκρυφον* Mac.Mgn.*apocr.*4.25(p.209.2); *καλαὶ μὲν αἱ πράξεις· ἐὰν δὲ φυλάξῃς τὴν σ. ἀπὸ τοῦ πλησίον σου, οὕτως σώζῃ Apophth.Patr.*(M.65.369A); *ib.*(372A).

C. esp. ref. Christians *πεπεισμένος οὖν πάντῃ τὸν θεὸν εἶναι πάντοτε καὶ αἰδούμενος μὴ ἀληθεύειν ἀνάξιόν τε αὐτοῦ τὸ ψεύδεσθαι γινώσκων, τῇ σ. τῇ θείᾳ καὶ τῇ ἑαυτοῦ ἀρκεῖται μόναις* Clem.*str.*7.8(p.38.24; M.9. 473A); *μόνῃ δὲ σ. πίστεως ἀνύπουλος διαμένει διὰ μέσων οὐρανῶν μετὰ ἀληθείας ἀνερχομένη Const.App.*7.33.3; Chrys.*hom.1.4 in 2Cor.*(10. 423C); *τῶν ἀποστόλων...ὁ λόγος ἐξέλαμπε τοῦ σ. αὐτοῦ φωτίζων τὰ ἀπόκρυφα* Mac.Mgn.*apocr.*3.28(p.119.26).

II. *knowledge shared with others Εὐσέβιος...ὑπὸ τῆς σ. ὧν οἶδε πληττόμενος* CAlex.*ep.*ap.Ath.*apol.sec.*6(p.92.10; M.25.257C).

III. *observation, evidence μαθηταῖς...τεθεαμένοις τὰ τεράστια τοῦ Ἰησοῦ καὶ παριστᾶσιν ἐναργῶς τὸ εὔγνωμον τῆς ἑαυτῶν σ. συγκατατιθώμεθα, ὁρῶντες τὸ ἀπάνουργον αὐτῶν, ὅσον ἔστω ἰδεῖν συνείδησιν ἀπὸ γραμμάτων* Or.*Cels.*3.24(p.220.20f.; M.11.948B).

IV. *conscience*;

A. nature and functions; **1.** natural endowment of man, Meth. *fr.10 in Job* (p.513.9; M.18.408A); *δύο...διδάσκαλοι γεγόνασιν ἡμῖν ἐξ ἀρχῆς, ἡ κτίσις, καὶ τὸ σ.· καὶ οὐδέτερος αὐτῶν φωνὴν ἀφιείς, σιγῇ τοὺς ἀνθρώπους ἐπαίδευον. ἥ τε γὰρ κτίσις διὰ τῆς ὑφέως ἐκπλήττουσα τὸν θεατήν, εἰς τὸ τοῦ ποιήσαντος αὐτὴν θαῦμα παραπέμπει τὸν ὁρῶντα ἅπαντα· τὸ δὲ σ. ἔνδον ἐνηχοῦν, ἅπαντα ὑποβάλλει τὰ πρακτέα* Chrys.*Anna* 1.3(4.703C); *ὁμοῦ γὰρ πλάττων τὸν ἄνθρωπον ὁ θεός, τοῦτο αὐτῷ ἐνέθηκε δικαστήριον ἀδέκαστον, τὴν ἐν ἑκάστῳ τοῦ σ. ψῆφον* id.*exp.in Ps.*147:9(5.486D); *φυσικὴ βίβλος ἐστὶ σ. ὁ ἐμπράκτως ἀναγινώσκων αὐτήν, λαμβάνει πεῖραν θείας ἀντιλήψεως* Marc.Er.*opusc.* 1.187(M.65.928C); *ὅτε ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, ἐνέσπειρεν αὐτῷ τί ποτε θεῖον, ὥσπερ λογισμόν τινα θερμότερον...φωτίζοντα τὸν νοῦν καὶ δεικνύοντα αὐτῷ τὸ καλὸν ἀπὸ τοῦ κακοῦ. τοῦτο κατακαλεῖται συνείδησις ὃς ἐστιν ὁ φυσικὸς νόμος* Dor.*doct.*3.1(M.88.1652D); **2.** sufficient for leading a moral life *ἀρίστη γὰρ πρὸς τὴν ἀκριβῆ αἵρεσίν τε καὶ φυγὴν ἡ σ., θεμέλιος δὲ αὐτῆς βέβαιος ὀρθὸς βίος* Clem.*str.*1.1(p.5. 21; M.8.692B); *ἡ σ. οὐ συγκρίνει τοὺς...λογισμοὺς τοὺς ὑπακούοντας τῇ ἁμαρτίᾳ, ἀλλ' εὐθὺς ἐλέγχει. οὐ ψεύδεται γάρ, ἐπεὶ τί εἶποι ἐνώπιον τοῦ θεοῦ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως μαρτύρεται, ὡς πάντοτε ἐλέγχουσα* Mac.Aeg.*hom.*35.34(M.34.597D); *ἀρκοῦντα γὰρ ἔχομεν διδάσκαλον τὸ σ., καὶ οὐκ οἶόν τέ τινα ἀπεστερῆσθαι τῆς ἐκεῖθεν βοηθείας* Chrys.*hom. 54.1 in Gen.*(4.522B); *τοῖς δὲ Ἰουδαίοις ἐξαίρετόν τι ἐπραγματεύσατο, τὸ καὶ διὰ γραμμάτων δηλῶσαι τὰ νόμιμα...ἡ μέντοι πᾶσα φύσις ἡ ἀνθρωπίνη ἀρκοῦντα εἶχε τὸν ἀπὸ τοῦ σ. νόμον* id.*exp.in Ps.*147:9(5. 486E); id.*Laz.*4.5(1.759A); *ζητῶν θεραπείαν, ἐπιμέλησαι τῆς σ.· καὶ ὅσα λέγει, ποίησον...τὰ κρυπτὰ ἑκάστου ὁ θεὸς οἶδε, καὶ ἡ σ.· καὶ τούτων αὐτῶν λαμβανέτω διόρθωσιν* Marc.Er.*opusc.*1.69f.(M.65.913C); *τῇ σ. εἴξαντες οἱ πατριάρχαι, καὶ πάντες οἱ ἅγιοι πρὸ τοῦ γραπτοῦ νόμου, εὐηρέστησαν τῷ θεῷ* Dor.*doct.*3.1(M.88.1652D); *λόγος δὲ θεοῦ τὴν ψυχὴν πρὸς ἀρετὴν...διεγείρει, καὶ μάλιστα τῶν ῥᾳθυμοτέρων περὶ τὴν ἐργασίαν τῶν θείων παραγγελμάτων...τοῖς μὲν γὰρ σπουδαίοις...ἱκανὴ καὶ ἡ σ. πρὸς διδασκαλίας ὑπόθεσιν, πάντα τὰ ἀγαθὰ συμβουλεύουσα, καὶ πάντων τῶν πονηρῶν ἀποστρέφουσα* Leont.N.*v.Sym.*2(M.93. 1669C); **3.** as judge *τὸ σ. λέγω...οὐκ ἔστιν οὐδεὶς δικαστὴς οὕτως ἄγρυπνος ἐν ἀνθρώποις, οἷον τὸ ἡμέτερον σ. οἱ μὲν γὰρ ἔξωθεν δικασταὶ καὶ ὑπὸ χρημάτων διαφθείρονται...καὶ πολλὰ ἕτερά ἐστι τὰ λυμαινόμενα τὴν ὀρθὴν ἐκείνων ψῆφον· τὸ δὲ τοῦ σ. δικαστήριον οὐδενὶ τούτων εἴκειν οἶδεν* Chrys.*Laz.*4.4(1.745A); id.*hom.17.1 in Gen.*(4.134C); id. *hom.42.3 in Mt.*(7.455C); *ἀνοιξόν σου τὰς θύρας τοῦ σ., καὶ βλέπε τὸν ἐν τῇ διανοίᾳ σου καθήμενον δικαστήν* id.*hom.9.3 in 2Cor.*(10.502E); but without power to absolve *τότε ἐρχόμεθα ἐπὶ δέησιν, ὅταν ὁ δικαστὴς ἡμῖν μὴ ἀφῇ ὁ ἔνδον, τὸ σ. λέγω τὸ ἡμῖν ἐγκαθήμενον. οὐδὲ γὰρ ἐξουσίαν ἔχει τοῦ ἀφιέναι* id.*exp.in Ps.*142:1(5.448C); *εἶχε γὰρ ἕκαστος κριτὴν ἀδέκαστον τὴν ἰδίαν σ.* Nil.*exerc.*5(M.79.724B); **4.** as teacher *τὸ σ. διδάσκει* Gr.Naz.*or.*16.5(M.35.941A); *ἀπὸ τοῦ τῇ φύσει τῇ ἀνθρωπίνῃ ἐγκειμένου τῷ σ. διδασκάλου ὁδηγούμενος* Chrys.*hom.52.4 in Gen.*(4.512D); *εἶχε γὰρ τὸν κατὰ φύσιν διδάσκαλον ἐρρωμένον, τὸ ἴδιον σ.* Pall.*h.Laus.*4(p.19.25; M.34.1017A); **5.** as accusing and condemning *μὴ τὰ αὐτὰ παθεῖν βουλομένους ἅπερ αὐτοὶ τοὺς ἄλλους διατίθεσι, καὶ ἐν σ. ἐχθραῖς ταῦτα ὀνειδίζοντας ἀλλήλοις ἅπερ ἐργάζονται* Just.*dial.*93.2(M.6.697B); *ἡ δυσωπία ἡ πρὸς ἑαυτὴν τῆς ψυχῆς ἐκ συνειδήσεως* Clem.*str.*4.6(p.265.9; M.8.1249A); *ὁ...δεσπότης...διαπλάττων τὸν ἄνθρωπον, τὸ σ. αὐτῷ ἐνέθετο κατήγορον ἀδιάλειπτον* Chrys. *hom.17.1 in Gen.*(4.134C); *ἐνόει μοι...τοῦ σ. τὴν κατηγορίαν, καὶ ὅπως ὠθούμενος...ὑπὸ τῆς σ. οὐκ ἔστη μέχρι τοῦ εἰπεῖν 'οὐ γινώσκω' ib. 19.2*(164D); *γυμνὸς δὲ ἑστηκε...ὁ κατήγορος, τοῦ σ. δημίου τάξιν ἐπέχοντος* id.*ep.*7.2(3.585E); Rom.Mel.(*AS* 1 p.147); *βλέπε μὴ πρὸ καιροῦ κατακρίνῃ σε ἡ σ. σου* Jo.Jej.*poenit.conl.virg.*(M.88.1969C); **6.** other functions *διὰ τί δὲ καλεῖ τὴν σ. ἀντίδικον;...ἐπειδὴ αὕτη ἀντίκειται πάντοτε τῷ θελήματι ἡμῶν τῷ κακῷ* Dor.*doct.*3.1(M.88. 1653C); *θέλει γάρ τις φυλάξαι συνείδησιν πρὸς τὸν θεὸν καὶ τὸν πλησίον, καὶ πρὸς τὰς ὕλας. καὶ πρὸς μὲν τὸν θεόν, ἵνα μὴ καταφρονῇ τῶν ἐντολῶν αὐτοῦ...ἡ δὲ πρὸς τὸν πλησίον ἐστίν, ἵνα μὴ ποιῇ τις τίποτε... εἰς ὃ εἶδεν ὅτι θλίβει ἢ πλήσσει τὸν πλησίον...τὸ δὲ πρὸς τὰς ὕλας φυλάξαι ἐστίν, ἵνα μὴ κακῶς κέχρηταί τις πράγματι ib.*3.3(1656B,C); *τὸ σ. σοι ἔσοπτρον τῆς ὑποταγῆς ἔστω* Jo.Clim.*scal.*4(M.88.712B); **7.** functions varying acc. circumstances *ἀεὶ...ἡμᾶς κεντεῖ τῶν ἁμαρτημάτων τὸ σ., μάλιστα δὲ κατ' ἐκείνην τὴν ὥραν, ὅταν μέλλωμεν ἐντεῦθεν ἀπάγεσθαι πρὸς...τὸ φοβερὸν δικαστήριον* Chrys.*Laz.*2.2(1.729D); *ὅρα σοφίαν θεοῦ. οὔτε διηνεκῆ τὴν κατηγορίαν ἐποίησεν εἶναι τοῦ σ. (οὐ γὰρ ἂν ἠνέγκαμεν τὸ φορτίον, συνεχῶς ἐγκαλούμενοι) οὔτε οὕτως ἀσθενῆ, ὡς ἐκ πρώτης καὶ δευτέρας ἀπαγορεῦσαι παραινέσεως. εἰ μὲν γὰρ καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ἔμελλεν ἡμᾶς κεντεῖν, κἂν ἀπεπνίγημεν ἀπὸ τῆς ἀθυμίας· εἰ*

δὲ ἅπαξ καὶ δεύτερον ὑπομνῆσαν ἀπέστη τῆς ἐπιτιμήσεως, οὐκ ἂν πολλὴν ἐκαρπωσάμεθα τὴν ὠφέλειαν *ib.*4.5(758B); ἀεὶ...κεντεῖται τὸ σ., μάλιστα δὲ ὅταν περὶ τῆς κρίσεως διαλεγώμεθα Jo.Jej.*poenit.cont. virg.*(M.88.1968D); **8.** in rel. to conscience of others, exeg. 1Cor. 10:25-29 'διὰ τὴν σ.' οὖν ἀφεκτέον ὧν ἀφεκτέον. 'σ. δὲ λέγω οὐχὶ τὴν ἑαυτοῦ', γνωστικὴ γάρ, 'ἀλλὰ τὴν τοῦ ἑτέρου', ἵνα μὴ κακῶς οἰκοδομηθῇ ἀμαθίᾳ μιμούμενος ὃ μὴ γινώσκει, καταφρονητὴς ἀντὶ μεγαλόφρονος γινόμενος Clem.*str.*4.15(p.291.26ff.; M.8.1305A); cf.*ib.*4.7(p.273.12; 1265B); ref. scandal given to Nestorians by term θεοτόκος: μάτην ἡμεῖς...δῆθεν ἀκριβείας περιττῆς ἕνεκα πρὸς αἱρετικὴν κακοδοξίαν μόνον βλεπούσης τὰς σ. τῶν ἀδελφῶν εἰς οὐδὲν δέον πληττομένας περιορῶμεν Jo.Ant.*ep.Nest.*4(p.95.22; M.77.1456A).

B. of bad conscience; **1.** causes; **a.** sin in gen. ἐπὶ τῷ καθικέσθαι διανοίας τοῦ τὴν σ. μεμολυσμένου ἐπί τινι ἁμαρτίᾳ Or.*hom.*6.2 *in Jer.* (p.49.2; M.13.325A); Chrys.*hom.*18.1 *in 1Cor.*(10.151E); **b.** specific sins ἡ σ. μου συνέχει με περὶ τῆς ἀσεβείας μου *T.Reub.*4.3; ὁ χωρὶς ἐπισκόπου καὶ πρεσβυτερίου καὶ διακόνων πράσσων τι, οὗτος οὐ καθαρός ἐστιν τῇ σ. Ign.*Trall.*7.2; τὴν θεόθεν ἤκουσαν σ. ἀπιστίᾳ κατεμίαναν Clem.*str.*2.6(p.129.1; M.8.965A); (Sabellian) heresy οὗ τῷ ὄρῳ ἀρεσκόμενοι πολλοὶ συνείδησιν πεπληγότες Hipp.*haer.*9.12(p.249.18; M.16.3386B); μηδὲ συνείδησιν ἐπὶ ἀνόμῳ κέρδει μολύνειν *ib.*9.23(p.259.2; 3402A); **c.** sin of Adam and Eve, Thdt.*qu.*26 *in Gen.*(1.41); *ib.* 33(1.46); **2.** its torments ψυχὴν...περιφέροντα σ. βαρούμενον ὑπὲρ 'φορτίον βαρὺ' καὶ βαρούμενον ὑπὸ τοῦ τῆς ἀρνήσεως πτώματος Or. *mart.*39(p.37.8; M.11.616A); ἁμαρτίαν δ' οὐ δεδοίκαμεν, ὅπερ ἐστὶν ἀληθῶς φοβερόν, καὶ πυρὸς κατεσθίει τὸ σ. Chrys.*stat.*5.3(2.64C); οὐδὲ ἡνίκα καθεύδωσι, ταύτης ἀπαλλάττονται τῆς ἀγωνίας, τοῦ πονηροῦ σ. ὀνείρατα πολλῶν γέμοντα φόβων ἀναπλάττοντος αὐτοῖς id.*hom.*12.7 *in Rom.*(9.553B); id.*hom.*5.3 *in 2Tim.*(11.689D); **3.** its effects; **a.** unbelief τὸ μὴ πιστεύειν ἀπὸ πονηρᾶς γίνεσθαι σ. Chrys.*hom.*18.3 *in Jo.* (8.163B); πολλῶν γὰρ πεπληρωμένον τὸ σ. πονηριῶν, δεδοικὸς...τὴν μέλλουσαν ἀντίδοσιν, ἐπειδὴ μὴ βούλεται ἀπὸ τῆς μεταβολῆς τῆς ἐπὶ τὰ κάλλιστα τὴν παραμυθίαν πορίζεσθαι, ἀπὸ τῆς ἀπιστίας ἀναπαύεσθαι βούλεται id.*hom.*17.3 *in 1Cor.*(10.149C); id.*hom.*9.3 *in Rom.*(9.514B); **b.** fear of death, id.*stat.*6.3(2.77C); ‡Pall.*h.mon.*11.15(p.57.22; M. 65.452D); **c.** other consequences βαρύτητα τὴν τῆς σ. εἰς ἀπόγνωσιν ὤθησιν μετ' ἐπιτάσεώς φησιν Ath.*exp.Ps.*37:5(M.27.184C); οὐ τολμήσει καταφρονήσας εἰς ἐκκλησίαν θεοῦ εἰσελθεῖν, πλησάσμενος τῇ σ. αὐτοῦ *Const.App.*2.10.3; **d.** its external expression εἰ μὴ τῷ χρώματι τοῦ προσώπου δείξουσι τὴν συκοφαντίαν· τοῦτο γὰρ τοῦ σ. ἔλεγχός ἐστι... οὕτω τοὺς μὲν ἐπιβουλεύσαντας τῷ Ἰωσὴφ ἡ σ. ἤλεγξε Ath.*apol.Const.* 12(M.25.609B,C); κατηφὲς...ἀεὶ τῶν δυσσεβῶν τὸ πρόσωπον...τοῖς τοῦ σ. ἐλέγχοις ἀχθοφοροῦντος τοῦ νοῦ Cyr.*Is.*4.3(2.654C).

C. the hardened conscience, cf.1Tim.4:2 εἴ τις ἐπίσκοπος...ἐν ταῖς ἡμέραις τῶν ἑορτῶν οὐ μεταλαμβάνει κρεῶν καὶ οἴνου, καθαιρείσθω ὡς κεκαυτηριασμένος τῆς σ. *Can.App.*53; τὸ δὲ σ. κεκαυτηριασμένοι, τουτέστι, πονηροῦ ὄντες βίου Chrys.*hom.*12.1 *in 1Tim.*(11.610C); ὅταν γὰρ ἡ σ. λέγει ἡμῖν, ποιῆσαι τόδε ἔτι, καὶ καταφρονῶμεν, καὶ πάλιν λέγει, καὶ οὐ ποιῶμεν, ἀλλὰ μένωμεν καταπατοῦντες αὐτήν, λοιπὸν καταχωνύομεν αὐτήν, καὶ οὐκ ἔτι δύναται τρανῶς λαλεῖν ἡμῖν...οὕτως εὑρισκόμεθα μὴ αἰσθανόμενοι ὧν λέγει ἡμῖν ἡ σ. ἡμῶν, ὡς νομίζειν ἡμᾶς σχεδὸν μὴ ἔχειν αὐτήν. οὐδεὶς δέ ἐστιν ὁ μὴ ἔχων αὐτήν Dor.*doct.*3.1(M.88. 1653A,B); πρόσχωμεν, μήπως οὐκ ἐκ καθαρότητος, ἀλλὰ περικακῆσαν ὥσπερ, τοῦ ἐλέγχειν τὸ σ. ἐπαύσατο Jo.Clim.*scal.*5(M.88.780B).

D. the purification of conscience; **1.** by baptism συνείδησις δέ ἐστι λόγος καὶ ἔλεγχος τοῦ ἡμετέρου φύλακος τοῦ ἐκ βαπτίσματος παραδοθέντος ἡμῖν. διόπερ οὐδὲ τοσοῦτον τοὺς ἀφωτίστους εὑρίσκομεν τυπτομένους ἐπὶ ταῖς κακαῖς πράξεσιν ἐν τῇ ἑαυτῶν ψυχῇ· ἀλλ' ἀμυδρῶς πως Jo.Clim.*scal.*26(M.88.1092A); τὸ μυστικὸν ὕδωρ ἐποιεῖτο τῆς σ. κάθαρσιν Max.*qu.Thal.*6(M.90.281B); **2.** through confession δεῖ...καὶ περὶ τῶν ἀκουσίων πταισμάτων ἐξομολόγησιν σύντονον προσφέρειν τῷ δεσπότῃ...ἄχρις οὗ πληροφορηθῇ ἡ σ. ἡμῶν ἐν δακρύῳ ἀγάπης...προσέχειν δὲ δεῖ ἀδιαλείπτως τῇ αἰσθήσει τῆς ἐξομολογήσεως, μήπου ἄρα ἡ σ. ἡμῶν ψεύσηται ἑαυτήν...ὅτι πολὺ κρείττων ἐστὶν ἡ τοῦ θεοῦ κρίσις τῆς ἡμετέρας σ. Diad.*perf.*100(p.148.15ff.); and repentance, Chrys.*stat.*18.3(2.186B).

E. contrast bet. good and bad conscience καθάπερ γὰρ τὸ πονηρὸν σ. ῥυπαροὺς ἡμᾶς ἐργάζεται, καὶ εἰς ἀπόγνωσιν ἡμᾶς ἐμβάλλει· οὕτως ἂν ἐδαφίσωμεν ἡμῶν τὰς ἁμαρτίας, ἂν ἐκκαθάρωμεν τὴν πονηρίαν, δυνησόμεθα διαβλέψαι εἰς τὸν πνευματικὸν πόθον, καὶ μετὰ πολλῆς τῆς προθυμίας καλεῖν τὸν θεόν Chrys.*exp.in Ps.*41:2(5.138A); οὐδὲν γὰρ οὕτω βαρεῖ ψυχήν...καὶ πιέζει κάτω, ὡς ἁμαρτίας συνειδός· οὐδὲν οὕτω πτεροῖ καὶ μετέωρον ποιεῖ, ὡς δικαιοσύνης κτῆσις id.*hom.* 38.3 *in Mt.*(7.429C); οὐδὲν γὰρ σ. κεντουμένης μνήμῃ πράξεως πονηρᾶς ἀσθενέστερον, πάντα ἡγουμένη ἐχθρὰ...καὶ πρὸς ἄμυναν ἐπιτήδεια, δι' ἣν ἔνδον ἔχει κολάσεως ἀεὶ προσδοκίαν ἐπὶ τοῖς πεπραγμένοις κακοῖς, κἂν μηδεὶς ἐλέγχειν δύνηται...ἀλλ' οὐχ ἡ καθαρεύουσα πονηρίας οὕτω· πολὺ γὰρ αὕτη τὸ πεποιθὸς ἔχει οὐδαμόθεν ὁρῶσα καταγνώσεως εὔλογον αἰτίαν...τὸ ἀνυπαίτιον ἔχουσα παρρησίας ἐφόδιον ‡Nil.*perist.*12.8(M.79. 953C).

F. pure conscience of Christians; **1.** in gen., *1Clem.*1.3; ἕκαστος ὑμῶν...ἐν ἀγαθῇ σ. ὑπάρχων *ib.*41.1; Polyc.*ep.*5.3; **2.** cause ἡ δὲ ἀγαθὴ σ. ἀπὸ βίου καὶ πράξεων ὀρθῶν Chrys.*hom.*1 *in 2Cor.*4:13(3. 269A); **3.** effects; **a.** removal of fear of death, Clem.*str.*7.12(p.56. 25; M.9.509B); Hipp.*haer.*9.26(p.260.24; M.16.3403C); **b.** joy and consolation, Ath.*exp.Ps.*36:8(M.27.180A); οὐδὲν γὰρ ἡμᾶς οὕτως εὐφραίνειν εἴωθεν, ὡς σ. χρηστόν Chrys.*subintr.*11(1.245D); εὐθυμίαν γὰρ καὶ χαρὰν οὐκ ἀρχῆς μέγεθος, οὐ χρημάτων πλῆθος...οὐκ ἄλλο τι τῶν ἀνθρωπίνων ποιεῖν εἴωθεν, ἀλλ' ἢ κατόρθωμα...πνευματικόν, καὶ σ. ἀγαθόν id.*hom.*1.4 *in Rom.*(9.435D); εἰ γὰρ ἀπὸ τοῦ σ. γένοιτο χαρά... οὐδὲν λείπει εἰς εὐθυμίαν ὑμῖν καὶ παράκλησιν· οὐδὲν γὰρ οὕτω ποιεῖ παράκλησιν, ὡς καθαρὸν σ. id.*hom.*30.1 *in 2Cor.*(10.649Ef.); exeg. 2Cor.1:12 'ἡ γὰρ καύχησις ἡμῶν...τὸ μαρτύριον τῆς σ. ἡμῶν'· τουτέστιν, ἡ σ. ἡμῶν, οὐκ ἔχουσα ἡμᾶς καταδικάζειν...κἂν γὰρ μυρία πάσχωμεν δεινά,...ἀρκεῖ εἰς παραμυθίαν ἡμῖν, μᾶλλον δὲ οὐ μόνον εἰς παραμυθίαν, ἀλλὰ καὶ εἰς τὸ στεφανοῦσθαι, τὸ σ. καθαρὸν ὄν, καὶ μαρτυροῦν ἡμῖν, ὅτι δι' οὐδὲν πονηρόν, ἀλλὰ διὰ τὸ τῷ θεῷ δοκοῦν, ταῦτα πάσχομεν *ib.*3.1(441Ef.); **c.** confidence and hope, Or.*Jo.*20.31 (25; p.368.25; M.14.645A); οὐδὲν γὰρ οὕτω χρηστὰ ἐλπίζειν παρασκευάζει, ὡς ἀγαθὸν σ. Chrys.*hom.*9.2 *in Rom.*(9.514A); ὥστε μὴ πλέον δυνηθῆναι τὴν ὕβριν ἐν τῷ συντρίβειν, ἢ τὸ ἀγαθὸν σ. ἐν τῷ ἐλπίζειν...καὶ ἔστιν ὡς ἀληθῶς βέβαιον πρᾶγμα τὸ σ. εἰς πάντα τὰ ἀδίκως συμπίπτοντα...παραμυθείτω τὴν ἀγάπην σου αὐτὸ τὸ σ., ἄδελφε τιμιώτατε, ὅπερ ἐν ταῖς θλίψεσιν ἔχει τὴν παραμυθίαν τῆς ἀρετῆς Innoc.*ep.Chrys.*(M.52.537); **d.** also risk of pride οὐδὲν γὰρ οὕτως ἀπόνοιαν τίκτειν εἴωθεν, ὡς σ. ἀγαθόν, ἐὰν μὴ προσέχωμεν Chrys.*hom.*3.1 *in Is.*6:1(6.112D).

G. God and conscience; **1.** in gen. οὐχὶ καὶ αἱ προαιρέσεις φθάνουσι πρὸς τὸν θεὸν προΐεῖσαι τὴν φωνὴν τὴν ἑαυτῶν; οὐχὶ δὲ καὶ ὑπὸ τῆς σ. πορθμεύονται; Clem.*str.*7.7(p.29.10; M.9.453B); θεὸς μαρτὺς τοῦ ἡμετέρου σ. Or.*Cels.*1.46(p.96.16; M.11.745B); τῶν ἀμέμπτων πατὴρ ...διὰ συνειδήσεως ἐρευνᾷς ἑκάστου τὴν γνώμην *Const.App.*7.33.2; μετὰ ἀσφαλείας...τὸ μαρτύριον τῆς σ. ἡμῶν κατεργάζεσθαι ἐνώπιον τοῦ θεοῦ Diad.*perf.*94(p.138.26); ref. grace ἡ μὲν χάρις...πρῶτον μὲν θεοπρεπῶς διεγείρει τὴν σ. Marc.Er.*opusc.*2.56(M.65.937D); **2.** pure conscience needed for worship in gen. μετὰ καθαροῦ σ. ἐπιτελεῖν τὴν ἡμέραν τῆς...ἀναστάσεως Gr.Ant.*mul.ung.*12(M.88. 1865A); esp. for Communion ἁγίασον...διακόνους, ἵνα...δυνηθῶσιν καθαρᾷ σ. λειτουργεῖν καὶ παραστῆναι τῷ ἁγίῳ σώματι καὶ τῷ ἁγίῳ αἵματι Serap.*euch.*11.3; cf.*ib.*27.2; exeg. 1Cor.11:28 σφόδρα φοβερῶς περὶ αὐτῆς διελέχθη, τὸ κεφάλαιον τῶν ἀγαθῶν κατασκευάζων, τὸ μετὰ καθαροῦ προσιέναι σ. αὐτοῖς...οὐ γὰρ ὅπως παρασκευασμένοι καὶ τὰ κακὰ ἑαυτῶν ἐκκαθάραντες...προσέλθοιμεν σκοποῦμεν, ἀλλ' ὅπως ἐν ἑορταῖς, καὶ ἡνίκα ἂν ἅπαντες. ἀλλ' οὐχ οὕτως ὁ Παῦλος ἐκέλευσεν, ἀλλ' ἕνα καιρὸν οἷδε προσόδου καὶ κοινωνίας, τοῦ σ. τὴν καθαρότητα Chrys.*hom.*28.1 *in 1Cor.*(10.250C,D); χρόνος προσόδου ἔστω ἡμῖν τὸ καθαρὸν σ. id.*hom.*6.3 *in 1Tim.*(11.577D); id.*hom.*89.3 *in Mt.*(7. 835B); συγχωρῆσαι δὲ ἕκαστον τῷ ἰδίῳ σ. τῶν μυστηρίων μετέχειν Socr.*h.e.*5.19.9(M.67.617A); cf.*Lit.Chrys.*(p.390.25); in prayer before Communion ὁ θεὸς...ἀνάκρινον τὰς σ. καὶ ἔκβαλον ἀφ' ἡμῶν πᾶσαν ἔννοιαν πονηράν *Lit.Jac.*(p.224.7); ποίῳ γὰρ σ. ... προσέρχῃ τοῖς μυστηρίοις;...ἔχων ἔνδον τὸ σὸν σ. κατήγορον Anast.S.*synax.*(M.89. 832C).

H. in spiritual life; **1.** examination of conscience; **a.** prescribed ἕκαστος ἡμῶν ἐξετασάτω τὴν σ. ἑαυτοῦ Or.*hom.*20.9 *in Jer.*(p.192. 10; M.13.521D); for monks τῆς ἡμέρας παρελθούσης...πρὸ τῆς ἀναπαύσεως ἀνακρίνεσθαι προσήκει τὸ σ. ἑκάστου ὑπὸ τῆς ἰδίας καρδίας Bas.*ascet.*1.5(2.323C; M.31.881A); for catechumens ὧδε οὖν ζητεῖται...ἵνα τις ἐξ ὑμῶν πιστὸς ἐκ συνειδήσεως εὑρεθῇ. ἄνδρα γὰρ πιστὸν ἔργον ἐστὶν εὑρεῖν...οὐχ ἵνα ἐμοὶ δείξῃς σου τὴν σ. ... ἀλλ' ἵνα τῷ θεῷ δείξῃς τῆς πίστεως τὸ ἄδολον Cyr.H.*catech.*5.2; εἰς τὸ σ. εἰσελθὼν τὸ σεαυτοῦ, ἀναλογίσαι τὰ πεπραγμένα σοι παρὰ πᾶσαν τὴν ζωήν Chrys.*hom.in Mt.*18:23(3.6D); ἕκαστος...εἰς τὸ ἑαυτοῦ συνεισελθών, καὶ ἀναλογιζόμενος τὰ πεπλημμελημένα ἀπαιτείτω τὰς εὐθύνας ἑαυτὸν ἀκριβεῖς id.*hom.*5.6 *in Rom.*(9.469B); **b.** its method τὸ σ. τὸ ἡμέτερον καλέσαντες ποιήσωμεν αὐτῷ λόγον τῶν ῥημάτων, τῶν πραγμάτων, τῶν ἐνθυμήσεων· ἐξετάσωμεν, τί μὲν εἰς δέον ἀνήλωται, τί δὲ ἐπὶ βλάβῃ τῇ ἡμετέρᾳ· ποῖος λόγος ἐδαπανήθη κακῶς, εἰς λοιδορίας, εἰς αἰσχρολογίας, εἰς ὕβρεις· ποῖον ἐνδύμημα τὸν ὀφθαλμὸν εἰς ἀκολασίαν ἐκίνησε· τίς λογισμὸς ἐπὶ βλάβῃ τῇ ἡμετέρᾳ εἰς ἔργον ἐξηνέχθη, ἢ διὰ χειρῶν, ἢ διὰ γλώττης, ἢ διὰ τῶν ὀμμάτων αὐτῶν id.*gyal.*4(2.665A); ἐν τῷ καιρῷ τῷ μετὰ τὰ δεῖπνα...ἡνίκα ἂν μέλλητε κατακλίνεσθαι,

καὶ μηδενὸς παρόντος πολλὴ ἡ ἡσυχία...τὸ δικαστήριον ἐγειρον τοῦ σ., εὐθύνας ἀπαίτησον αὐτό, καὶ ἃ μεθ' ἡμέραν ἐβουλεύσω πονηρά, ἢ δόλους ῥάπτων, ἢ τὸν πλησίον ὑποσκελίζων...ταῦτα ἐν τῷ καιρῷ τῆς ἡσυχίας ἐκείνης εἰς μέσον ἀγαγών, καὶ τὸ σ. ἐπιστήσας τοῖς ἀτόποις τούτοις λογισμοῖς, κατάξαινε αὐτούς, καὶ δίκην ἀπαίτει id.*exp.in Ps.*4:5(5.18D); to be done daily, *ib.*(19A); esp. in Lent ἡμᾶς δίκαιον...μὴ ἁπλῶς τὰς ἑβδομάδας τῶν νηστειῶν παρατρέχειν, ἀλλὰ διερευνᾶσθαι τὴν ἑαυτῶν σ., καὶ τὸν λογισμὸν βασανίζειν, καὶ σκοπεῖν τί μὲν ἐν ταύτῃ τῇ ἑβδομάδι ἡμῖν κατώρθωται, τί δὲ ἐν τῇ ἑτέρᾳ, καὶ τίνα προσθήκην ἐδεξάμεθα εἰς τὴν ἐπιοῦσαν, καὶ ποῖον τῶν ἐν ἡμῖν παθῶν διωρθώσαμεν id.*hom.11.2 in Gen.*(4.84E); id.*hom.42.3 in Mt.*(7.455C); **2.** purity of conscience necessary for prayer προσευχὴ δὲ ἐκ καλῆς σ. ἐκ θανάτου ῥύεται *2Clem.*16.4; οὐ προσήξεις ἐπὶ προσευχὴν ἐν σ. πονηρᾷ *Did.*4.14; ποῖον γὰρ θεῷ δῶρον ἀπὸ τοῦ λογικοῦ μεῖζον ἀναπέμπεσθαι δύναται εὐώδους λόγου εὐχῆς, προσφερομένης ἀπὸ συνειδότος μὴ ἔχοντος δυσωδες ἀπὸ τῆς ἁμαρτίας; Or.*or.*2.2(p.300.14; M.11.420A); προσευχαὶ ἀπὸ σ. καθαρᾶς id.*Cels.*8.17(p.234.20; M.11.1544A); Cyr.H.*catech.*22.9; σ. ἀγαθὴ διὰ προσευχῆς εὑρίσκεται, καὶ προσευχὴ καθαρὰ διὰ σ.· θάτερον γὰρ θατέρου κατὰ φύσιν προσδέεται Marc.Er.*opusc.*1.199(M.65.929B); ὅταν γὰρ ἡ σ. ἡμῶν ἑαυτὴν τοῖς ἐλέγχοις ταράττοι, οὐκέτι τῆς ὁσμῆς ὁ νοῦς τῶν ὑπερκοσμίων ἀγαθῶν παραχωρεῖται αἰσθάνεσθαι, ἀλλ' εὐθὺς εἰς ἀμφιβολίας μερίζεται, θερμῇ μὲν κινήσει διὰ τὴν προλαβοῦσαν πεῖραν τῆς πίστεως ὀρεγόμενος, μηκέτι δὲ αὐτῆς ἐπιλαβέσθαι ἐν αἰσθήσει τῆς καρδίας διὰ τῆς ἀγάπης δυνάμενος διὰ τοὺς νυγμούς...τῆς ἐλεγχούσης σ. Diad.*perf.*23(p.24.20,27); ἡ μεσότης τῆς ἐνεργείας τῆς ἁγίας γνώσεως οὐ μικρῶς ἡμᾶς λυπεῖσθαι παρασκευάζει, ὅταν ἐκ παροξυσμοῦ τινος ὑβρίσαντές τινα ἐχθρὸν αὐτὸν ἑαυτῶν κατασκευάσωμεν. διόπερ οὐδέποτε ἐνδίδωσι νύττουσα τὴν σ. ἡμῶν, ἕως ὅτε...εἰς τὴν πάλαι ἐπαναγάγωμεν τὸν ὑβρισθέντα διάθεσιν *ib.*92(p.132.10).

I. ref. eternal punishment, exeg. Is.66:24 τὸ κριτήριον τῆς οἰκείας αὐτῶν σ., ὃ δίκην σκώληκος ἀτελευτήτου ἐν αὐτοῖς ἐνειλεῖται Thdr.Heracl.*Is.*66:24(M.18.1377D); σκώληξ ἐκεῖθεν ἐσθίων ἀιδίως· μέσον συνειδός, ἄγραφος κατήγορος Gr.Naz.*carm.*I.2.8.196(M.37.663A); ὅτε ἡ σ. ἐπιστρέφειν εἰωθυῖα πρὸς πεπλημμεληκότα τρέμει τὴν ...κόλασιν ‡Nil.*perist.*7.1(M.79.860B); Dor.*doct.*12.3(M.88.1753A); σκώληκα δέ φησιν ἀτελεύτητον τὴν ἐν τῷ μετανοεῖν τῶν ἰδίων ἁμαρτημάτων σ. Proc.G.*Is.*66:24(M.87.2716D); διὰ τὴν τῶν ἔργων ἀτοπίαν τὸ σκότος ὑποδέξεται...καὶ ὁ ἀκοίμητος σκώληξ...καὶ τὸ πάντων βαρύτατον, ἡ ἐν τῷ σ. αἰσχύνη πέρας οὐκ ἔχουσα Max.*ep.*4(M.91.641B).

J. divinized in Stoicism θεὸν εἶναι μόνον φασὶ τὴν ἑκάστου σ. Thphl.Ant.*Autol.*2.4(M.6.1052A).

συνειλ-έω, *crowd together*; *bind together*; pass., met., *be bound up with* τὴν οἰκείαν ἐν τῇ τοῦ ἀγαθοῦ θεοῦ μονῇ ταυτότητα ~ουμένην διὰ παντός Max.*schol.c.h.*15.4(M.4.109D).

***συνειλημμένως,** *in combination* ἐν αὐτῇ [sc. τῇ αὐτοϋπεραγαθότητι] ...τὰ ὄντα πάντα...καὶ τοῦτο ἀσχέτως, καὶ σ., καὶ ἑνιαίως Dion.Ar.*d.n.*5.6(M.3.820D).

***συνειλοχώς,** v. συλλαγχάνω.

σύνειμι, (*sum*), **1.** *exist with* or *alongside, coexist*; **a.** in gen. συνυπάρχον ὡς χρόα σώματι οὗ ἄνευ οὐκ ἔστιν (οὐχ ὡς μέρους ὄντος, ἀλλ' ὡς κατ' ἀνάγκην συνόντος παρακολουθήματος) Athenag.*leg.*24.2 (M.6.945B); τὸ δὲ ὑλικόν, μέχρι σύνεστι τῷ κρείττονι, μένει Clem.*ecl.*25(p.143.32; M.9.709C); of constituent parts of man ἄνθρωπος...οὐ μέρει μέρος, ἀλλὰ ὅλῳ ὅλος σ. id.*exc.Thdot.*51(p.123.18; M.9.684A); of soul and body in man οὐδὲ σ. ἀεὶ τῇ ψυχῇ τὸ σῶμα Just.*dial.*6.2(M.6.489B); συνῆν...ἐξ ἀρχῆς αὐταῖς καὶ τὸ σῶμα Meth.*res.*1.54(p.311.5; M.41.1145B); in the life to come τὸ σῶμα ἐν τῇ κατὰ τοὺς αἰῶνας διαγωγῇ...συνέσεσθαι τῇ ψυχῇ *ib.*1.32(p.269.12; M.18.268B); **b.** in eternity with God; **i.** ref. Creation πότερον ἔκ τινος συνόντος ἀεὶ τῷ θεῷ, ἢ ἐξ αὐτοῦ καὶ μόνου id.*arbitr.*2(p.149.24; M.18.244D); τὰ πάντα ...κεκτίσθαι...οὔτε σ. τῷ θεῷ, οὔτε προϋπάρξαντα Epiph.*exp.fid.*14 (p.514.23; M.42.809A); **ii.** Trin., ref. Gen.3:12 ἀριθμὸν τῶν ἀλλήλοις συνόντων, καὶ τὸ ἐλάχιστον δύο, μεμήνυκεν Just.*dial.*62.3(M.6.617B); of Son's pre-existence with Father, *ib.*62.4(617C); ὁ...υἱὸς...καὶ σ. καὶ γεννώμενος id.*2apol.*6.3(M.6.453A); acc. Marcellus μόνον εἶναι λόγον φάσκων...τῷ θεῷ...σ. καὶ ἡνωμένον, οἷος ἂν εἴη καὶ ὁ ἐν ἀνθρώπῳ λόγος Eus.*Marcell.*2.1(p.31.31; M.24.777A); acc. Eus. οὐ πὸν αὐτὸν ὄντα τῷ πατρί, καθ' ἑαυτὸν δὲ ὄντα...καὶ ἀληθῶς υἱὸν σ. id.*e.th.*1.8(p.66.20; M.24.837B); ὁ...υἱὸς ἦν πρὸς...τὸν θεὸν σ. καὶ συμπαρὼν αὐτῷ ἀεὶ καὶ πάντοτε *ib.*2.14(p.116.35; 932A); σ. ... καὶ παρῆν ⟨αὐ⟩τῷ πρὶν καὶ γενέσθαι τὸν οὐρανὸν *ib.*3.3(p.154.23; 997B); and Ath. εἰ...οὐκ ἀιδίως σ. ὁ λόγος τῷ πατρί, οὐκ ἔστιν ἡ τριὰς ἀίδιος Ath.*Ar.*1.17(M.26.48A); in creeds πιστεύειν...εἰς ἕνα υἱὸν...συνόντα τῷ γεγεννηκότι αὐτὸν πατρί *Symb.Ant.*(341)1 ap.Ath.*syn.*22(p.249.2; M.26.721A); in later writings ὁ θεὸς λόγος...υἱὸς καὶ θεὸς καὶ συνὼν τῷ πατρί Nest.*fr.*C 10(p.275.2)ap.Cyr.*Nest.*2.8(p.44.8; συναινῶν 6^1.47E); ἐκ τῆς ἡμετέρας οὐσίας σε ἐξεγέννησα, συνόντα καὶ συνυπάρχοντα Cosm.Ind.*top.*5(M.88.256B); **iii.** Christol. ἡ σοφία...ἀπαθὴς...κἂν τεμνομένῳ συνῆν...σώματι Meth.*Porph.*2(p.506.4; M.18.404B); ὁ...τὸ πάθος ὑπομείνας...ἐν τῇ σαρκὶ...συνούσης αὐτῷ τῆς θεότητος Epiph.*exp.fid.*17(p.517.19; M.42.813C); of the divinity with the glorified body τῆς θεότητος συνούσης τῷ...σώματι *ib.*(p.518.13, v.l. σύνηνωμένης 816B); denied by Marcellus πῶς ἔτι τὴν τοῦ δούλου μορφὴν...σ. τῷ λόγῳ δυνατὸν γένοιτ' ἄν; Marcell.*fr.*104 ap.Eus.*Marcell.*2.4(p.54.26; M.24.816C); or explained away ἆρα μὴ ὢν [sc. ὁ λόγος] ἐν τῷ θεῷ, ὅτε τῇ σαρκὶ συνῆν;... δραστικῇ γὰρ ἐνεργείᾳ μόνῃ φησὶ τῇ σαρκὶ σ. Eus.*Marcell.*2.4(p.57.7, 14; 820C,821A); Christol., usage condemned εἴ τις...τὸν θεὸν λόγον σ. τῷ Χριστῷ λέγει γενομένῳ ἐκ γυναικὸς...ἀ. ἔ. Justn.*conf.anath.*3 (p.90.25; M.86.1015A) = CCP(553)*anath.*3(p.168); **2.** *be with*; *be joined with*; ref. Christian unity τοῖς λειπομένοις πᾶσιν ἐπικουροῦμεν καὶ σ. ἀλλήλοις ἀεί Just.*1apol.*67.1(M.6.429B); ref. union with God πολλοὺς...καταγηράσκοντας ἀγάμους ἐλπίδι τοῦ μᾶλλον συνέσεσθαι τῷ θεῷ Athenag.*leg.*33.1(M.6.965A); ὁ γνωστικὸς...δι' εὐχῆς σ. σπεύδων τῷ θεῷ Clem.*str.*7.7(p.30.30; M.9.456C); ἵν' ᾖ σ. [sc. the angels] αὐτῷ καὶ ἀπολαύσωσι μακαριότητος, ἢ...κρίνωνται Meth.*res.*1.37 (p.278.15; M.41.1104B); μαθὼν καὶ σ. ... καὶ ἔπεσθαι θεῷ Gr.Thaum. *pan.Or.*15(p.34.11; M.10.1093D); of God with man ἐν πᾶσι μένειν καὶ ἑκάστῳ σ. Gr.Nyss.*or.catech.*34(p.127.8; M.45.85B); of baptismal grace, *ib.*(p.129.4; 85D); **3.** *be* or *become acquainted with* things τῶν νῦν ἀκουόντων...καὶ τοὺς ὕστερόν ποτε συνεσομένους τῷ λόγῳ Bas.*Eun.*1.3(1.211B; M.29.508B); *experience, find* εἰς ἀρρενωπότερον ἀνακτήσομαι, καὶ τοῦ λοιποῦ...ἀκλινεστέρῳ [sc. μοι] συνέσεσθε Synes. *ep.*56(M.66.1381D); **4.** *live with* or *together* οἱ δὲ ἐν...ἀθανασίᾳ σ. Just.*dial.*45.4(M.6.573A); Eus.*Marcell.*2.1(p.33.24; M.24.780C); of a man with his wife, Synes.*ep.*105(M.66.1485A); **5.** ref. states, *be in, live in* συνέσο γλυκείαις ἐλπίσιν *ib.*31(1360A).

συνείρω, 1. *combine* τά τε ὄντα τά τε μὴ ὄντα ἑαυτῷ σ. [sc. Marcellus] Eus.*Marcell.*1.4(p.27.33; M.24.769A); Christol., of union of natures μεσιτεύει...καταλλάττων ἡμᾶς τῷ θεῷ...καὶ σ. ὥσπερ εἰς ἕνωσιν τὰ...διενηνεγμένα Cyr.*synous.*5(p.483.5); **2.** ? for συναίρω *cast up* or *keep* accounts τὸν τελώνην...τῶν ἐκ τῆς πλεονεξίας χρημάτων τοὺς λόγους σ. Vict.*Mc.*2:14(p.288.11).

συνεισάγ-ω, *bring in together*; **1.** *introduce at the same time* or *together*, e.g. into a discourse συνεισήγετο...τὸ περὶ πνεύματος...ὅτι ἐστὶν ἐν τῇ αὐτῇ θεότητι †Apoll.*ep.Bas.*2(M.32.1108A); λανθανόντως ἑαυτὸν σ. Chrys.*hom.24.1 in Mt.*(7.299D); id.*hom.5.2 in Rom.*(9.463B); οὐσίας...οὐδὲ ὀνόματι μνήμη τοῖς ἄλλοις λόγοις συνεισήγετο Philost.*h.e.*4.8(M.65.521B); πῶς...~ετε πρώτῳ καὶ μόνῳ...θεῷ καὶ πατρὶ τὸν υἱόν; Cyr.*thes.*27(5^1.247B); **2.** *include*; hence *imply, involve at the same time* or *together* with τὴν ἐπέκεινα...ζωήν, ἥτις ἑαυτῇ σ. τὴν ἀνάστασιν Athenag.*res.*16(p.68.17; M.6.1008A); ἡ τοῦ ἑτέρου γνῶσις...σ. τὸ ἕτερον Gr.Naz.*or.*30.15(p.132.9; M.36.124B); τῆς...τῶν φύσεων δυάδος οὔσης νοερᾶς ἐξ ἀνάγκης καὶ θελημάτων αὐτῇ συνεισαχθήσεται δυάς Polem.*fr.*(Lietzmann p.276.17); ‡Ath.*dial. Trin.*2.22(M.28.1192A); of correlative terms συνεισάγεσθαι...ἀλλήλοις τὰ τοιαῦτα πέφυκε Max.*ep.*12(M.91.473A); ref. father and son as correlative terms, Bas.*Eun.*1.5(1.215A; M.29.517A); σ. [sc. πατήρ] τὸν υἱόν, οὐκ ἀλλοτριώσει, κατὰ...τὴν τῶν κλήσεων τούτων δύναμιν Gr. Naz.*or.*29.16(p.98.12; M.36.96A); ἡ τοῦ υἱοῦ προαγορία σ. ... τὴν τοῦ πατρὸς ὕπαρξιν Cyr.*thes.*12(5^1.112A); **3.** *contribute* ἐὰν μὴ ἡμεῖς εἰς τὸ ἀγαθόν τι σ. Or.*princ.*3.1.24(p.243.12; M.11.301B); μηδὲν διὰ δωρεᾶς ...τούτοις [sc. non-Catholics] σ. (tr. Lat. *conferant*) *Cod.Afr.*22; **4.** *bring* or *display* a quality τῶν προσιόντων...σ. τὴν πρόνοιαν Philost.*h.e.*9.4(M.65.569B); cf. συνεισακτέον; **5.** *bring in, introduce as spiritual companion* of the opposite sex (v. s. συνείσακτος) ὅσοι ὑπὸ τοῦ ~ειν ἑαυτοῖς γυναῖκας ἐξέπεσον, οἱ δ' ὑπωπτεύθησαν Malch.*ep.*ap. Eus.*h.e.*7.30.13(M.20.716A); μηδὲ ~άγῃς ἀρσένα κηδεμόνα Gr.Naz. *carm.*2.2(epigr.)18.2(M.38.92A).

***συνεισαγωγικός,** *each involving the other, correlative,* Max.*ep.*12 (M.91.472D).

***συνεισακτέον,** *one must bring* or *display*, e.g. a quality πολλὴν προσοχὴν σ. τῷ εὐλαβῶς ἐντυγχάνοντι...ταῖς θείαις βίβλοις Or.*princ.* 4.3.5(p.331.15; M.11.385B).

συνείσακτος, *brought in, introduced together*; applied to a virgin companion of a celibate man or conversely; freq. as subst., of a man ἄρσενα πάντ' ἀλέεινε, σ. δὲ μάλιστα Gr.Naz.*carm.*I.2.2.96(M.37.586A) = *ib.*2.2(epigr.)14.1(M.38.88A); of women σ. καὶ ἀγαπητὰς ἐπικαλουμένας Epiph.*haer.*78.11(p.461.31; M.42.716A); τοὺς ἔχοντας παρθένους σ. Chrys.*subintr.*tit.(1.228A); **1.** def., cf. σ. δέ φησι, τὰς ἑλομένας συνοικεῖν ἱερεῦσιν ἀζύγοις, τὰς πρὸς τὰς ἀναγκαίας χρείας αὐτοῖς διακονουμένας Matthaeus Monachus *schol.*CNic.(325)*can.*3(M. 119.1296C); εἰπόν τινες ἐπείσακτον ἢ σ. εἶναι τὴν ἀντὶ νομίμου γυναικὸς

συναχθεῖσαν, καὶ συνοικοῦσάν τινι πορνικῶς· ἄλλοι δὲ εἶπον εἶναι πᾶσαν γυναῖκα συνοικοῦσάν τινι ἀλλοτρίαν πάντως, κἂν ἀνύποπτός ἐστι Thdr.Bals.*schol.*CNic.(325)*can.*3(M.137.232B); **2.** earliest use of term appears to be at Antioch ref. Paul. Sam. *τὰς...σ. αὐτοῦ γυναῖκας, ὡς Ἀντιοχεῖς ὀνομάζουσιν, καὶ τῶν περὶ αὐτὸν πρεσβυτέρων καὶ διακόνων, οἷς καὶ τοῦτο καὶ τὰ ἄλλα ἁμαρτήματα ἀνίατα ὄντα συγκρύπτει* Malch.*ep.*ap.Eus.*h.e.*7.30.12(M.20.713C); **3.** subject of legislation *μήτε ἐπισκόπῳ...μήτε ὅλως τινὶ τῶν ἐν τῷ κλήρῳ ἐξεῖναι σ. ἔχειν, πλὴν εἰ μὴ ἄρα μητέρα ἢ ἀδελφὴν ἢ θείαν, ἢ ἃ μόνα πρόσωπα πᾶσαν ὑποψίαν διαπέφευγε* CNic.(325)*can.*3; *περὶ τοῦ μὴ ἔχειν σ. κληρικὸν οἱονδήποτε* Jo.Scholast.*coll.cap.*71; *περὶ ἐπισκόπων καὶ κληρικῶν συνόντων γυναιξὶ σ.* Phot.*nomoc.*8.14(p.529; M.104.1092C); cf. *episcopus vel quilibet alius clericus aut sororem aut filiam virginem dicatam Deo tantum secum habeat; extraneam nequaquam habere placuit,* CEliberitanum(306)*can.*27; *τὰς...συνερχομένας παρθένους τισὶν ὡς ἀδελφὰς ἐκωλύσαμεν* CAnc.(314)*can.*19; **4.** in the following sections the word *συνείσακτος*, where not found in the immediate context, may be understood as subject of author's remarks, e.g. †Bas.*contub.*tit.(M.30.812B); perh. the term to which such opprobrium was attached that Chrys. was unwilling to employ it, Chrys.*fem.reg.*3(1.254C); **a.** opp. both married and truly celibate *τοὺς...σ. ... οὐκ οἶδ' εἴτε γάμῳ δώσομεν, εἴτ' ἀγάμους θήσομεν* Gr.Naz.*carm.*2.2(epigr.)15.3(M.38.89A); *ὁ μὲν γάμος οὐδὲν ὄνειδος τῶν δὲ σ. φείδεται οὐδὲ λίθος ib.*14.6(89A); Chrys.*subintr.*1(1.228B); *ib.*6(236D,E); cf.id.*fem.reg.*1(1.248E,249A); *πολλῷ...βέλτιον γαμεῖν ἐκείνως, ἢ παρθενεύειν οὕτως ib.*3(254A); **b.** status of *σ.* defended on ground that it provided protection for weaker sex *ἐρεῖς, ὅτι διὰ Χριστὸν αὐτὸ πράττεις προνοούμενος τοῦ ἀσθενοῦς σκεύους* †Bas.*contub.*9(M.30.824B); *παρθένε...μηδὲ συνεισαγάγῃς ἀρσένα κηδεμόνα* Gr.Naz.*carm.*2.2(epigr.)18.2(M.38.92A); cf. *παρθένε, μὴ συνοίκει προστάτῃ ib.*1.2.3.67(M.37.638A); Chrys.*subintr.*6(1.235E); cf.id.*fem.reg.*4(1.255A); and supplied men's practical needs, †Bas.*contub.*9(824B); *ἐπισκόπου...ἐσχηκότος...τοιαύτας γυναῖκας ἐξυπηρετουμένας αὐτῷ, φημὶ δὲ σ.* Epiph.*haer.*63.2(p.400.10; M.41.1065A); *σ. γυναῖκας, [δι'] ἃς εἴωθαν* [sc. Hieracites] *φιλοτιμεῖσθαι ἔχειν εἰς ὑπηρεσίαν ib.*67.8(p.140.10; M.42.184A); cf. *διὰ τὴν αὐτῶν διακονίαν ὑμᾶς κατέχουσι* Chrys.*fem.reg.*4(255A); **c.** motives: basic motive alleged to be voluptuous pleasure, conscious or unconscious, on part of man, Chrys.*subintr.*1(1.228C–229B); and vainglory on part of woman, cf.id.*fem.reg.*6(1.259A); *οὐδὲ γὰρ ἡ δουλουμένη τοὺς ἄνδρας γυνή, ἀλλ' ἡ αἰδουμένη, αὕτη...ἐστιν αἰδέσιμός τε καὶ ἐπίδοξος ib.*(259D); regarded by some writers as no more than a cloak for immorality, †Bas.*contub.*9(M.30.824C); *ib.*10(824D); *τῆς ἐπιπλάστου ἀδελφοζωΐας, τὸ δ' ἀληθές,...τῆς ἀσχήμου κακοζωΐας περὶ τῶν καλουμένων σ.* Pall.*v.Chrys.*5(p.31.19; M.47.20); but gross sin not usu. alleged *οὔτε...τὸν ἑβδομηκονταετῆ γεγονότα πείθομαι ἐμπαθῶς συνοικεῖν γυναικί* Bas.*ep.*55(3.149D; M.32.404A); *ἐγὼ δὲ τοῦτο μὲν οὐκ ἂν εἴποιμι, ὅτι τὰς συνοικούσας φιλοῦσιν ἢ ἐπαφῶνται* Chrys.*subintr.*2(230B); cf.id.*fem.reg.*3(253C); *ib.*5(258D); **d.** relationship of *σ.* condemned as cause of offence *τὸ παρά τινων ὑγιῶς γινόμενον ἄλλοις ἀφορμὴ πρὸς ἁμαρτίαν ὑπάρχει* Bas.*ep.*55(3.149D; M.32.404A); Chrys.*subintr.*3(1.231D); cf.id.*fem.reg.*5(1.257Af.); and occasion of impurity in thought if not in act *ἂν πάλιν γυνὴ τῶν ἰδίων ἀποστᾶσα συγγενῶν ξένῳ ἀνδρὶ συνοικεῖν ἐπιχειρῇ τῆς ἐπιπλάστου ἀγάπης ἕνεκεν, τοῦτο μῖξις λοιπὸν συζυγίας ἀθεμίτου πυρκαϊὰν ἐργαζομένης* †Bas.*contub.*5(M.30.820D) et passim; Chrys.*subintr.*5(235Af.); cf.id.*fem.reg.*1,3(249D,253B); *κάκιστον μοναχὸς σ., ὡς πῦρ εἰς καλάμην* Hyper.*mon.*55(M.79.1480A) ∞ Ephr.2.359A; as a grave distraction in itself, †Bas.*contub.*11(M.30.825f.); and in virtue of business responsibilities undertaken on behalf of the virgins, Chrys.*subintr.*6(1.236A); those in such relationship would live to regret it, †Bas.*contub.*9(824B); *μὴ ἔχειν γυναῖκα σ., καθάπερ τινὲς ἀγαπητὰς ἐπέθεντο αὐταῖς ὀνόματα· τάχα δὲ ἐναντίως μισηταὶ αὐτοῖς εὑρεθήσονται* ‡Ath.*syntag.*2.7(p.123; M.28.837C); and faced a terrible judgement, †Bas.*contub.*11(828A); *ib.*8(824A); but condemnation chiefly on grounds of scandal, Bas. *ep.*55(3.149D,150A; M.32.404A,B); *μὴ σκανδαλίζετε τὸν κόσμον, οἱ τὰς σ. ἔχοντες, μὴ γὰρ γῆμαί σε ἡ γραφὴ οὐκ ἐπέτρεψε;* †Bas.*contub.*4(M.30.820B); *μηδὲ συνεισάκτῳ σὸν βίον ἐξυβρίσῃς* Gr.Naz.*carm.*2.2(epigr.)17.4(M.38.91A); *τὴν τοῦ θεοῦ δόξαν ὑβριζομένην...διὰ τὴν ἡδονὴν ταύτην* Chrys.*subintr.*1(1.228D); *ib.*8(240C,D); cf.id.*fem.reg.*3(1.253B,E); *ἡ...παρθενία αὕτη ἡ μετὰ ἀνδρῶν πορνείας χαλεπώτερον παρὰ πᾶσι διαβέβληται ib.*(254A).

***συνεισάλλομαι,** *rush in also,* Synes.*ep.*35(M.66.1361C); Cyr.*Ps.* 40:11(M.69.997C).

συνεισβαίν-ω, 1. *go in together, enter with* *μέχριπερ ἂν...τρανῶς ἐποπτεύσῃ Χριστῷ συνεισβᾶσα* [sc. the Church] Meth.*symp.*8.11(p.94. 11; M.18.156A); **2.** *be included,* of Persons in Trin. *ἅμα τε θεὸς νοεῖται ὁ πατήρ, καὶ συνεισβέβηκεν εὐθὺς ἡ ὕπαρξις τοῦ δι' ὃν ἐστι πατήρ, καὶ...τὸ...ἅγιον πνεῦμα* Cyr.*Abac.*35(3.549E); *πατρὸς μὲν .. νοουμένου τε καὶ ὄντος...τοῦ πατρός, υἱοῦ δὲ...νοουμένου τοῦ υἱοῦ, ~οντος...τοῦ ἁγίου πνεύματος* id.*Jo.*1.5(4.46D).

συνεισβάλλω, *interject* *ἐπίτριπτον λόγον σ.* Thdr.Stud.*epp.*2.162 (M.99.1512B).

***συνεισδέχομαι, 1.** *receive* one *together with* another, *take in at the same time,* ref. image and likeness of God *συνεισδεξόμεθα τῷ υἱῷ τὸν πατέρα* Cyr.*dial.Trin.*3(5[1].491C); **2.** *admit, allow* *τὰ...καθ' ὑπόστασιν...ἑνούμενα, οὔτε τροπὴν σ., οὔτε γνωρίζει διαίρεσιν* Sophr.H. *ep.syn.*(M.87.3164B).

συνεισδύομαι, *enter together,* Cyr.*ador.*3(1.99C).

συνεισέρχομαι, *enter along with,* of persons *τοῦ χρόνου τύπος ἂν εἴη Μωϋσῆς...ὡς μὴ σ. ἐκείνοις σωματικῶς εἰς τὴν κατάπαυσιν* Max. *ambig.*(M.91.1164B); *αὐτῷ...ὥσπερ εἰς νυμφῶνα, τὴν ἀνάπαυσιν τῶν καινῶν αἰώνων...συνεισελεύσεσθαι* Meth.*symp.*7.3(p.74.7; M.18.128D); Andr.Caes.*Apoc.*57(M.106.397D); Gnost. *τὸ σπέρμα σ. αὐτῷ εἰς τὸ πλήρωμα διὰ τῆς θύρας* Clem.*exc.Thdot.*26(p.115.20; M.9.672C); *ib.* 35(p.118.16; 676D); *ib.*86(p.133.9; 697B); myst., ref. indwelling of Trin. *σ. τὸ πνεῦμα* Ath.*ep.Serap.*1.31(M.26.601B); of soul into divine mysteries *τῷ Μωϋσῇ σ. εἰς τὸν γνόφον τῆς...θεωρίας* Gr.Nyss.*hex.*5 (M.44.65C); of things *εἰ ἔν τι...ἀπὸ τῆς κτίσεως προσαφθείη, πᾶσα ἡ κτίσις συνεισελεύσεται εἰς τὴν τοῦ πατρὸς καὶ υἱοῦ συναρίθμησιν* Bas. *hom.*24.5(2.194B; M.31.612A); of conceptions *τῇ τοῦ πατρὸς ἐννοίᾳ ἡ υἱοῦ σ.* id.*Eun.*2.12(1.247B; M.29.593C); *τῇ...τῆς θεότητος ἐννοίᾳ πάντα τὰ τοιαῦτα νοήματα σ.* Gr.Nyss.*Maced.*6(M.45.1309A).

συνεισηγέομαι, *bring in, introduce together* or *at the same time,* perf. in pass. sense *αὕτη* [sc. *ἡ παράκλησις*]*...παρ' αὐτῶν...συνεισήγητο* Chrys.*hom.*3.1 *in 2Cor.*(10.442A, v.l. *συνεισήγετο* Gaume).

***συνεισθέ-ω,** *run into;* **1.** *enter with* *οἱ τῷ Νῶε σ. εἰς τὴν κιβωτόν* Cyr.*glaph.Gen.*2(1.38A); **2.** *accompany, be associated* with *μετάπεμπτον...Μωσέα, ~οντος Ἀαρών* id.*ador.*1(1.44D); met., of things *γινώσκομεν...δι' αὐτοῦ* [sc. *τοῦ υἱοῦ*] *τε καὶ σὺν αὐτῷ τὸν πατέρα, ~οντος...τῇ τοιᾷδε γνώσει καὶ τοῦ ἐλεεῖσθαι ib.*11(405D); *τῆς ἀγαθουργίας οἱ τρόποι τῇ τῆς φαυλότητος ἀνατροπῇ ~οντες* id.*Mich.*20(3. 409C); of the H. Ghost in Trin. *συνθεολογουμένου τε καὶ ~οντος* id. *hom.pasch.*15.3(5[2].204D).

***συνεισκομίζω, 1.** *carry* or *take in along with;* into the ark, Cyr. *glaph.Gen.*2(1.38A); **2.** *introduce also* or *at the same point* in a discussion, *include* *τῇ τοῦ μυστηρίου παραδόσει καὶ ὁ περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν συνεισκεκόμισται λόγος* Cyr.*Is.*3.1(2.354B); id.*Juln.*9 (6[2].291C); Max.*ambig.*(M.91.1072D).

***συνεισκομιστέον,** *one must include,* Cyr.*ador.*2(1.80B).

συνεισκρίνω, *include, imply,* Thdr.Stud.*epp.*2.204(M.99.1621B); *ib.*2.212(1640C); pass. *σ. ... ἐπ' ἀμφοῖν ἡ ἑκατέρου γνῶσις* Cyr.*ador.*7 (1.235B); Thdr.Stud.*epp.*2.212 loc. cit.

***συνείσοδος, ἡ,** *entry together;* of Law with Israel into Promised Land, Max.*ambig.*(M.91.1164B).

συνεισπέμπω, *send in along with;* met., *introduce, instil together* thoughts, Isid.Pel.*epp.*3.91(M.78.796C).

συνειστρέχ-ω, 1. *run in together with* *~οντας τῷ κηρύγματι τοὺς ἀγῶνας* Cyr.*hom.pasch.*9.1(5[2].107B); **2.** *go with, be associated with* *εἰσφέρεται...δι' ἀμφοῖν ἡ θατέρου περίνοια, καὶ σ. ... ὀνομασθέντι τῷ πατρὶ καὶ ἡ τοῦ γεννήματος μνήμη* id.*Jo.*5.2(4.495D); *συνεπινοουμένου καὶ σ. ib.*1.2(19A); **3.** in time, *coincide* *Χριστὸς Ἰησοῦς ὠνόμασται... τῆς...κλήσεως ὁ καιρὸς ~ουσαν ἔχει τὴν γέννησιν* id.*Nest.*1.7(p.28.10; 6[1].24A).

δύο φύσεις, οὐκ ἔλεγε δὲ αὐτὰς δέξασθαι ἕνωσιν. ἀλλὰ σχέσιν πολλὴν ἔχειν τὸν ἄνθρωπον ἐκεῖνον πρὸς τὸν υἱόν, ὥστε καὶ δι' αὐτοῦ ἐνεργεῖν ὅσα βούλεται †Leont.B.*sect.*1.4(M.86.1200A); *τοσαύτη ἦν ἡ φιλία καὶ ἡ σ. τοῦ θεοῦ λόγου πρὸς τὸν ἄνθρωπον ὅτι οἱ δύο εἷς υἱὸς ἐλέγοντο ib.* (1200B); *εἰ δὲ καὶ ἄνθρωπον, καὶ θεὸν ἀπεκάλει τὸν Χριστόν· ἀλλ' οὐκέτι ὡς ἡμεῖς, ἀλλὰ τῇ σχέσει καὶ τῇ οἰκειώσει. ὥσπερ λέγομεν περὶ δύο τινῶν φίλων πάνυ ἀλλήλους ἀγαπώντων· ὅτι οἱ δύο οὗτοι μίαν ψυχὴν ἔχουσι ib.*4.4(1221C); *εἴ τις λέγει...κατ'...ἀναφορὰν ἢ σ. ... τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς ἄνθρωπον γεγενῆσθαι...ἀνάθεμα ἔστω* Justn.*conf.* (p.90.30; M.86.1016A) = CCP(553)*anath.*4; *ἡ κατὰ σ. ἕνωσις, ἐπὶ τῶν γνωμῶν εἰς ἓν θέλημα* Max.*opusc.*(M.91.213B); *ἡ δὲ τοῦ κυρίου ψυχὴ παντελῶς πρὸς τὸ κακὸν ἀκίνητος ἦν, αὐτὸν ἔχουσα τὸν θεὸν λόγον ἐν ἑαυτῇ· οὐ κατὰ σ., ἀλλὰ καθ' ἕνωσιν* ‡Cyr.*Trin.*16(6^{3}.22E; M.77.1153D); Jo.D.*hom.*1.4(M.96.552D) = id.*fr.Mt.*17:2(M.96.1408D); opp. *σωματικῶς*, cf. *inhabitavit namque in eo omnis plenitudo divinitatis corporaliter; id est non per participatum vel schesim simpliciter, quasi lumine inlucente,* Cyr.*schol.inc.*27(Pusey 6 p.550.9; M.75.1398B); **iii.** of II. Ghost to Son *τί οὖν ἐστί...ὃ λείπει τῷ πνεύματι πρὸς τὸ εἶναι υἱόν;...τὸ δὲ τῆς ἐκφάνσεως, ἵν' οὕτως εἴπω, ἢ τῆς πρὸς ἄλληλα σ. διάφορον, διάφορον αὐτῶν καὶ τὴν κλῆσιν πεποίηκεν* Gr.Naz.*or.*31.9(p.155.15; M.36.141C); **d.** by grace, between man and God *'ἀναλαμβάνων πραεῖς ὁ κύριος', κατὰ σχέσιν δηλονότι...ἀλλ' οὐχὶ τοῦτό ἐστι τὸ ἑνανθρωπῆσαι θεόν* Cyr.*apol.Thdt.*10(p.138.10; 6^{1}.232D); *οἰκεῖοι πάντες ἐσμὲν Χριστῷ κατὰ σ. μυστικήν* id.*Jo.*7(4.665D); of S. Paul *δοῦλον ἑαυτοῦ καλεῖ ὁ θεὸς οὐχὶ ὡς σχέσει ὄντα δοῦλον καὶ διαθέσει, ἀλλ' ὡς φύσει δοῦλον· τοῦ γὰρ ποιητοῦ δοῦλον τὸ ποίημα* Thdt.*Jer.* 43:13(2.579); *ὁ Ναβουχοδονόσωρ δοῦλος ὁ δυσσεβής. ἀλλ' ἐκεῖνος μὲν φύσει· Ἀβραὰμ δέ, καὶ Δαβίδ...καὶ οἱ κατὰ τούτους καὶ σχέσει* id.*1Tim.*6:11(3.670); *σχέσει δὲ καὶ χάριτι καὶ οἱ δίκαιοι λέγονται θεοί* Anast.S.*hod.*2(M.89.53C); **8.** *relationship, attachment* bet. persons and things, esp. of soul to earthly or heavenly things *πρὸς ἕτερον κόσμον διὰ τῆς σ. μεταβαίνοντες* Bas.*reg.fus.*5.2(2.342B; M.31.921A); *τὸν προσιόντα τὴν οἵαν προτέραν ζωὴν ἀπεκδύσασα καὶ μεχρὶ τῶν κατ' ἐκείνην ἐσχάτων σ. ἀπολύσασα* Dion.Ar.*e.h.*2.5(M.3.401A); *κόπτε τῶν πολλῶν τὰς σ., μὴ σου ὁ πόλεμος πρὸς τὸν νοῦν περιστατικὸς γένηται Apophth.Patr.*(M.65.161C); *νῷ πάσης ἐλευθέρῳ τῆς πρὸς ὁτιοῦν πάρεξ θεοῦ σ.* Max.*ambig.*(M.91.1117B); *ἀδύνατον τὸν νοῦν σχολάσαι τοῖς νοητοῖς, εἰ μὴ τὴν σ. τὴν πρὸς τὴν αἴσθησιν καὶ τὰ αἰσθητὰ ἀποκόψῃ* Thal.*cent.*2.41(M.91.1441B); *πολλοὶ...ἔγραψαν εἰκόνας τῶν ἀνθρώπων εἴτε [οἱ] γονεῖς τῶν τέκνων...διὰ τὸν πόθον καὶ τὴν σ., ἣν εἶχον πρὸς ἀλλήλους* ‡Jo.D.*Const.*2(M.95.313A); between an icon and its object, v. *εἰκών*; *τῆς πρὸς ἄλληλα κοινωνίας τε καὶ σ. ἀμέτοχα* Thdr.Stud. *antirr.*3.4.1(M.99.428C); *ἡ σ. κατὰ τὸ εἶναι ἐν τῷ πρωτοτύπῳ τὸ παράγωγον εἴρηται ib.*3.3.10(424D); *οὐδὲ αὐτῆς τῆς ἀναστηλωθείσης σαρκὸς ἡ φύσις πάρεστιν, ἀλλ' ἢ μόνον ἡ σ. ib.*1.12(344B); *πῶς οὖν ἔσται μία προσκύνησις τῆς εἰκόνος πρὸς Χριστόν; εἴπερ ἡ μὲν σχέσει, ὁ δὲ φύσει προσκυνεῖσθαι ὡμολόγηται. οὐκοῦν δύο προσκυνήσεις ἐν τῷ ἑνὶ Χριστῷ διὰ τῆς εἰκονικῆς προσκυνήσεως· ὅπερ ἀσεβές ib.*3.3.9(424C); bet. persons *τίς ἡ τῆς φύσεως ὁλκὴ καὶ πρὸς ἄλληλα σ. τοῖς γεννῶσι καὶ τοῖς γεννωμένοις;* Gr.Naz.*or.*28.22(p.55.7; M.36.56B); *ὑπὸ τῆς ἐρωμένης δεδέσθαι τὸν ἐραστήν, οὐ σωματικῶς, οὐδὲ τοπικῶς, ἀλλὰ κατὰ σ.* Nemes.*nat.hom.*3(M.40.600B); *εἰώθαμεν δὲ καὶ ἡμεῖς τοῖς προσκρούουσι λέγειν τὸ 'οὐκ οἶδά σε' οὐχ ὡς ἀγνοοῦντες πάντως, ἀλλ' ὡς τῆς πρὸς ἡμᾶς ἀγάπης καὶ σ. ἀλλοτριοῦν ἐθέλοντες* Cyr.*Ps.*36:18(M.69.93A); *ἡ τῶν γονέων σ. καὶ φιλία πρὸς αὐτόν* †Jo.D.*B.J.*25(M.96.1093D); plur. *τὰς δὲ σ. ἀποσεισώμεθα* Thdr.Stud.*epp.*2.66(M.99.1292B).

σχετικός, 1. *containing* *δεσμὸς δὲ τῆς σαρκὸς ψυχή, σ. δὲ τῆς ψυχῆς ἡ σάρξ* Tat.*orat.*15(p.16.21; M.6.837B); **2.** *? of habits* *χελιδὼν Phys.* B 18(p.228.7); **3.** *of relationship*; **a.** in gen. *ἄσχετον μὲν τὸ αὐτὸ εἶναι, σ. δὲ τὸ ἄλλου εἶναι* ‡Just.*qu.et resp.*113(M.6.1361C); *τὸ γὰρ 'θεὸς' ὄνομα φύσεως ἐστὶ θεωρουμένης...τὸ δὲ 'πατὴρ' σχετικὸν καὶ τὸ 'υἱὸς' ὁμοίως* ‡Ath.*Maced.dial.*1.1(M.28.1292B); *πατέρα ἡμῶν τὸν πατέρα τὸν ἐν τοῖς οὐρανοῖς καλεῖν προσετάχθημεν, αὖτη πάλιν ἡ σ. σημασία* Gr.Nyss.*Eun.*1(1 p.183.6; M.45.428B); *'Τιμοθέῳ γνησίῳ τέκνῳ'...τῷ σ. ὀνόματι* Thdt.*1Tim.*1:2(3.639); Proc.G.*Is.*57:15(M. 87.2581C); Leont.H.*Nest.*5.24(M.86.1745C); **b.** Christol., *relative, incidental,* i.e. *non-essential*; of union of natures acc. Nestorius and other Antiochenes *εἰ...σ. ἐν ἀνθρώπῳ τὴν ἐνοίκησιν ἐποιήσατο* Cyr. *Nest.*1.2(p.20.20; 6^{1}.13A); *σ. λέγει* [sc. Theodoret] *τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς τόν τινα ἄνθρωπον* Justn.*conf.*(p.94.16; M.86.1017D); Max.*Pyrr.*(M.91.337A); id.*ep.*12(M.91.481B); Leont.B.*Nest.et Eut.*3 (M.86.1380D); cf. examples of *σ. ἕνωσις*: *σ. ἕνωσίς ἐστιν, ἡ τὰς διαφόρους γνώμας εἰς ἓν συνάγουσα θέλημα· σ. δὲ διαφορά ἐστιν, ἡ τὸ ἓν θέλημα γνώμης ἑτερότητι διατέμνουσα κίνησις* Max.*opusc.*(M.91. 152C); id.*ep.*12(M.91.484A); *πενταχῶς δὲ λέγεται ἡ ἕνωσις· συγχυτική ...διαιρετική...σ. ὡς τὰ ἔθνη ἐν τῇ πίστει· θετική...καθ' ὑπόστασιν* Anast.S.*hod.*2(M.89.69C) = ‡Ath.*def.*5(M.28.544C,D); *ἕνωσις σ., ὡς φίλου πρὸς φίλον* Jo.D.*dialect.*65(M.94.661B–664B); esp. of *συνάφεια σ.* (v. *συνάφεια*): *οὐκ ἄνθρωπός τις ἀνὰ μέρος τε καὶ ἰδικῶς νοούμενος, καὶ σ. ἔχων συνάφειαν πρὸς θεόν* Cyr.*apol.orient.*8(p.49.18; 6^{1}. 179B); *ἐθελοντὴς ὁ μονογενὴς γέγονεν ἄνθρωπος καὶ οὐχ ὡς σὺ* [sc. Nestorius] *φής, ἀνέλαβεν ἄνθρωπον, σ. αὐτῷ δωρούμενος τὴν συνάφειαν* id.*apol.Thdt.*3(p.119.23; 6^{1}.213C); acc. Theodore and Nestorius *ψιλὸν ἄνθρωπον...κατὰ σ. συνάφειαν* Justn.*conf.*(p.98.1; 1021B); *κατὰ μόνην τὴν σ. συνάφειαν τὴν ἕνωσιν γεγενῆσθαι* Max.*ep.*12(M.91.484A); orthodox objections to *ἕνωσις σ.*: *κατοικῆσαι δέ φησιν ὁ θεσπέσιος Παῦλος ἐν τῷ Χριστῷ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, ἵνα μὴ ἁπλῆν ἢ γοῦν σ. τὴν κατοίκησιν ὑποτοπήσειέ τις, ἀλλ' ὥσπερ ἔφην ἀρτίως, ἀληθινήν τε καὶ καθ' ὑπόστασιν* Cyr.*Nest.*1.8(p.30.37; 28A); cf. Leont.B.*arg.Sev.*(M.86.1940D) cit. s. *ἀντιδίδωμι*; *εἰ...τις...λέγων ὅτι ...χρὴ καὶ τὴν ἀνθρωπίνην φύσιν τοῦ Χριστοῦ ἰδίαν ὑπόστασιν, ἤτοι πρόσωπον ἴδιον ἔχειν, πρόδηλός ἐστιν ὁ τοιοῦτος ὅτι προϋποστάντι ἀνθρώπῳ ἑνωθῆναι λέγει τὸν λόγον, καὶ σ. γεγενῆσθαι τὴν ἕνωσιν* Justn.*conf.*(p.88.6; 1011B); Thdr.Raith.*inc.*(p.191.18; M.91.1492B); Jo.D.*Jacob.*81(M.94.1480A); **c.** of union with God by grace, cf. *igitur in Christo unitatem summam veramque credimus factam: sin autem in nobis inhabitare dicatur, scheticam ipse faciet inhabitationem,* Cyr.*schol.inc.*27(Pusey 6 p.550.7; M.75.1398A); *κατὰ μέθεξιν σ., ὡς καὶ ἡμεῖς κολλώμενοι τῷ κυρίῳ κατὰ τὸ γεγραμμένον ἓν πνεῦμά ἐσμεν πρὸς αὐτόν* id.*ep.*17.5(p.36.19; 5^{2}.71B); *ὅταν ἀκούσωμεν ἕνωσιν πατρὸς καὶ υἱοῦ, τὴν φυσικὴν νοοῦμεν· ὅταν δὲ ἕνωσιν θεοῦ καὶ ἀνθρώπων, σ. νοοῦμεν τὴν ἐκ πίστεως γινομένην τοῖς ἁγίοις* Ammon. *Jo.*14:23(M.85.1492C); Max.*ambig.*(M.91.1192B); **d.** of union of an icon with its object *ἐπεὶ καὶ ἐπὶ τύπου σταυροῦ τῶν τε ἄλλων θείων ἀναθημάτων, ἀλλ' οὐ φυσικῇ ἑνώσει...σ. δὲ μεταλήψει, ὅτι χάριτι καὶ τιμῇ τὰ μετέχοντα* Thdr.Stud.*antirr.*1.12(M.99.344C); **e.** of *relative* veneration due to icons *ἐπ' αὐτοῦ δὴ Χριστοῦ λατρευτικὴ ἡ προσκύνησις...ἐπὶ δὲ τῆς εἰκόνος, ἡ αὐτὴ μὲν...σ. δὲ ὅμως, ἤγουν ὁμωνυμική· προσκυνῶν γὰρ αὐτήν...προσεκύνησα Χριστόν, οὐ διαιρούμενον καθ' ὑπόστασιν, ἀλλὰ διαφορούμενον κατὰ τὸν τῆς οὐσίας λόγον ὅπερ ἐστὶ σ., ἀλλ' οὐ λατρευτική* id.*ep.*2.85(M.99.1329A); *εἴ τις τὴν κατὰ τὴν εἰκόνα σ. προσκύνησιν τοῦ Χριστοῦ, εἰδώλων προσκύνησιν...ἀποφαίνοι, καὶ οὐκ αὐτοῦ Χριστοῦ...αἱρετικός ἐστιν* id.*antirr.*1.20(M.99.349C); *ταύτας* [sc. *εἰκόνας*] *σ. πόθῳ προσκυνοῦμεν* Taras.ap.CNic.(781)*act.*2 (H.4.104C); *τὴν σ. τῶν σεπτῶν εἰκόνων...προσκύνησιν...τὸν περὶ τῆς σ. προσκυνήσεως λόγον* Thphn.*chron.*p.340(M.108.820B,821A), v. *προσκύνησις.*

σχετικῶς, 1. *by relationship* *σ. τῆς προσηγορίας ταύτης* [sc. *υἱός*] *καὶ τὸν πατέρα συνεμφαινούσης* Gr.Nyss.*diff.ess.*7(M.32.340A); **2.** *by an external relationship, in an incidental way*; **a.** Christol., ref. relationship between the natures, opp. *φυσικῶς, οὐσιωδῶς* etc.; **i.** acc. Nest. *συναφθέντα θεῷ σ., κατὰ μόνον τὴν ἰσοτιμίαν, ἤγουν, αὐθεντίαν* Cyr.*ep.*40(p.27.8; 5^{2}.116E); *τὴν ἕνωσιν τῆς θεότητος μετὰ τὸν τόκον τῆς ἀνθρωπότητος...γενέσθαι πρὸς αὐτὴν σ.* Leont.H. *monoph.*(M.86.1785A); *ib.*(1809D); *σ. ... ἓν πρόσωπον τοῦ θεοῦ λόγου καὶ τῆς σαρκός* †Leont.B.*sect.*1.4(M.86.1152B); **ii.** orthodox denial *'ἐν αὐτῷ' φησι 'κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος', οὐ μεθεκτῶς μᾶλλον ἢ σ. ἢ γοῦν ὡς ἐν δόσει χάριτος, ἀλλὰ σωματικῶς, ὅ ἐστιν οὐσιωδῶς* Cyr.*Pulch.*19(p.37.18; 5^{2}.144D); *οὔτε μὴν κοινὸν ἄνθρωπον ἰσότητι μόνῃ τῶν ἀξιωμάτων τετιμημένον σ. συνῆφθαι τῷ λόγῳ διοριζόμεθα* id.*apol.Thdt.*2(p.115.19; 6^{1}.209C); *θεός ἐστιν ὁ υἱὸς προαιώνιος, οὐ σ. ... ἀλλὰ φυσικῶς* Hier.H.*Trin.*(M.40.853A); *ὁ τρόπος ...τῆς ἑνώσεως οὐσιωδῶς, ἀλλ' οὐ σ. γεγονώς* Leont.B.*Nest.et Eut.* 3(M.86.1380C); **b.** of union of believers with God *ἐν ἡμῖν ἐστι θεός, καὶ ἡμεῖς αὐτῷ συναπτόμεθα σ., καὶ κοινωνοὶ τῆς θείας αὐτοῦ γεγόναμεν φύσεως* Cyr.*Nest.*2.13(p.52.5; 6^{1}.59D); *ὁ ἀληθὴς μεσίτης Χριστὸς ᾧ κεκολλήμεθα σ.* id.*glaph.Ex.*(1.316C); *ὁ πατὴρ ἐν τῷ υἱῷ ἐστι φυσικῶς, ἐν ἡμῖν δὲ σ.* Ammon.*Jo.*14:20(M.85.1492C); **c.** *relatively*, ref. relationship bet. icon and its object, Thdr.Stud.*antirr.*1.8(M.99. 337B); ref. relative veneration due to an icon *προσκυνῶν τὴν εἰκόνα Χριστοῦ...προσκυνῶ...αὐτὸν Χριστὸν σ.* id.*ep.*2.85(M.99.1329B); †Gr.II Papa *ep.Leon.*1(H.4.5C) cit. s. *προσκύνησις*; Taras.*praesent.BMV* (M.98.1496C); *προσκυνητής εἰμι σ. ἀλλ' οὐ λατρευτικῶς Euchol.*(p.255).

***σχέτλη, ἡ,** *woe* *τὸ 'οὐαί' ἐπίρρημά ἐστι σχετλιαστικόν· σ. δὲ τὸ ὀδύνην ἐπιφέρον καλεῖται* Areth.*Apoc.*9:12(M.106.629A).

***σχετλιαστικῶς,** *with bitter complaint,* †Bas.*Is.*83(1.436D; M.30. 253C); Max.*opusc.*(M.91.52A); Anast.S.*qu.et resp.*17(M.89.485D).

σχῆμα, τό, 1. *shape, form* defined *σ. ... τὸ ἐκ τριῶν γραμμῶν τοὐλάχιστον συνιστάμενον* Thdr.Stud.*antirr.*3.1.30(M.99.404B); dist. from *μορφή*: *ἐδίδασκε δὲ καὶ ὅσον πρὸς τὰ παρόντα τῆς ἀρετῆς τὸ διάφορον. ταῦτα γὰρ ἐκάλεσε σ., τὴν ἀρετὴν δὲ μορφήν· ἡ μορφὴ δὲ ἀληθῶν πραγμάτων σημαντική, τὸ δὲ σ. εὐδιάλυτον χρῆμα* Thdt.

*Rom.*12:2(3.130); of man 'κατ' εἰκόνα θεοῦ γεγονέναι ὁ ἄνθρωπος εἴρηται, οὐ κατὰ τῆς κατασκευῆς τὸ σ. Clem.*str.*6.16(p.500.33; M.9.361A); met., of the world τοῦ πρόσθεν σ. ἀπολλυμένου Meth.*res.*1.48 (p.300.11; M.41.1120D); *ib.*(p.300.15; M.41.1121A); **2.** *dimension* τὰ τριττὰ τῶν σωμάτων σ. ... πλάτος...μῆκος...βάθος Dion.Ar.*d.n.*9.5(M.3.913A); **3.** *frame, form,* ref. Christ's humanity (cf. Phil.2:7) τὸ αὐτὸ σ. ⟨τοῦ σώματος καὶ⟩ τῶν μελῶν καὶ εἰκόνα καὶ σάρκα τὴν αὐτὴν τῇ ἡμετέρᾳ φορέσας ἐφάνη Meth.*res.*2.18(p.369.17); Gr.Nyss.*Apoll.*57 (M.45.1264D) cit. s. ἀνθρώπινος; καλῶς ὅπερ ἀνείληφε σ. λόγῳ τε καὶ ἔργῳ φυλάττων Cyr.*thes.*9(5¹.71B); ὁ ἀσχημάτιστος ἐν σ. ἀνθρώπου ὡράθη Thdr.Stud.*antirr.*3.1.13(M.99.396B); δούλου μορφὴν μορφωσάμενος καὶ φύσει καὶ σ. γενόμενος ἄνθρωπος Jo.D.*hom.*1.4(M.96.552B); in opinion of Paul. Sam. ὁ φαινόμενος οὐκ ἦν σοφία· οὐ γὰρ ἠδύνατο ἐν σ. εὑρίσκεσθαι, οὐδὲ ἐν θέᾳ ἀνδρός Paul.Sam.*fr.*(p.337.14)ap.Leont.B. *Nest.et Eut.*3(M.86.1392C); as mere outward appearance; in opinion of Valentinus, Bas.*ep.*261.2(3.402D; M.32.969C) cit. s. ἄνθρωπος; ref. Marcion's Christology τὸ...σχήματι εἶναι ἄνθρωπον, οὐκ ἔστι φύσει ἄνθρωπον εἶναι Chrys.*hom.8.2 in Phil.*(11.246C); τῶν τολμώντων λέγειν ὅτι σχήματι ἐνεδύσατο σῶμα ὁ κύριος, καὶ σχήματι ἀπέθανεν ‡Chrys.*ascens.Ac.*5(3.763B); acc. Apoll. ἀντὶ τοῦ ἔσωθεν ἐν ἡμῖν ἀνθρώπου νοῦς ἐπουράνιος ἐν Χριστῷ· ὡς γὰρ ὀργανικῷ χρῆται σ. τῷ περιέχοντι, οὐ γὰρ οἷόν τε ἦν τέλειον ἄνθρωπον αὐτὸν γενέσθαι ‡Ath. *Apoll.*1.2(M.26.1096B); cf.Apoll.*quod un.Chr.*11(p.302.14; M.28.132A) cit. s. βάπτισμα; σχήματι εὑρῆσθαι ὡς ἄνθρωπον, ὡς οὐχὶ τοῦ ἀνθρωπίνου εἴδους ἐν τούτοις δηλουμένου, φαντασίας δέ τινος ἀπατηλῆς καὶ δοκήσεως Gr.Naz.*ep.*102(M.37.197C); in Nestorian controversy, cf. *Sophronius: il a voulu être chair, et il a été chair, non pas l'apparence de la chair, mais la nature de la chair, c'est à dire chair en vérité,* Nest.*Heracl.*1.1.15(p.11); **4.** astrol., *sign* of zodiac, Meth.*symp.*8.15 (p.104.1; M.18.168A); **5.** *attitude* of body τῷ χεῖρε δ' ἐκτεταμένος εὐχομένου σχήματι Eus.*v.C.*4.15(p.123.26; M.20.1164B); of man's upright stance, Bas.*hom.*3.8(2.24B; M.31.216C); of kneeling, Dion.Ar. *e.h.*5.3.7(M.3.516A); **6.** *position* τοὺς μὲν γὰρ τῶν εἰδώλων κατέλυον τόπ(ους), τοὺς δὲ τῷ θεῷ ἀνακειμένους κατελίμπανον ἐπὶ σχήματος Thdt.*Is.*36:7(p.143.26; 2.318); **7.** *action, act* γνώσῃ καὶ τοῖς σ. καὶ τοῖς ῥήμασι ὡς ὅλην ἀποπέμπῃ τὴν ἀθεΐαν Gr.Naz.*or.*40.45(M.36.424A); ἀποβιοῦντα ἐκκλησίας σ. Philost.*h.e.*2.13(M.65.476C); in phrase τὸ αὐτὸ σ. *the same thing* ἅπαξ οὖν καὶ δεύτερον ποιήσας τὸ αὐτὸ σ. ...μὴ πάλιν τὸ αὐτὸ σ. ποιήσῃ Leont.N.*v.Jo.Eleem.*42(p.84.4,6); ἐν ἄλλοις χρόνοις ἐγένετο τὸ αὐτὸ σ. Jo.Mal.*chron.*17 p.418(M.97.620A); **8.** *clothing, habit*; **a.** secular ἀνὴρ...σχήματι ποιμενικῷ Herm.*vis.* 5.1; Or.*fr.ep.*2 ap.Eus.*h.e.*6.19.14(M.20.569A); Thdt.*h.e.*3.14.10(3.929); **b.** Jewish and eccl. τὸν Ἰουδαίων ἀρχιερέα ἐνδύντα τὴν ἱερατικὴν στολήν...ὤφθαι αὐτῷ τούτῳ τῷ σ. Or.*Cels.*5.50(p.54.24; M.11.1260B); τὸ κανονικὸν σ. Marc.Diac.*v.Porph.*102; baptismal, *ib.*101; episcopal τινὰ ἐν σ. ἐπισκόπου Dor.*doct.*5.5(M.88.1681D); of deaconesses κἂν εἰ ...συνοικοίη τινὶ μετὰ τοῦ ῥηθέντος ὀνόματος ἢ σχήματος Justn.*nov.* 6.6(p.44); **c.** monastic; **i.** in gen. τὸ ἅγιον καὶ ἱερὸν ὑμῶν σ. Serap. *ep.mon.*8(M.40.933B); τὸ συμβολικὸν σ. τῶν ἐν Αἰγύπτῳ μοναχῶν Evagr.Pont.*cap.pract.*A proem.(M.40.1220C); **ii.** in various phrases, *monastic life* or *order* ἐνεδύθην τὸ σ. *V.Pach.A* 18(p.142.4); λαμβάνειν τὸ σ. *Apophth.Patr.*(M.65.164C); φορεῖν τὸ σ. *ib.*(161B); εἰς τὸ σ., ἐν τῷ σ. *ib.*(188B); τοῦ τῶν μοναχῶν σ.... ἀξιωθείς Cyr.S.*v.Euthym.*49 (p.71.15); **iii.** of a novice τὸ σ. τὸ ἀποτακτικόν Pach.*reg.*B 16(p.14.3; M.40.949A); **iv.** distinction between μέγα (also called ἀγγελικόν) and μικρόν: ἀββᾶ Ὥρ...σ. ... ἔχοντα ἀγγελικόν ‡Pall.*h.mon.*2.1(p.24. 15; M.34.1026D); Leont.N.*v.Sym.*12(M.93.1685C); τὸ ἰσάγγελον τοῦ μοναχικοῦ βίου σ. id.*v.Jo.Eleem.*24(p.49.22); this distinction disapproved of οὐ δοίης ὅπερ λέγουσι μικρὸν σ., ἔπειτα ὡς μέγα· ἓν γὰρ τὸ σ., ὥσπερ καὶ τὸ βάπτισμα, καθὼς οἱ ἅγιοι πατέρες ἐχρήσαντο Thdr.Stud.*epp.*1.10(M.99.941C); but kept in rite of clothing a monk, *Euchol.*(pp.382,407,411); **d.** met. εἰ φιλάργυρον ἔχεις τὸ σ. τῆς ψυχῆς Cyr.H.*procatech.*4; **9.** used of *sex* σ. μὲν τὸ τῆς σαρκὸς ἕτερον καὶ ἕτερον ὁρῶμεν γεγενημένον ἄρρενος καὶ θηλείας Just.*dial.*23.5(M.6. 528B); τοῦδε τοῦ σ., ᾧ διακρίνεται τὸ ἄρρεν καὶ τὸ θῆλυ Clem.*str.*3.13 (p.239.4; M.8.1193B); *ib.*6.12(p.482.12; M.9.321B); ἐπ' αὐξήσει γὰρ τοῦ γένους τῶν ἀνθρώπων διαφορὰ σχημάτων διεπλάσθη ἐν τῷ Ἀδὰμ καὶ τῇ Εὔᾳ *Const.App.*6.11.6; *ib.*7.2.8; Thdt.*provid.*7(4.589); **10.** *rank, position* ἐν...τῷ τοῦ Καίσαρος σ. πέντε ἐνιαυτούς Philost.*h.e.*7.15(M. 65.553C); οἱ εὑρισκόμενοι ἐν τῷ κλήρῳ ἔσονται ἐν τῷ αὐτῷ σ. CNic. ⟨325⟩*can.*8; *ib.*19; παρέλαβε τὸ σ. τῆς ἐπισκοπῆς Ἱεροσολύμων Συμέων Jo.Mal.*chron.*10 p.259(M.97.392C), cf. 6 supra; **11.** *figure* in rhetoric καὶ τὸ ψαλμικὸν μεμίμηται σ.· καὶ γὰρ ἐκεῖ ὁμοίως ἐρωτῶσί τινες· τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Thdt.*Is.*63:1(p.245.14; 2.388); cf. *schema, id est perfectam sermonum conexionem,* Isid.H.*etym.*1.35.7; *schemata ex Graeco in Latinum eloquium figurae interpretantur, quae fiunt in verbis vel sententiis per varias dictionum formas propter eloquii ornamentum, ib.*1.36.1; **12.** *phraseology* σ. πολεμικόν Or. *schol.in Cant.*7:1(M.17.280D); Oecum.*Apoc.*1:2(p.33); **13.** *kind, sort* ἐναλλάττει τὸ σ. τοῦ χρόνου· τὰ γὰρ ἤδη γεγενημένα ὡς μέλλοντα λέγει Thdt.*Zach.*7:13(2.1624); ἐπηρμένου...τῆς συναγωγῆς τοῦ ἄνω σ. id.*Is.*6:4(2.209); Jo.D.*haer.*83(M.94.741A, v.l. σχίσματος); **14.** *appearance* opp. reality; **a.** *semblance* πιστεύειν τῷ σ. τῶν Χριστιανῶν εἶναι νομιζομένων Eus.*v.C.*4.54(p.139.32; M.20.1205A); Alex.Al.*ep.Alex.*2(p.20.21; M.18.549C); Bas.*hom.*1.2(2.2C; M.31. 165B); σ. ἅπας ὁ παρὼν βίος, καὶ ἀπάτη, καὶ ὀνειράτων οὐδὲν διενήνοχε Chrys.*hom.*35.7 *in Gen.*(4.360C); **b.** *appearance* ἡ ἀντικειμένη δύναμις ἀεὶ μιμεῖται τῆς ἀρετῆς καὶ τῆς δικαιοσύνης τὰ σ. Meth.*symp.*10.5 (p.127.1; M.18.200C); 'διέρρηξε τὰ ἱμάτια' τῷ μὲν σ. πρὸς τὸ πάθος ἀποσυρόμενος, τῷ δὲ πράγματι πρὸς τὴν ἀρετὴν ἀποδυόμενος ‡Chrys. *hom.*3.4 *in Job*(6.591C); **c.** plur., of vanities of this world, Meth. *symp.*8.1(p.81.15; M.18.140A); Dion.Ar.*e.h.*6.3(M.3.536A); σχήματα μὲν καλεῖ τὰ τοῦ παρόντος αἰῶνος, οἷον πλοῦτον καὶ δυναστείαν καὶ τὴν ἄλλην περιφάνειαν· πράγματα δὲ τὰ μέλλοντα Thdt.*Rom.*12:2(3.129); **15.** *figure, type* σ. πληρῶν μόνον ἔστηκεν ὁ ἱερεύς...ἡ δὲ χάρις...ἐστιν ἡ τοῦ θεοῦ Chrys.*prod.Jud.*2.6(2.394A); διὰ πολλῶν σ. τοῦ πανσόφου Μωυσέως τὸ ἐπὶ Χριστῷ προανατυποῦντος μυστήριον Cyr.*Jo.*3.2(4. 264E); ὁ Χριστὸς ...αὐτὴν ἡμῖν...ὑπέδειξε τὴν ἀλήθειαν, οὐκ ἐν τύποις ἔτι καὶ σχήματι τὸ τῆς ἀρετῆς καταγράφων εἶδος *ib.*10(835C); *ib.*5.1 (469A); hence *meaning, interpretation* ἐν ἱστορίας σχήματι Or.*Cels.* 5.31(p.32.20; M.11.1228B); σ. ... τῷ λόγῳ περιτίθεται βαθύ Cyr.*Jo.* 5(4.442A); *ib.*5.1(469B); id.*thes.*32(5¹.309A); **16.** *form of thought* τὴν ἑτερότητα τῶν ποικίλων τοῦ θεοῦ κατὰ τὰς πολυειδεῖς ὁράσεις σχημάτων Dion.Ar.*d.n.*9.5(M.3.912D); Jo.D.*haer.*83(M.94.741A); **17.** *scheme, plot,* Rom.Mel.(*AS* 1 p.180) cit. s. σκάμμα; **18.** error for ὄγκμα: γῆ δὲ ποσὶ μὲν ὑποβέβηκε σ. Bas.Sel.*or.*9.1(M.85.128A).

***σχηματάριος, ὁ,** *deceiver,* Jo.D.*parall.*(M.96.464).

σχηματίζ-ω, 1. *form, fashion* τὸ ἄρρεν ⟨μὲν⟩ μορφώσας, τὸ δὲ θῆλυ σχηματίσας Eus.*l.C.*11(p.228.9; M.20.1384A); fig. ὁ παιδοτρίβης ~ων τὸν παῖδα Clem.*str.*6.17(p.514.23; M.9.393A); *ib.*7.7(p.27. 20; 449C); Chrys.*hom.22.4 in Mt.*(7.280A); Cyr.*Jo.*3.5(4.305C); **2.** *endue with form* or *substance* εἰπὼν 'ἐν δεξιᾷ', οὐκ ἐσχημάτισεν αὐτόν, ἀλλὰ τὸ ὁμότιμον ἔδειξε τὸ πρὸς τὸν πατέρα Chrys.*hom.2.3 in Heb.* (12.19C); μὴ ~ῃς τὸ θεῖον ἐν ἑαυτῷ προσευχόμενος Evagr.Pont.*or.*66 (M.79.1181A); of Inc. μετὰ τὸ σχηματισθῆναι ἤτοι σωματωθῆναι Nil. *epp.*2.40(M.79.213D); **3.** *give form to, represent* τὸ πνεῦμα...ἐν εἴδει περιστερᾶς ~εται Epiph.*haer.*62.6(p.394.27; M.41.1057B); τὸ πνεῦμα ...ἐν τῷ πραοτάτῳ ~όμενον ζῴῳ Cyr.*Jo.*2.1(4.127A); *ib.*6(564C); ἄγγελος δέ, καὶ ψυχή, καὶ δαίμων, εἰ μὴ σωματικῶς καὶ παχέως, ἀλλὰ κατὰ τὴν ἑαυτῶν φύσιν, καὶ ~ονται καὶ περιγράφονται Jo.D.*imag.*3.24 (M.94.1344Bf.); **4.** *represent, describe* οὐ γὰρ ταὐτὰ νομίζω σημαίνεσθαι ἐν τῷ 'ἐμαρτύρησεν' ὅτε δηλοῦται τὸ ῥῆμα, παρ' ὃ ὁ μάρτυς ἐσχημάτισται τοῦ θεοῦ Or.*Jo.*32.18(11; p.456.29; M.14.792A); ~ει δὲ αὐτὸν [sc. τὸν λόγον] διεξοδικῶς ἡ γραφή Bas.*hex.*3.2(1.23B; M.29.56A); Gr.Nyss. *Apoll.*5(M.45.1132B); λόγον προφορικὸν αὐτὸν σχηματίσας Epiph. *anac.*65(p.1.6; M.42.9A); τὸ φιλάργυρον οὕτως ἐσχηματίσαμεν Chrys. *hom.28.5 in Mt.*(7.340B); ἡ θεολογία τοὺς οὐρανίους ἐσχημάτισε νόας Dion.Ar.*c.h.*2.3(M.3.141B); **5.** *typify, symbolize* τίνος οὖν ἕνεκεν...τὸ βιβλίον ῥαντίζεται...ἢ τοῦ τιμίου αἵματος ἄνωθεν ~ομένου; Chrys. *hom.16.2 in Heb.*(12.159B); ‡Sophr.H.*liturg.*11(M.87.3992A); **6.** *express* ἔν τι γένος ἐκάλει Σαβαὶ ⟨ὁ⟩ 'Ἑβραῖος, παρ' ὃ ἐσχημάτισθαι τὸν Σαβαώθ Or.*Jo.*1.31(34; p.38.23; M.14.81A); Bas.*hom.in Ps.*44(1. 164B; M.29.401A); τῇ εὐχαριστίᾳ ~ει τὴν εὐφημίαν Thdt.*2Thess.* 1:3(3.528); **7.** *mean* λέγει μὲν γὰρ ὅτι..., ἐσχημάτισε δὲ οὕτως... Thdr.Mops.*Rom.*8:26(p.140.5; M.66.828D); *ib.*8:27(p.141.7; 828C); **8.** med., *make a show of*; hence *feign, counterfeit,* ‡Just.*coh.Gr.*20 (M.6.276C); οὐ πρὸς ἡμᾶς ἔχουσιν τὴν μάχην οἱ Ἀρειανοὶ περὶ τῆς αἱρέσεως, ἀλλὰ ~ονται μὲν πρὸς ἡμᾶς, πρὸς αὐτὴν δὲ τὴν θεότητα μάχονται Ath.*Ar.*2.32(M.26.213C); ~όμενοι τὴν εὐσέβειαν Thdt.*Ps.* 30:9(1.795); of Christ ἅπερ οἶδεν ὡς θεός, ἀγνοεῖν ὡς ἄνθρωπος ~εται Cyr.*Jo.*5.5(4.529C); ἀσθένειαν ὁ λόγος ~εται, ἔχει δὲ οὐχ οὕτως κατ' ἀλήθειαν, ἐπείπερ ἴσος ἐστὶ τῷ πατρί Ammon.*Jo.*5:30(M.85.1429D); of God προνοητικῶς δὲ ἐσχηματίζετο οἰκονομῶν τὴν σωτηρίαν ἡμῶν, ἵνα δείξῃ πόσον δύναται μετάνοια Jo.D.*Man.*80(M.94.1580A); **9.** astrol., *be in configuration* τοὺς ἀστέρας, οὓς νομίζουσιν ἑαυτοῖς ἐσχηματικέναι κατὰ τὸν καιρὸν τῆς τοῦ δεῖνος γενέσεως ἐσχηματισμένους οὑτωσί Or. *comm.in Gen.*ap.Eus.*p.e.*6.11(291Af.; M.12.72A); *ib.*(295B; M.80C); **10.** ? *examine* ἐνέγκαντες μαίας πιστὰς πρὸς τὸ σχηματίσαι αὐτήν, καὶ σχηματίσαντες εὗρον αὐτὴν τοῦ καθαροῦ καθαρωτέραν *Chr.Sac.*A(p.59).

σχηματικός, ? *one who believes that* Christ's humanity *is only in appearance,* not in reality Αἴγυπτοι, οἱ καὶ σ. καὶ μονοφυσῖται Jo.D. *haer.*83(M.94.741A, prob. f.l. for σχισματικοί).

σχημάτισμα, τό, *pretence* κενοδοξία...σ. φιλοπονίας †Nil.*vit.*4(M. 79.1144C).

σχηματισμός, ὁ, 1. *form*; **a.** *shape, similitude,* of devils ἀλάττοντες τὰς μορφάς, καὶ τοὺς παῖδας ἐκφοβοῦντες, τῇ τῶν ὄχλων φαντασίᾳ καὶ τοῖς σ. Ath.*v.Anton.*28(M.26.888A); of incorporeal beings as depicted ὡς δυνατὸν συγγενέσιν ἀναπλάττειν τε καὶ ἐκφαίνειν σχηματισμοῖς Dion.Ar.*c.h.*2.2(M.3.137C); ἐμπυρίοις σ. id.*ep.* 9.2(M.3.1108D); τοῖς...μὴ ἔχουσι σ. σωματικῶς Jo.D.*imag.*3.24(M.94. 1344D); **b.** external *form* or *appearance,* Meth.*symp.*10.5(p.127.3; M.18.200C); τὸν ἔνδον καρπὸν...οὐ τὸν ἐκ φύλλων ἐπικείμενον σ. Mac. Aeg.*ep.*2(M.34.413C); τοὺς ἔξωθεν σ. οἷς τὰ πάθη ἡμῶν ἐπισκιάζομεν †Bas.*Is.*62(1.424E; M.30.228B); Cyr.*fr.Mt.*23:26(M.72.440B); of BMV, Andr.Cr.*imag.*(M.97.1304C); hence **c.** *pretence* ὄργανον ἀπάτης καὶ τέχνη σχηματισμοῦ Bas.*Eun.*1.4(1.213C; M.29.513A); **2.** *style* of dressing hair, Clem.*paed.*3.2(p.242.23; M.8.572B); **3.** astrol., *configuration* οἱ ἀστέρες κατὰ τοὺς διαφόρους σ. Or.*comm. in Gen.*ap.Eus.*p.e.*6.11(281C; M.12.52A); *ib.*(286C; M.61A); id.*Cels.* 5.21(p.22.23; M.11.1213A); Diod.*fat.*ap.Phot.*cod.*223(M.103.860D); **4.** in language; **a.** *figure of speech,* Clem.*str.*6.15(p.497.16; M.9. 353B); Thdr.Mops.*Rom.*8:26(p.140.1; M.66.828C); *ib.*(p.140.22; 829B); id.*Ps.*17:10(p.114.1; M.66.664A); Isid.Pel.*epp.*2.177(M.78. 629A); **b.** *grammatical construction* ὁ δὲ σ. τῆς ἡμετέρας γλώττης μὴ συμβαίνων τῷ σ. τῆς Ἑβραϊκῆς εὐγλωττίας Gr.Nyss.*hom.*2 *in Cant.* (M.44.796B).

***σχηματόγραπτος,** *circumscribed in a form* τὸ σῶμα [i.e. Christ's] σ. πέλει Thdr.Stud.*iamb.*31(M.99.1792C).

***σχηματολογία, ἡ,** *transference of application,* Cyr.*Rom.*7:13 (Pusey 5 p.201 not.).

***σχηματολόγιον, τό,** *complete monastic habit* τίθησιν ὁ ἱερεὺς ἐπάνω αὐτοῦ τὸ σ. *Euchol.*(p.385).

σχηματοποι-έω, *give a representation of, represent,* Just.*dial.*30.2 (M.6.540A); τὰ τῆς κωμῳδίας αἰσχρὰ...διηγεῖσθαι...~οῦντες τῶν παλαιῶν τοὺς μύθους Epiph.*haer.*73.1(p.268.2; M.42.401A); id.*exp. fid.*16(p.517.4; M.42.813A); Thdr.Mops.*Ps.*49 proem.(p.324.16).

σχηματοποιΐα, ἡ, *figurative representation* συνθέσεις φησὶ τὰς εἰρημένας πλάσεις καὶ σ. Max.*schol.c.h.*2.2(M.3.37A).

σχηματουργέω, *fashion, make,* Geo.Pis.*hex.*1071(M.92.1516A); id. *Heracl.*2.139(M.92.1326A); *ib.*2.205(1331A).

σχηματουργία, ἡ, 1. *configuration*; of stars, Tat.*orat.*9(p.10.22; M.6.928A); **2.** *symbolism* διὰ τῆς παραπεποιημένης αὐτῶν [sc. Adamites] σ. Epiph.*haer.*52.3(p.314.11; M.41.957C).

***σχιαστή, ἡ,** a kind of *tunic,* Jo.Mal.*chron.*18 p.457(M.97.669B).

***σχιδακίζω,** *cleave, splinter,* Epiph.*anc.*103(p.124.16; M.43.204A).

σχιδανόπους, *with parted toes,* Clem.*str.*7.18(p.78.2; M.9.556B).

[*]σχιδάριον, τό, v. σχεδάριον.

σχίζα, ἡ, *cleavage*; hence *fork* of a road, Synes.*provid.*3(p.69.4; M.66.1216C).

σχιζίον, τό, *small piece,* Cyr.S.*v.Sab.*24(p.107.25).

σχιζόπτερος, *with cloven,* i.e. *feathered, wings*; of birds, Bas.*hex.* 8.3(1.72E; M.29.169C).

σχίζ-ω, 1. trans., *divide*; **a.** in gen. ~οντας τὴν τῶν προσεχόντων αὐτοῖς ψυχήν Or.*Cels.*5.3(p.4.4; M.11.1185A); τὸν βίον αὐτῷ ~όμενον πρὸς ἀρετὴν καὶ κακίαν Bas.*hom.in Ps.*1(1.95C; M.29.224A); **b.** theol. μιὰ θεότης...ἐν τριάδι·...καὶ ~ειν αὐτὴν εἰς διαφόρους φύσεις τολμᾶτε Ath.*Ar.*1.18(M.26.48C); μὴ ~ων τὴν προσκύνησιν, ἀλλ' ἑνῶν τὴν θεότητα ‡Bas.*struct.hom.*1.2(1.325C; M.30.13B); μήτε τὸ τῆς μοναρχίας ~εσθαι κράτος εἰς θεότητας διαφόρους κατατεμνόμενον Gr.Nyss.*or. catech.*3(p.16.8; M.45.17D); ἐν υἱῷ γνῶθι πατέρα, ἐν πατρὶ δόξασον υἱόν...μὴ ~ε τὰ ἄσχιστα. κἂν γὰρ θέλῃς, οὐ ~εται Didym.(‡Bas.) *Eun.*5(1.317C; M.29.760D); **2.** *divide, separate, be in schism,* act. εἴ τις ~οντι ἀκολουθεῖ Ign.*Philad.*3.3; ἕνεκεν τοῦ μὴ σχίσαι Dion.Al. ap.Eus.*h.e.*6.45(M.20.633B); Arsen.Hyps.*ep.*(p.147.16; M.25.372C); τοὺς...'Ημιαρείους...καὶ τοὺς ἀπ' αὐτῶν σχίσαντας Epiph.*haer.*73.37 (p.311.25; M.42.472A); pass. τέμνονται καὶ ~ονται καὶ στάσεις ἰδίας ἔχειν ἕκαστοι θέλουσιν Cels.ap.Or.*Cels.*3.9(p.210.16; M.11.392C); μετὰ τοῦ ~εσθαι καὶ ἀποπίπτειν τοῦ θεοῦ Or.*Cels.*8.62(p.278.22; 1609D); id. *Jo.*13.13(p.237.29; M.14.420A); Const.ap.Eus.*v.C.*2.69(p.68.25; M.20. 1041B); μὴ ~εσθαι τὰς ἐκκλησίας Jul.Papa ap.Ath.*apol.sec.*32(p.111. 7; M.25.301C); **3.** *cut off, separate* μὴ δέξησθε...τὰ γράμματα αὐτοῦ, ἀλλὰ σχίσατε καὶ δυσωπήσατε τοὺς κομίζοντας Ath.*ep.encycl.*7(p.176. 26; M.25.237B); **4.** *make a schism in* τοῖς ~ουσι τὴν ἐκκλησίαν Chrys.*hom.*11.5 *in Eph.*(11.86F); τοῦ εἰς αἵρεσιν ἐμπεσεῖν τὸ τὴν ἐκκλησίαν σχίσαι οὐκ ἔλαττόν ἐστι κακόν *ib.*(88A).

σχίσις, ἡ, *cleavage, parting*; of rivers, Hipp.*haer.*6.15(p.141.15; M.16.3215C); of the heavens at Christ's baptism, Or.*fr.*20 *in Jo.* (p.500.29).

σχίσμα, τό, 1. *division, cleavage,* within Godhead ἡ τοίνυν δὸς ἐκεῖ σχίσματα, ἵνα εἴπωμεν τρεῖς θεούς...ἤ, εἰ οὐκ ἔνι σ., εἷς θεὸς πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα ‡Ath.*dial.Trin.*1.2(M.28.1120C); **2.** *division, schism,* dist. from heresy, Bas.*ep.*188 *can.*1(3.268D; M.32.665A) cit. s. αἵρεσις; *Melitiani,* οἱ ἐν Αἰγύπτῳ, σ. ὄντες ἀλλ' οὐχ αἱρεσις Epiph. *anac.*68(p.2.3; M.42.12A); Thdr.Stud.*epp.*1.40(M.99.1052D); but cf. αἱρέσεις ἐνταῦθα, οὐ ταύτας λέγων τὰς τῶν δογμάτων, ἀλλὰ τὰς τῶν σ. τούτων Chrys.*hom.*27.2 *in 1Cor.*(10.242B); σ. οὐ δογματικὰ λέγει, ἀλλ' ἐκεῖνα τὰ τῆς φιλαρχίας Thdt.*1Cor.*11:18(3.236); to be avoided, *Barn.*19.12; ἡμᾶς ὡς αἰτίους σχίσματος μέμψιν ὑπομεῖναι Ath.*apol. sec.*32(p.111.8; M.25.301C); ἀκμάζοντος...τοῦ σ. ἐν Ἀλεξανδρείᾳ Evagr.*h.e.*3.22(p.120.9; M.86.2641B); παῦσον τὰ σ. τῶν ἐκκλησίων *Lit.Jac.*(p.210.23).

***σχισματάριος,** *schismatic,* Pall.*v.Chrys.*16(p.99.20; M.47.56).

***σχισματικός,** *schismatic*; **1.** σ. κακόν Eus.*v.C.*3.4(p.78.29; M. 20.1057C); *ib.*3.66(p.113.26; 1144B); ἀνδρῶν *ib.*(p.113.19; 1144B); *Melitiani* οἱ ἀεὶ σ. CAlex.*ep.*ap.Ath.*apol.sec.*19(p.101.30; M.25. 280C); Ath.*v.Anton.*68(M.26.940B); **2.** as subst. ἡ τῶν αἱρετικῶν καὶ σ. διχόνοια Const.ap.Eus.*v.C.*3.65(p.112.21; M.20.1141B); οὐ δεῖ αἱρετικοῖς ἢ σ. συνεύχεσθαι CLaod.*can.*33; μηδεμία ἔστω ὑμῖν κοινωνία πρὸς τοὺς σ., μήθ' ὅλως πρὸς τοὺς αἱρετικοὺς Ἀρειανούς Ath.*v.Anton.* 91(M.26.969C).

***σχισματοποιός,** *making a schism* τοῦ σ. Μαρκίωνος Adam.*dial.* 1.8(p.18.2; M.11.1729B); τὰ περὶ Ἱεροβοὰμ καὶ Ῥοβοὰμ τῶν σ. ‡Ath. *synops.*(M.28.384B); masc. as subst. αἱρεσιαρχῶν καὶ σ. Epiph.*exp. fid.*12(p.512.17; M.42.804B).

σχισμή, ἡ, *crack*; in a stone, Herm.*vis.*3.6.3; Ephr.3.219C; in a stick, Herm.*sim.*8.10.1; *cleft*; in a mountain, *ib.*9.1.7.

***σχοινίζομαι,** *rope* δεθέντας αὐτοὺς καὶ σχοινισθέντας εἰς τοὺς τραχήλους *M.Seb.*7(p.177.2); ‡Chrys.*eleem.*1(1.819A).

σχοινίον, τό, 1. *rope,* in icons of angels τινὰ τὰ γεωμετρικὰ σ. Dion.Ar.*c.h.*15 tit.(M.3.325D); described later as τὰ δὲ γεωμετρικὰ καὶ τεκτονικὰ σκεύη *ib.*15.5(333B); fig. ἀναφερόμενοι εἰς τὰ ὕψη...σ. χρώμενοι τῷ πνεύματι τῷ ἁγίῳ Ign.*Eph.*9.1; exeg. Ps.15:6 σχοινία γὰρ τὰς ἐπιβουλὰς ὀνομάζει Thdt.*Ps.*15:6(1.691); σ. μέτρον ἐστίν Cyr. *Ps.*15:6(M.69.812A); **2. a.** a measure, equal to four miles, Hipp.*haer.* 9.13(p.251.14ff.; σχοίνων M.16.3387C); hence **b.** what is measured, a *lot, portion*; used for σχοίνισμα (Ps.104:11), Jo.D.*hom.*2.4(M.96. 584B).

σχοίνισμα, τό, 1. *portion, allotment,* freq. in biblical phrase σ. κληρονομίας Meth.*symp.*10.6(p.128.27; M.18.204A); Eus.*d.e.*2.3(p.66. 31; M.22.121B); Cyr.*Is.*4.1(2.579C); ὑμεῖς κλητοὶ ἅγιοι..., σ. κυρίου τὸ κράτιστον Gr.Naz.*or.*42.9(M.36.469B); πλάτυνόν σου ἐν ἐμοὶ τὰ σ., τὰς ἐνεργείας τοῦ παναγίου πνεύματος Jo.D.*hom.*2.7(M.96.588C); **2.** = σχοινίον, *mooring rope,* Ephr.1.214C.

σχοινοειδής, *like a rope* or *cord,* Gr.Nyss.*res.*3(M.46.669B).

***σχοῖνον, τό,** *rope,* Jo.Mal.*chron.*11 p.279(M.97.421B).

***σχοινοπλοκ-έω,** *make a rope,* fig. μὴ λάθῃς...~ῶν κατὰ σαυτοῦ τῇ συνηθείᾳ τῆς ἁμαρτίας Chrys.*fr.in Pr.*5:22(M.64.669C).

σχοῖνος, ὁ, ἡ, 1. *a reed pen,* Clem.*str.*6.3(p.449.9; M.9.253B); **2.** = σχοίνισμα 1, Apoll.*met.Ps.*15:6(M.33.1328D).

σχοινοστρόφος, ὁ, *rope-maker,* Chrys.*catech.*2.4(2.242B).

***σχοινωτός,** *twisted like a rope*; of a pillar, Cosm.Ind.*top.*2(M.88. 101B).

σχολάζ-ω, 1. *have leisure*; **a.** *do nothing* οὐ δεῖ Χριστιανοὺς Ἰουδαΐζειν καὶ ἐν τῷ σαββάτῳ σ. ... τὴν δὲ κυριακὴν προτιμῶντας εἶγε δύναιντο σ. ὡς Χριστιανοί CLaod.*can.*29; of a newly-clothed monk ὀφείλει προσκαρτερεῖν ἐν τῇ ἐκκλησίᾳ ἡμέρας πέντε, ~ων ἀπὸ παντὸς ἔργου, ἄνευ ἀναγνώσεως, εἰ ἐπίσταται *Euchol.*(p.388); **b.** *be unoccupied,* ἐπίσκοπος ~ων ἐπὶ ~ουσαν ἐκκλησίαν ἑαυτὸν ἐπιρρίψας CAnt.(341)*can.* 16; σ. ἀπὸ τοῦ ἱερατικοῦ ἀξιώματος Dam.Papa ap.Thdt.*h.e.*5.11.6(3. 1038); **2.** *be at leisure*; **a.** *be still,* cf.Ps.45:11 ὄντινα γνῶναι οὐκ ἔστιν μὴ σχολάσαντα καὶ ἐκκαθάραντα τὸν νοῦν Or.*Jo.*19.3(p.301.22; M.14.529B); ἴδιόν ἐστι τοῦ ~οντος ἐκζητεῖν τὸν θεόν Bas.*hom.in Ps.* 45(1.175E; M.29.429A); σχόλασόν μοι, τέκνον Marc.Diac.*v.Porph.*26; Jo.Clim.*scal.*29(M.88.1152B); **b.** *be free* from, esp. from things of this world σχολασάτω ἀπὸ τοῦ κόσμου †Didym.ap.Jo.D.*parall.*(M. 96.483A); καρδίαν ἀνθρώπου ~ουσαν ἀπὸ πάσης ἀκαθαρσίας Cyr.*Lc.* 11:25(M.72.705D); ‡Pall.*h.mon.*1.27(p.11.21; M.34.1116D); **c.** *be free* to, *have the opportunity* διὰ τὴν εἰρήνην ~ει τὸν διαβόητον οἰκοδομῆσαι ναόν Or.*Jo.*6.1(p.107.7; M.14.200A); abs., *be free*: of a woman, *be unbetrothed,* Bas.*ep.*199 *can.*22(3.293B; M.32.721A); **d.** *have rest* or *respite*; **i.** *cease* πάντα τὰ πρὸ τούτου...νῦν ἀμνηστίᾳ παραδοθῆναι, πᾶσάν τε ὑποψίαν σχολάσαι τοῦ λοιποῦ Const.ap.Ath.*apol.sec.*54(p.135. 9; M.25.348B); ἐὰν...ἐάσαι τὸ πῦρ σχολάσαι Diad.*perf.*97(p.144.11); ἐὰν...μὴ σχολάσῃ...τοῦ μεμνῆσθαι τοῦ θεοῦ *ib.*100(p.148.9); πάσης

ἀπάτης ~ούσης Procl.CP *Arm.*12(p.193.10; M.65.868C); hence **ii.** *be useless, antiquated* τὰ...ἐν Νικαίᾳ πραχθέντα σ. ποιήσωμεν Ath.*syn.*7 (p.235.1; M.26.689C); ἐκελεύθη τῆς προτέρας ἐκδόσεως ~ούσης [sc. of Justinian Code] αὐθεντεῖσθαι *Chron.Pasch.*p.344(M.92.896B); **iii.** *be of no avail,* Nil.*Magn.*12(M.79.984D); τὸ ἐν τῷ ᾅδῃ ~ειν μετάνοιαν *cat.Apoc.*14:10(p.392.21); **iv.** pass., of Devil at Christ's temptation, ? *be unsuccessful* οὔτε εἰς ὁδὸν αὐτὸν ἔδωκεν [sc. *Χριστός*], ἀλλ' ἀφῆκεν αὐτὸν οὕτω ~εσθαι Eus.Al.*serm.*11(M.86.377B); **3.** *have leisure* or *time* for a thing, *devote one's time* to a thing, *be intent* on a thing, esp. ref. prayer (cf. 1Cor.7:5) or fasting ἐσχόλαζον ταῖς εὐχαῖς Or. *hom.19.13 in Jer.*(p.169.13; M.13.489A); ἐσχόλαζον ταῖς συνάξεσι Ath. *apol.Const.*4(M.25.600C); σ. ταῖς προσευχαῖς CLaod.*can.*1; σ. θεωρίᾳ *Apophth.Patr.*(M.65.208B); c. acc. τὰς νηστείας σ. Const.ap.Eus.*v.C.* 3.18(p.86.12; M.20.1077A); *bend* the mind σ. τὴν διάνοιαν εἰς τὸ μαθεῖν Cyr.H.*procatech.*16; also in gen. ἀμφὶ τὴν Ἰταλίαν καὶ πάντα τὰ ἀμφὶ ταύτην ἔθνη ἐσχόλαζεν Eus.*theoph.fr.*6(p.20*.17; M.24.628C); *ib.*16 (p.34*.7; 656B); περὶ τὸ ἐξωθεῖν μόνον ἐσχόλαζον Socr.*h.e.*2.27.4(M. 67.269C); **4.** *spend time* in a place, *frequent, be* τῷ ὄρει μὲν τῷ Ἀμανῷ σ. Thdt.*h.rel.*9(3.1192); ἐν εἱρκτῇ διατρίψαντα id.*ep.*83(p.48.26, v.l. σχολάσαντα 4.1145); σ. τῇ ἁγίᾳ ἐκκλησίᾳ Marc.Diac.*v.Porph.*31; **5.** of a place, *be vacant* ἐπὶ ἐρεμίζοντα τόπον καὶ ἀνδρῶν ἐσχοληκότα παριόντες Eus.*qu.Marin.suppl.*1(M.22.988B); *ib.*(981B); of a see, CAnt.(341)*can.*16; ~ουσαν καὶ ἐκδεχομένην αὐτὸν τὴν ἐκκλησίαν εὗρεν Jul.Papa *ep.Dian.*(p.109.4; M.25.297B); ἐπὶ ἔτη ὀκτὼ λέγεται τὸν ἐν Ἀντιοχείᾳ θρόνον τῆς ἐκκλησίας σχολάσαι Socr.*h.e.*1.24.8(M.67.145B); hence *be reserved* for ἔδει γὰρ ⟨αὐτῷ⟩ μόνῳ ~ειν [sc. Christ's tomb] τῷ μόνῳ παραδόξῳ νεκρῷ Eus.*theoph.fr.*3(p.14*.12; M.24.620A).

σχολαῖος, 1. of a bishop, *without a see,* Socr.*h.e.*4.7.11(M.67. 473B); **2.** *at leisure, unoccupied* πῶς...ἐγχωρεῖ, τὸν μὲν ἄρχειν, τὸν δέ, ὡς ἐν ἀνθρώποις, σχολαῖον εἶναι, ὅταν ὁ πατὴρ ἐν τῷ υἱῷ καὶ ὁ υἱὸς ἐν τῷ πατρὶ μένει; Didym.*Trin.*1.31(M.39.425A).

***σχόλασις, ἡ,** *being at leisure,* ᾧ ἡσυχία, σ. προσευχῆς καὶ ἀναγνώσεως ‡Chrys.*pat.et consumm.*(12.819E).

σχολαστής, ὁ, *one who has leisure*; for contemplation, Jo.Clim. *scal.*29(M.88.1152B).

σχολαστικός, masc. as subst.; **1.** *one who has passed through the* σχολὴ τῶν γραμμάτων, *one with a general education* ἀπέρχεται πρὸς τὴν σχολὴν τῶν γραμμάτων...εἶτα ὅταν γένηται σ. ὅλων τῶν δικολόγων ἀρχάριος καὶ ἔσχατός ἐστι Mac.Aeg.*hom.*15.42(M.34.604D); σ., ὁ μετρίως μαθὼν γράμματα *ib.*26.17(685B); **2.** *advocate, lawyer* ἐάν τις πλούσιος ἢ σ. ἀπὸ τῆς ἀγορᾶς ἀξιοῖτο ἐπίσκοπος γίνεσθαι, μὴ πρότερον καθίστασθαι, ἐὰν μὴ καὶ ἀναγνώστου καὶ διακόνου καὶ πρεσβυτέρου ὑπηρεσίαν ἐκτελέσῃ CSard.*can.*10; τοῦ σ. Εὐσεβίου Socr.*h.e.*6.6.36(M. 67.681A); σ. Ἰωάννης ὁ τοῦ ἐκσπελλευτοῦ Cyr.S.*v.Sab.*61(p.163.3); Jo.Mosch.*prat.*131(M.87.2996B); Ἀναστάσιος πατριάρχης γενόμενος Ἀντιοχείας ὁ ἀπὸ σ. *Chron.Pasch.*p.382(M.92.980A); for church affairs, *Cod.Afr.*97.

***σχολαστικῶς,** *in the fashion of the schools,* Gr.Nyss.*hex.*6(v.l. στοχαστικῶς; M.44.68C).

σχολή, ἡ, 1. *leisure, rest*; **a.** on the sabbath διὰ τὴν πρὸς τὸ ἀκούειν τῶν θείων νόμων σ. τὰ καλούμενα σάββατα Or.*Cels.*4.31(p.302. 4; M.11.1076C); Eus.*p.e.*7.6(304D; M.21.516D); **b.** on Sunday τοῖς ὑπὸ τῇ Ῥωμαίων ἀρχῇ πολιτευομένοις ἅπασι σ. ἄγειν ταῖς ἐπωνύμοις τοῦ σωτῆρος ἡμέραις ἐνομοθετεῖ Eus.*v.C.*4.18f.(p.124.15f.; M.20. 1165Bf.); τὴν δὲ κυριακὴν καλουμένην ἡμέραν...ἐνομοθέτησε [sc. Κωνσταντῖνος] δικαστηρίων καὶ τῶν ἄλλων πραγμάτων σ. ἄγειν πάντας, καὶ ἐν εὐχαῖς καὶ λιταῖς τὸ θεῖον θεραπεύειν Soz.*h.e.*1.8.11(M. 67.881A); **c.** its employment, in philosophy ὁ γνωστικὸς...εἰ δέ που σχολὴ καὶ ἀνέσεως καιρὸς ἀπὸ τῶν προηγουμένων, ἀντὶ τῆς ἄλλης ῥᾳθυμίας καὶ τῆς Ἑλληνικῆς ἐφάπτεται φιλοσοφίας Clem.*str.*6.18 (p.515.18; M.9.396A); Christian use of leisure dist. from pagan αὕτη μὲν οὖν ἡ σ. ἀγαθὴ τῷ σχολάζοντι καὶ ὠφέλιμος, ἡσυχίαν ἐμποιοῦσα πρὸς τὴν τῶν σωτηρίων διδαγμάτων ἀνάληψιν. πονηρὰ δὲ σ. ἡ τῶν Ἀθηναίων, οἳ 'εἰς οὐδὲν ἄλλο εὐκαίρουν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον' ἦν καὶ νῦν τινες μιμοῦνται, τῇ τοῦ βίου σ. πρὸς τὴν ἀεί τινος καινοτέρου δόγματος εὕρεσιν ἀποχρώμενοι Bas.*hom.in Ps.*45(1. 175Ef.; M.29.429A); cf. σχολῆς χρεία πρὸς τὸ γνῶναι τὸν κύριον Or. *sel.in Ps.*45:11(M.12.1436B) = Ath.*exp.Ps.*45:11(M.27.216D); 'σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ θεός' ὥστε πολλῆς σ. χρεία τῷ μέλλοντι ταύτης ἀπολαύσεσθαι τῆς φιλοσοφίας Chrys.*bapt.*1(2.369A); to be spent in prayer, CArim.*ep.Const.*1 ap.Ath.*syn.*10(p.238.29; M. 26.700B); hence **2.** *study, attention* ἀνεξικάκως ἐπηκροᾶτο βασιλεὺς τῶν πάντων σχολῇ τε εὐτόνῳ τὰς προτάσεις ὑπεδέχετο Eus.*v.C.*3.13 (p.83.18; M.20.1069B); χρῆναι τὴν πᾶσαν σ. διδόναι τῇ ψυχῇ μᾶλλον ἢ τῷ σώματι Ath.*v.Anton.*45(M.26.909A); esp. of divine things τῆς περὶ τὸ θεῖον σ. Eus.*d.e.*1.9(p.40.27; M.22.77D); id.*h.e.*6.15(M.20. 553B); **3.** *vacancy*; **a.** *vacant space* or *place, room* σ. οὔσης ἐν τῇ Βηθλεέμ, κατὰ τὸν Ματθαῖον εὐπόρουν καταγωγίου id.*qu.Steph.*16.3 (M.22.936C); **b.** *free access* σ. αὐτοῖς εὑρεπῆ διὰ τῆς τῶν φρουρῶν ἀπελάσεως id.*qu.Marin.suppl.*1(M.22.985B); **4.** *deprivation* τὸ τῆς γνώμης ἡμῶν ἀκόλαστον τῇ σ. τῆς παρακλήσεως κολάζων Diad.*perf.*87 (p.120.13); **5.** *relaxation* of a rule σ. τῇ συνήθει διαίτῃ *ib.*46(p.52.12); **6.** *school, party*; **a.** of a theological school or group Ἡρακλέων ὁ τῆς Οὐαλεντίνου σ. δοκιμώτατος Clem.*str.*4.19(p.280.11; M.8.1281B); Οὐαλεντῖνος...καὶ Ἡρακλέων καὶ Πτολεμαῖος καὶ πᾶσα ἡ τούτων σ. Hipp.*haer.*6.29(p.155.20; M.16.3235B); Σαβέλλιον καὶ τὴν αὐτοῦ σ. Epiph.*haer.*69.69(p.217.31; M.42.313C); **b.** of catechumens and newly baptized persons, Eus.*h.e.*6.4.3(M.20.532B); **c.** of secular groups: imperial guard and civil bureaux στρατιώτης τῶν περὶ τὸν βασιλέα σχολῶν Pall.*v.Chrys.*20(p.129.1; M.47.72); ἀπὸ τῆς πρώτης τῶν σχολαρίων σ. εἰς τὸν μοναδικὸν μεταστάντα βίον Cyr.S.*v.Sab.*38 (p.128.18); *Chron.Pasch.*p.391(M.92.1004B); of *silentiarii,* Evagr.*h.e.* 3.29(p.125.13; M.86.2653C); **7.** *idleness, waste of time* ὁπότε γὰρ τοῦ εὐαγγελίου ἀποτροπάδην ἦλθον, σ. περὶ αὐτῶν [sc. κανόνων] φροντίζειν Thdr.Stud.*epp.*1.34(M.99.1025C).

***σχολιογραφέω,** *make notes on* εἴποιμ' ὅτι τὰ μὲν νοήματα τοῦ ἀποστόλου ἐστίν, ἡ δὲ φράσις καὶ ἡ σύνθεσις ἀπομνημονεύσαντός τινος τὰ ἀποστολικὰ καὶ ὥσπερ σχολιογραφήσαντός τινος τὰ εἰρημένα ὑπὸ τοῦ διδασκάλου Or.*fr.in Heb.*ap.Eus.*h.e.*6.25.13(M.14.1309A).

σχόλιον, τό, 1. *interpretation, comment, short note,* ‡Ath.*dial. Trin.*2.5(M.28.1164D); Justn.*conf.*(p.80.5; M.86.1001D, referring to Cyr.*schol.inc.*13); Anast.S.*hod.*proem.(M.89.36B); **2.** *extract, passage quoted* (interpretation being called ἔλεγχος) σ. ἀπὸ τοῦ εὐαγγελίου τοῦ παρ' αὐτῷ τῷ *Μαρκίωνι* Epiph.*haer.*42.11 tit.(p.125.1; M.41. 728B); *ib.*(p.125.19; 728D).

***σχολίον, τό,** = σχολεῖον, *school* σ. τῶν παιδίων Leont.N.*v.Sym.* 31(M.93.1703C).

***σχολιοποι-έω,** *make with explanatory notes* ἡ ~ηθεῖσα σύντομος Epiph.*haer.*42.11(p.124.22; M.41.728A).

σώζ-ω, *save, preserve*;

A. in gen.; **1.** from sickness or afflictions, *1Clem.*59.4; Just.*dial.* 112.1(M.6.733B); δι' οὗ σημείου ἐσώζοντο οἱ ὀφιόδηκτοι *ib.*94.1(700B); *Ev.Thom.*A 18.2(p.149); τίς οὖν ἡ διαφορὰ τοῦ ~εσθαι καὶ τοῦ ῥύεσθαι; ὅτι τῆς σωτηρίας μὲν κυρίως οἱ ἀσθενοῦντες χρήζουσι, τοῦ ῥυσθῆναι δὲ οἱ ἐν τῇ αἰχμαλωσίᾳ κατεχόμενοι Bas.*hom.in Ps.*7(1.99A; M.29.232B); **2.** in health, esp. as a salutation ~εσθε *Barn.*21.9; σωθείης *Apophth. Mac.Aeg.*3.3(M.34.240C); *Apophth.Patr.*(M.65.240A); **3.** ? *come safely*; hence simply *come* ἄρχεται τὸ λυχνικόν· καὶ ὅπου σώσει ἡ ἀπόλυσις, ἐσθίομεν *Const.Stud.*30(M.99.1716C).

B. ref. salvation; **1.** by God τοῦτο γὰρ τὸ μέγιστον καὶ βασιλικώτατον ἔργον τοῦ θεοῦ, ~ειν τὴν ἀνθρωπότητα Clem.*paed.*1.12(p.150. 4; M.8.369C); Or.*princ.*3.1.7(p.206.8; M.11.260C); Ath.*inc.*44.1(M. 25.173B); Father, Clem.*prot.*10(p.68.30; M.8.208A); by Christ, Or. *hom.17.5 in Jer.*(p.149.6,7; M.13.461A); *Lit.*ap.*Const.App.*8.10.19,21; Χριστὸς...~ει τοὺς πιστεύοντας ἐν ἀνθρώπου μορφῇ ‡Ath.*Apoll.*2.7(M. 26.1144B); τὸ ~ειν τὸν κόσμον οὐκέτι διὰ τοῦ λόγου ἐλέχθη, ἀλλὰ διὰ τοῦ μονογενοῦς υἱοῦ ‡Ath.*Ar.*4.20(p.67.5; M.26.497C); Christ's body ἦλθεν ἐπὶ ταύτην [sc. τὴν γῆν] φορέσας σῶμα τὸ σῶσαν Or.*hom.7.3 in Jer.*(p.54.26; 333D); through men μὴ μόνον ἑαυτὸν θέλειν ~εσθαι, ἀλλὰ καὶ πάντας τοὺς ἀδελφούς *M.Polyc.*1.2; πολὺν μισθὸν λήψῃ, ἐὰν σωθῇ διὰ σοῦ ψυχή Ath.*virg.*9(p.43.13; M.28.261C); οὐδὲ γὰρ αὐτὸς τοῦτο πιστεύειν ἔχω, ὅτι ~εσθαί ἐνεστι τὸν οὐδὲν εἰς τὴν τοῦ πλησίον κάμνοντα σωτηρίαν Chrys.*sac.*6.10(p.159.17; 1.429E); Law unable to save, Meth.*symp.*10.3(p.152.2,3; M.18.197A); although intended to do so μὴ ἐπὶ τῷ βλάψαι ἀλλ' ἐπὶ τῷ σῶσαι ἐδόθη Meth.*res.*2.2(p.332. 6; M.18.300A); ὁ νόμος...οὐ ~ει Chrys.*hom.17.3 in Rom.*(9.624D); **2.** objects: God's will to save all men μιμοῦ τὸν θεόν· εἰ πάντας θέλει σωθῆναι, εἰκότως ὑπὲρ ἁπάντων δεῖ εὔχεσθαι· εἰ πάντας αὐτὸς ἠθέλησε σωθῆναι, θέλε καὶ σύ id.*hom.7.2 in 1Tim.*(11.585B); *ib.4.1*(568A); few saved πόσους οἴεσθε ἐν τῇ πόλει τῇ ἡμετέρᾳ εἶναι τοὺς ~ομένους;... οὐκ ἔστιν ἐν τοσαύταις μυριάσιν ἑκατὸν εὑρεῖν τοὺς ~ομένους· ἀλλὰ καὶ ὑπὲρ τούτων ἀμφισβητῶ id.*hom.24.4 in Ac.*(9.198B); ὀδύρομαι, ἐννοῶν ὅσον πλῆθος ἀπόλλυται τῶν ~ομένων id.*hom.in Rom.12:20*(3. 158E); including simpler people ~εσθαι χρὴ καὶ τοὺς ἁπλουστέρους προσιόντας κατὰ δύναμιν τῇ θεοσεβείᾳ Or.*Cels.*6.13(p.83.31; M.11. 1309C); not the powerful but the willing, Gr.Naz.*or.*32.22(M.36. 200B); the soul ψυχὴ γὰρ οὐκ αὐτὴ τὸ πνεῦμα ἔσωσεν, ἐσώθη δὲ ὑπ' αὐτοῦ Tat.*orat.*13(p.14.9; M.6.833B); the flesh, Meth.*res.*1.51(p.305. 5; M.18.281A); τί καὶ περισσῶς σάρκα ἐφόρει, ἣν οὔτε σῶσαι οὔτε ἀναστῆσαι προῄρητο; *ib.*2.18(p.370.4; 284C); the body οὐχ ὡς ταύτης [sc. ψυχῆς] ~ομένης μόνης, ἀλλὰ...καὶ τὸ σῶμα κοινωνήσει τῆς σωτηρίας Chrys.*hom.15.2 in 1Cor.*(10.127D); flesh assumed by Christ

πρώτη τῶν ἄλλων ἐσώθη καὶ ἐλευθερώθη ἡ ἐκείνου σάρξ, ὡς αὐτοῦ τοῦ λόγου σῶμα γενομένη, καὶ λοιπὸν ἡμεῖς, ὡς σύσσωμοι τυγχάνοντες, κατ' ἐκεῖνο ~όμεθα Ath.*Ar.*2.61(M.26.277B); saints of OT οἱ πρὸ Μωϋσέως γενόμενοι δίκαιοι καὶ πατριάρχαι...~ονται ἐν τῇ τῶν μακαρίων κληρονομίᾳ Just.*dial.*67.7(M.6.632A); ἐνῆν γὰρ καὶ μὴ ὁμολογήσαντας τὸν Χριστὸν τότε σωθῆναι. οὐ γὰρ τοῦτο ἀπῃτεῖτο παρ' αὐτῶν, ἀλλὰ τὸ μὴ εἰδωλολατρεῖν, καὶ τὸ τὸν ἀληθινὸν θεὸν εἰδέναι Chrys.*hom.36.3 in Mt.*(7.411A); **3.** means of salvation: Christ's Inc. and suffering ταῦτα γὰρ πάντα ἔπαθεν δι' ἡμᾶς ἵνα σωθῶμεν Ign.*Smyrn.*2; εἰ γὰρ μὴ ἦλθεν ἐν σαρκί, πῶς ἂν ἐσώθησαν οἱ ἄνθρωποι βλέποντες αὐτόν; *Barn.*5.10; *M.Polyc.*17.2; cf. Χριστὸς...ἦν θεὸς καὶ ἔπασχεν δι' ἡμᾶς αὐτὸς ὢν πατήρ, ἵνα καὶ σῶσαι ἡμᾶς δυνηθῇ Hipp.*Noët.*2(p.237.29; M.10.805C); Ath.*hom.in Mt.11:27*(M.25.213A); κτίσμα δὲ ὑπὸ κτίσματος οὐκ ἂν ποτε ἐσώθη id.*ep.Adelph.*8(M.26.1081D); μέρος δὲ κόσμου κόσμον σῶσαι οὐ δύναται ‡Ath.*Apoll.*2.7(M.26.1144A); through faith διὰ τῆς ἐν τούτῳ πίστεως πάντες...οἱ πιστεύοντες ~εσθαι δύνωνται Ath.*Ar.*2.81(M.26.320A); Gr.Naz.*carm.*2.1.11.1229(M.37.1113A); Chrys.*hom.8.1 in Rom.*(9.497A); by grace ἡ χάρις ~ει id.*hom.45.1 in Ac.*(9.337C); with man's co-operation ἡ θεία χάρις τῇ ἀνθρωπίνῃ κιρνωμένη προθυμίᾳ ~ει τὸν ἄνθρωπον Isid.Pel.*epp.*4.51(M.78.1101A); cf. δεῖ γὰρ τὸ ἐφ' ἡμῖν εἶναι καὶ τὸ ἐκ θεοῦ ~εσθαι Gr.Naz.*or.*37.13(M.36.297D); ἐν τῇ γνώμῃ κεῖται τῇ ἡμετέρᾳ, τὸ σωθῆναι καὶ ἀπολέσθαι Chrys.*hom.47.4 in Jo.*(8.281C); Anast.S.*qu.et resp.*55(M.89.617Df.); orthodox belief εἴ τις θέλει σωθῆναι, πρὸ πάντων χρὴ αὐτῷ τὴν καθολικὴν κρατῆσαι πίστιν ‡Ath.*symb.*1(M.28.1581A); through faith and works οὐ γὰρ τοὺς μόνον λέγοντας, ἀλλὰ τοὺς καὶ τὰ ἔργα πράττοντας σωθήσεσθαι Just.*apol.*16.8(M.6.353B); οὐχὶ ἔχοντας ἔργα ἀπώσατο, ἀλλὰ προδεδομένους ἀπὸ τῶν ἔργων χάριτι ἔσωσεν, ὥστε μηδένα λοιπὸν ἔχειν καυχᾶσθαι Chrys.*hom.4.2 in Eph.*(11.28C); οὐκ ἐνὸν ἀπὸ πίστεως μόνον σωθῆναι· χρὴ γὰρ τῇ πίστει κρίνεσθαι τὰς πράξεις Isid.Pel.*epp.*4.65(M.78.1121C); σεσώσμεθα γὰρ 'οὐκ ἐξ ἔργων δικαιοσύνης...' ἀλλ' ἐξ ἡμερότητος τοῦ θεοῦ καὶ πατρός Cyr.*Abac.*42(3.557C); in view ascribed to Apoll. ἀλλὰ λέγετε, τῇ ὁμοιώσει καὶ τῇ μιμήσει ~εσθαι τοὺς πιστεύοντας, καὶ οὐ τῇ ἀνακαινίσει καὶ τῇ ἀπαρχῇ ‡Ath.*Apoll.*2.11(M.26.1149C); by mediation of BMV οὐδεὶς γὰρ ὁ ~όμενος εἰ μὴ διὰ σοῦ, πανάμωμε Germ.CP *or.*9(M.98.380B); **4.** salvation being from spiritual death, Just.*dial.*105.6(M.6.721C); Or.*hom.16.5 in Jer.*(p.137.29; M.13.445B); and physical death, Meth.*symp.*9.2(p.116.20; M.18.181B); Ath.*inc.et c.Ar.*5(M.26.992A); sin, Just.*dial.*111.4(M.6.733A); **5.** Gnost. doctrine of those naturally predisposed to salvation φύσει ~ομένου, ὡς Οὐαλεντῖνος βούλεται, τινός καὶ φύσει πιστοῦ καὶ ἐκλεκτοῦ ὄντος, ὡς Βασιλείδης νομίζει Clem.*str.*5.1(p.327.26; M.9.12C); τὸ...πνευματικὸν φύσει ~όμενον Clem.*exc.Thdot.*56(p.125.18; M.9.685C); **6.** perf. ptcpl. pass., of priests who have not lapsed into heresy, Thdr.Stud.*epp.*2.103(M.99.1617C); *ib.*2.211(1637C); *ib.*2.215(1649A).

[*]σωκάρην, τό, = *σωκάριον*, dimin. of *σόκος, lasso,* Jo.Mal.*chron.*14 p.364(M.97.541B).

***σωκίζω,** *catch with a lasso, noose,* Thphn.*chron.*p.184(M.108.480C).

§σῶκος, ὁ, = [*]*σόκος, lasso, noose,* Thphn.*chron.*p.184(M.108.480C).

***Σωκρατίτης, ὁ,** *disciple of Socrates,* name sometimes given to certain Gnostics οἱ καὶ Στρατιωτικοὶ καὶ Φιβιωνῖται, παρὰ δέ τισι Σεκουνδιανῖται, παρ' ἄλλοις δὲ Σ. Epiph.*anc.*13(p.21.17; M.43.40B); Jo.D.*haer.*26(M.94.693A).

***σωλεία, ἡ,** v. **σολαία.*

σωλήν, ὁ, *channel,* in Valent. image of Inc. τὸν διὰ Μαρίας διοδεύσαντα, καθάπερ ὕδωρ διὰ σωλῆνος ὁδεύει Iren.*haer.*1.7.2(M.7.513A); Adam.*dial.*5.9(p.190.25; M.11.1845A); Cyr.H.*catech.*4.9; Chrys.*hom.4.3 in Mt.*(7.51A); Thdt.*ep.*145(4.1248) cit. s. *πάροδος*; Martin.ap.CLater.*act.*3(H.3.772B).

***σωληνοδοχεῖον, τό,** *pipe container*; part of a musical instrument, Sever.*Abr.*4(M.56.558).

σωληνοειδῶς, *like a pipe,* Gr.Nyss.*hom.opif.*30.25(M.44.249C).

σῶμα, τό, *body*;

I. of man; **A.** earthly; **1.** in rel. to soul; **a.** together with soul constituting man, Eus.*p.e.*6.6(246A; M.21.417D); σ. τέλειον τουτέστιν ἄνθρωπον τέλειον ψυχῇ καὶ σ. Epiph.*anc.*117(p.145.7; M.43.229B); Nemes.*nat.hom.*1(M.40.504A); Cyr.*inc.unigen.*(5[1].697C); this the scriptural view, Thdt.*eran.*2(4.73); **b.** their connexion ἔσπαρται κατὰ πάντων τῶν τοῦ σ. μελῶν ἡ ψυχή...οἰκεῖ μὲν ἐν τῷ σ. ψυχή, οὐκ ἔστι δὲ ἐκ τοῦ σ. *Diogn.*6.2,3; ἐν τῷ σ. ἐστιν ἡ ψυχή Just.*dial.*4.4(M.6.485A); δέμας κέκληται τὸ σ. διὰ τὸ δεδέσθαι τὴν ψυχὴν ἐν τῷ σ. Or.*princ.*1.8.1(p.97.3); ἐπὰν...ἐν σ. λέγηται [sc. ἡ ψυχή] εἶναι, οὐχ ὡς ἐν τόπῳ, τῷ σ. ... ἀλλ' ὡς ἐν σχέσει Nemes.*nat.hom.*3 (M.40.600A); ἡ δὲ ψυχὴ συνδέδεται τῷ σ. ὅλῃ ὅλῳ, καὶ οὐ μέρος μέρει· καὶ οὐ περιέχεται ὑπ' αὐτοῦ, ἀλλὰ περιέχει αὐτό, ὥσπερ πῦρ σίδηρον Jo.D.*f.o.*1.3(M.94.853A); created simultaneously μήτε ψυχὴν πρὸ τοῦ σ. μήτε χωρὶς ψυχῆς τὸ σ. ... ἀλλὰ μίαν ἀμφοτέρων ἀρχήν Gr.Nyss.*hom.opif.*29.3(M.44.236B); οὐδὲ προϋπάρχουσιν αἱ ψυχαὶ τῶν σ., ὡς οἱ Μανιχαῖοι δογματίζουσι ‡Ath.*qu.Ant.*16(M.28.608A); ἅμα δὲ τὸ σ. καὶ ἡ ψυχὴ πέπλασται· οὐ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον, κατὰ τὰ Ὠριγένους ληρήματα Jo.D.*f.o.*2.12(M.94.921A); φάσκοντες [sc. Origenists] τὴν μὲν ψυχὴν προϋπάρχειν τοῦ σ., τὸ δὲ σ. τοὺς δερματίνους εἶναι χιτῶνας *Schol.* in Leont.et Jo.*sacr.*2(M.86.2036A); **c.** in tripartite constitution of man ὁ ἄνθρωπος συνέστηκεν ἐκ σ. καὶ ψυχῆς καὶ πνεύματος Or.*princ.*4.2.4(p.313.2; M.11.365A); ἐκ τριῶν εἶναι τὸν ἄνθρωπον...πνεύματος καὶ ψυχῆς καὶ σ. Apoll.*fr.*88(p.226.25)ap.Gr.Nyss.*Apoll.*46(M.45.1233C); **2.** in rel. to flesh οὐκ ἔστι τὸ αὐτό [sc. σ. καὶ σάρξ]. μὴ δυνάμεθα τὸν οὐρανὸν σάρκα ὀνομάσαι, σ. δὲ ὀνομάζομεν Adam.*dial.*5.2(p.176.19; M.11.1833A); ἕως...ἐστι τὸ σ. τὸ ἀνθρώπινον σὰρξ καὶ αἷμα Cyr.*1Cor.*15:50(p.315.18; M.74.912B); τὴν δὲ σάρκα [i.e. of Christ] τί νοοῦμεν; σ. μόνον, ὡς Ἀρείῳ καὶ Εὐνομίῳ δοκεῖ, ἢ σ. καὶ ψυχήν; σ. καὶ ψυχήν Thdt.*eran.*2(4.73); **3.** its mortality ἔστι δὲ τὸ σ. φύσει θνητόν...οὐ γὰρ ἡ ψυχὴ ἐστιν ἡ ἀποθνήσκουσα· ἀλλὰ διὰ τὴν ταύτης ἀναχώρησιν ἀποθνήσκει τὸ σ. Ath.*gent.*33(M.25.65B,C); τὸ μὲν σ. θνητόν ἐστι καὶ ἐπίκηρον Chrys.*hom.in Mt.7:14*(3.25D); θνητὸν μέν σου τὸ σ., ἀθάνατος δὲ ἡ ψυχή Nil.*epp.*4.1(M.79.548D); overcame death by virtue of Inc. τὸ ἡμέτερον σ., τῇ θεότητι συναφθέν, κρεῖττον ἐγένετο τῆς τοῦ θανάτου ἐπικρατείας Bas.*ep.*262.2(3.404B; M.32.973C); can be translated and ascend οὐδὲν ἐνεπόδισεν αὐτοῖς [sc. Enoch and Elijah] τὸ σ. πρὸς τὴν μετάθεσιν καὶ ἀνάληψιν Iren.*haer.*5.5.1(M.7.1134C); Ἠλίας ὅλος ἀνελήφθη ἐν σ. καὶ οὐκ εἶδεν ἄχρι τῆς δεῦρο θάνατον Epiph.*anc.*98(p.119.9; M.43.193D); ref. Adam's Fall τὸ σ. αὐτοῦ γέγονεν οὐ μόνον θνητὸν ἀλλὰ καὶ παθητόν Isid.Pel.*epp.*4.204(M.78.1292B); cf. οὐχ ὅμοιον δὲ μορφὴν καὶ σ. ἔχουσι τοῖς ἐν τῷδε τῷ κόσμῳ σ. Clem.*exc.Thdot.*10(p.109.22; M.9.660C); **4.** its moral nature; **a.** evil acc. Manich. theory τοῦ μὲν φωτὸς εἶναι μέρος τὴν ἐν ἀνθρώποις ψυχήν, τοῦ δὲ σκότους τὸ σ. καὶ τὸ τῆς ὕλης δημιούργημα Hegem.*Arch.*7(p.9.16; M.10.1437A); thought by some to be given to man as punishment for sin, Meth.*res.*1.32(p.267.27); this incorrect, because sins are committed not by, but through, body, Ath.*inc.*56.3(M.25.196B); Cyr.H.*catech.*4.23; ‡Bas.*const.*2.2(2.542B,C; M.31.1341B); ὅτι δὲ οὐδὲ κακίας αἴτιον τῇ ψυχῇ τὸ σ., δῆλον ἐκ τοῦ δυνατὸν εἶναι καὶ ἄνευ σ. παρυφίστασθαι κακίαν, ὥσπερ ἐν δαίμοσι Dion.Ar.*d.n.*4.27(M.3.728D); and because of his body man can repent ἀνεπίδεκτος μετανοίας ὅτι καὶ ἀσώματος [sc. ἄγγελος]. ὁ γὰρ ἄθρωπος διὰ τὴν τοῦ σ. ἀσθένειαν μετανοίας ἔτυχεν Jo.D.*f.o.*2.3(M.94.868B); **b.** morally indifferent ἐν τούτῳ ἡ ἀρετὴ τοῦ σ., ἐν τῷ εἶκειν τῇ ψυχῇ, ἐπεὶ καθ' ἑαυτὴν οὔτε κακὴ οὔτε καλή Chrys.*hom.5.4 in Eph.*(11.37D); **5.** its sanctity μὴ νομίσῃς ὅτι ...τὸ σ. γέγονε διὰ συνουσιασμόν. ... ἵνα ναὸς ᾖ τῷ κυρίῳ Or.*comm.in 1Cor.*6:13(*JTS* 9 p.370); ἵνα ὦσιν ἅγιοι σ. καὶ ψυχῇ *Lit.*ap.*Const.App.*8.11.4; after death in case of saints' bodies τὰ σ. τῶν ἁγίων ὡς τιμηθῆναι καὶ μήτε κενὰ γενέσθαι ἐνεργείας μήτε δυνάμεως θείας Serap.*Man.*11(p.34; M.40.909A); Cyr.H.*catech.*18.16; *Const.App.*6.30.5; τὰ τῶν ἁγίων σ. καὶ πηγὰς καὶ ῥίζας καὶ μύρα καλῶ πνευματικά Chrys.*pan.Eust.Ant.*2(2.605C); κἀν τοῖς μαρτυρίοις δὲ ἡ ἐφεδρεύουσα τοῖς σ. τῶν ἁγίων χάρις τούτους [sc. δαίμονας] βασανίζει Isid.Pel.*epp.*2.85(M.78.528B); εἰ γὰρ ἐν ψυχῇ καὶ σ. τὴν θεοφιλῆ ζωὴν ὁ κεκοιμημένος ἐβίω, τίμιον ἔσται μετὰ τῆς ὁσίας ψυχῆς καὶ τὸ συναθλῆσαν αὐτῇ σ. κατὰ τοὺς ἱεροὺς ἱδρῶτας Dion.Ar.*e.h.*7.3.9(M.3.565B); οἱ γὰρ ἅγιοι καὶ ζῶντες πεπληρωμένοι ἦσαν πνεύματος ἁγίου, καὶ τελευτησάντων αὐτῶν ἡ χάρις τοῦ ἁγίου πνεύματος ἀνεκφοιτήτως ἔνεστι καὶ ταῖς ψυχαῖς καὶ τοῖς σ. ἐν τοῖς τάφοις Jo.D.*imag.*1.19(M.94.1249D); **6.** ref. effect of sacraments δεῦρο δὴ ἐπιφοιτήσας ὁ Χριστός, κουφότερον ἡμῖν τὸ σ. διὰ τοῦ βαπτίσματος πεποίηκε, τῷ πτερῷ τοῦ πνεύματος διεγείρων Isid.Pel.*epp.*4.204(M.78.1292B); μὴ εἶναι δυνατὸν ἐν ἀθανασίᾳ γενέσθαι τὸ ἡμέτερον σ., εἰ μὴ διὰ τῆς πρὸς τὸ ἀθάνατον κοινωνίας ἐν μετουσίᾳ τῆς ἀφθαρσίας γενόμενον Gr.Nyss.*or.catech.*37(p.144.6; M.45.93C); τὸ παχὺ τοῦτο καὶ γεῶδες σ. διὰ παχυτέρας, καὶ συγγενοῦς ἁγιάζεσθαι μεταλήψεως καὶ καλεῖσθαι πρὸς ἀφθαρσίαν Cyr.*Jo.*4.2(4.362B); εἰς φυλακτήριον ψυχῆς καὶ σ. Jo.D.*f.o.*4.13(M.94.1148A); **7.** final destiny; **a.** Origenist view ἡ ψυχὴ...τάχα κατ' ἀξίαν τῆς ἐπὶ πλεῖον ἀποπτώσεως τῆς κακίας ἐνδύεται σ.〈τοι〉οῦδε ἢ τοιοῦδε ἀλόγου ζῴου Or.*princ.*1.8.4(p.104.13; M.11.180B); εἰ δὲ τὰ ὑποτεταγμένα τῷ Χριστῷ ὑποταγήσεται ἐπὶ τέλει καὶ τῷ θεῷ, πάντες ἀποθήσονται τὰ σ.· καὶ οἷμαι ὅτι τότε εἰς τὸ μὴ ὂν ἔσται ἀνάλυσις τῆς τῶν σωμάτων φύσεως, ὑποστησομένης δεύτερον, ἐὰν πάλιν λογικὰ ὑποκαταβῇ *ib.*2.3.3(p.118.5,6); ὅτι τῶν λογικῶν τὰ ἁμαρτήσαντα καὶ διὰ τοῦτο ἐκπεσόντα τῆς ἐν ᾗ ἦσαν καταστάσεως κατὰ τὴν ἀναλογίαν τῶν οἰκείων ἁμαρτημάτων

τιμωρίας χάριν σώμασιν ἐνεβλήθη καὶ καθαιρόμενα πάλιν ἀνάγονται ἐν ᾗ πρότερον ἦσαν καταστάσει παντελῶς ἀποτιθέμενα τὰ σ. καὶ πάλιν ἐκ δευτέρου καὶ τρίτου καὶ πλεονάκις διαφόροις ἐμβάλλονται σώμασι πρὸς τιμωρίας Justn.*Or.*(p.190.20ff.; M.86.949A); condemned εἴ τις λέγει, τὰ λογικὰ τὰ τῆς θείας ἀγάπης ἀποψυγέντα σώμασι παχυτέροις τοῖς καθ' ἡμᾶς ἐνδυθῆναι καὶ ἀνθρώποις ὀνομασθῆναι· τὰ δὲ ἐπὶ τὸ ἄκρον τῆς κακίας ἐληλακότα ψυχροῖς καὶ ζοφεροῖς ἐνδυθῆναι σ. καὶ δαίμονας ἢ πνευματικὰ τῆς πονηρίας εἶναί τε καὶ καλεῖσθαι, ἀνάθεμα ἔστω CCP(543)*anath.*4; εἴ τις λέγει ὅτι ἡ μέλλουσα κρίσις ἀναίρεσιν παντελῆ τῶν σ. σημαίνει,...ἀνάθεμα ἔστω *ib.*11; **b.** resurrection κέκληκε δὲ ὁ θεὸς εἰς ζωὴν καὶ ἀνάστασιν τὸν ἄνθρωπον, οὐ τὸ μέρος ἀλλὰ τὸ ὅλον κέκληκεν, ὅπερ ἐστὶ τὴν ψυχὴν καὶ τὸ σ. †Just.*fr.res.*(p.46; M.6.1585C); οὐ γὰρ ψυχῶν ἀνάστασίς ἐστι τῶν μὴ πεσουσῶν, ἀλλὰ σ. τῶν τεθαμμένων Epiph.*haer.*64.63(p.502.16; M.41.1180A); εἰ γὰρ μὴ ἀνίσταται σ., οὐκ ἀνίσταται ἄνθρωπος· ὁ γὰρ ἄνθρωπος οὐκ ἔστι ψυχὴ μόνον, ἀλλὰ ψυχὴ καὶ σ. Chrys.*res.mort.*7(2.434C); μή μοι λέγε, πῶς δύναται ἀναστῆναι τὸ σ. πάλιν καὶ γενέσθαι ἄφθαρτον; ὅταν γὰρ ἡ τοῦ θεοῦ δύναμις ἐργάζηται, τὸ πῶς μὴ προσκείσθω *ib.*(433D); πάντες ἄνθρωποι ἀναστήσονται σὺν τοῖς ἑαυτῶν σ. ‡Ath.*symb.*1(M.28.1584C); ref. future punishment τοῖς αὐτοῖς σ. μετὰ τῶν ψυχῶν γινομένων καὶ αἰωνίαν κόλασιν κολασθησομένων Just.*1apol.*8.4(M.6.337C); ἡ ψυχὴ...ἀνίσταται...σὺν τῷ σ. θάνατον διὰ τιμωρίας ἐν ἀθανασίᾳ λαμβάνουσα Tat.*orat.*13(p.14.14; M.6.833A); μήτε τὴν ψυχὴν μόνην δεῖ κομίσασθαι τὰ ἐπίχειρα τῶν μετὰ τοῦ σ. εἰργασμένων...μήτε τὸ σ. μόνον Athenag.*res.*18(pp.70.30,71.1; M.6.1009D); *ib.*21(p.74.16; 1016B); εἰς ἀνάστασιν νεκρῶν καὶ κρίσιν δικαίαν ψυχῶν καὶ σ. *Symb.*ap.Epiph.*anc.*119(p.149.3; M.43.236B); εἰς ἀνάστασιν νεκρῶν, εἰς κρίσιν αἰώνιον ψυχῶν τε καὶ σ. ‡Ath.*interpr.*(p.66.27; M.26.1232B).

B. of resurrection body; **1.** identical with earthly τὰ νεκρούμενα καὶ εἰς γῆν βαλλόμενα πάλιν ἀπολήψεσθαι ἑαυτῶν σ. προσδοκῶμεν Just.*1apol.*18.6(M.6.356B); τῶν μὲν ἀνισταμένων σ. ἐκ τῶν οἰκείων μερῶν πάλιν συνισταμένων Athenag.*res.*7(p.55.14; M.6.985C); ὡς ἑκάστῳ σ. ἡ ἰδία ψυχὴ ἀποδοθήσεται Iren.*fr.*12(M.7.1236A); ἅπερ ποτὲ ἐχαρακτηρίζετο ἐν τῇ σαρκί, τοῦτο χαρακτηρισθήσεται ἐν τῷ πνευματικῷ σ. Or.*sel.in Ps.*1:5(M.12.1096B); cf. κἂν ῥευστὴ ἦν ἡ φύσις τοῦ σ., τῷ τὸ εἶδος τὸ χαρακτηρίζον τὸ σῶμα ταυτὸν εἶναι *ib.*(1093B); οἱ αἱρετικοὶ...λέγουσιν ὅτι ἕτερον σ. πίπτει καὶ ἕτερον σῶμα ἀνίσταται Chrys.*hom.41.2 in 1Cor.*(10.387E); ποῖον δὲ τὸ σ. τῆς ταπεινώσεως ἡμῶν; τουτὶ τὸ ἐκ γῆς...ἔσται δὲ ὁ μετασχηματισμὸς οὐκ εἰς ἑτέραν τινὰ φύσιν ἀποκομίζων ἡμᾶς, ἐσόμεθα γὰρ ὅπερ ἐσμέν, τουτέστιν ἄνθρωποι, πλὴν ἀμείνους ἀσυγκρίτως· ἄφθαρτοι γὰρ καὶ ἀνώλεθροι, καὶ πρός γε τούτῳ δεδοξασμένοι Cyr.*1Cor.*15:51(p.316.29; M.74.913A); Thdt.*eran.*2(4.121); **2.** but changed to become incorruptible τὸ γὰρ σ. τοῦτο ἐγείρεται, οὐ τοιοῦτον μένον ἀσθενές, ἀλλ' αὐτὸ τοῦτο ἐγείρεται· ἐνδυσάμενον δὲ τὴν ἀφθαρσίαν μεταποιεῖται, ὥσπερ σίδηρος πυρὶ προσομιλήσας γίνεται πῦρ...ἐγείρεται μὲν οὖν τοῦτο τὸ σ., ἀλλ' οὐ μένει τοιοῦτον, ἀλλὰ μένει αἰώνιον, οὐκέτι τροφῶν τοιούτων χρείαν ἔχει πρὸς ζωήν, οὐδὲ κλιμάκων πρὸς ἀνάβασιν· γίνεται γὰρ πνευματικόν, θαυμάσιόν τι, καὶ οἷον εἰπεῖν κατ' ἀξίαν οὐκ ἔχομεν Cyr.H.*catech.*18.18; ἐγειρόμεθα τοίνυν αἰώνια μὲν πάντες ἔχοντες τὰ σ., οὐ πάντες δὲ ὅμοια. ἀλλ' εἰ μέν τίς ἐστι δίκαιος, λαμβάνει σ. ἐπουράνιον, ἵνα δύνηται μετὰ ἀγγέλων ἀναστρέφειν ἐπαξίως. εἰ δέ τις ἁμαρτωλός ἐστι, λαμβάνει σ. αἰώνιον, ὑπομονητικὸν τιμωρίας ἁμαρτιῶν ...οὐδὲν γὰρ χωρὶς σ. ἡμῖν πέπρακται *ib.*18.19; cf.*ib.*4.31; ὅμοια τῇ τῶν φωστήρων καὶ ἀστέρων δόξῃ οὐ πάντων τῶν ἀνισταμένων τὰ σ., ἀλλ' ἢ μόνον τῶν εὖ βεβιωκότων καὶ σωφρονησάντων· κἂν γὰρ τὰ τῶν φαύλων σ. ἄφθαρτα ἐγείρονται, ἀλλ' οὖν στεροῦνται τῆς τῶν ἐπουρανίων δόξης Didym.*1Cor.*15:41(p.9.27f.); Chrys.*res.mort.*6(2.431D); οὐ τὴν σάρκα ἀποθέσθαι βουλόμεθα, φησίν, ἀλλὰ τὴν φθοράν, οὐ τὸ σ. ἀλλὰ τὸν θάνατον *ib.*(432B); τὰ σ. τῶν ἁμαρτωλῶν ἄφθαρτα ἀνίστανται καὶ ἀθάνατα· ἀλλ' ἡ τιμὴ αὕτη ἐφόδιον αὐτοῖς κολάσεως γίνεται καὶ τιμωρίας· ἄφθαρτα γὰρ ἀνίσταται, ἵνα διαπαντὸς καίηται. ἐπειδὴ γὰρ τὸ πῦρ ἄσβεστόν ἐστι ἐκεῖνο, τοιούτων αὐτῷ δεῖ καὶ σ. μηδέποτε δαπανωμένων *ib.*8(435A); ἐκείνῳ, τῷ καθημένῳ ἐν δεξιᾷ τοῦ πατρός, σύμμορφον τοῦτο τὸ σ. γίνεται id.*hom.13.2 in Phil.*(11.300B); cf.id.*delic.*6(3.343D,E); αὐτὸ...τὸ σ. τὸ φθειρόμενον καὶ διαλυόμενον, αὐτὸ ἀναστήσεται ἄφθαρτον Jo.D.*f.o.*4.27(M.94.1220A); ref. view ascribed to Or. οὐχὶ ἐναλλαγὴ τοῦ ὃ. εἰς σφαιροειδὲς σ., καθώς τισι πλανηθεῖσιν ἔδοξεν Andr.Caes.*therap.fr.*2(p.166.10f.); **3.** meaning of σ. πνευματικόν (cf. ἀερώδης): ἀναγκαῖον χρῆσθαι σ. πνευματικοῖς, οὐχὶ τοῦ εἴδους τοῦ προτέρου ἀφανιζομένου, κἂν ἐπὶ τὸ ἐνδοξότερον γένηται αὐτοῦ ἡ τροπή Or.*sel.in Ps.*1:5(M.12.1093D); ὅτι δὲ ἔστι σ. ψυχικὸν καὶ ἔστι σ. πνευματικόν, οὐκ ἄλλο σῶμα πνευματικὸν καὶ ἄλλο ψυχικόν, ἀλλ' αὐτὸ ψυχικὸν αὐτὸ πνευματικόν Epiph.*haer.*64.63(p.502.20ff.; M.41.1180B); ἐπειδὴ δὲ ἡ τοῖς πάθεσιν ἐμμένουσα ψυχή, εἰκότως καὶ τὸ τῆς τοιαύτης ψυχῆς σ. ψυχικὸν καλεῖται. ἐὰν δὲ ὑπεραναβῇ τὴν παθητικὴν ἕξιν ἡ ψυχή, γίνεται πνευματική, καὶ λέγεται τὸ σ. τῆς τοιαύτης ψυχῆς τῆς συμπλεκομένης αὐτὸ πνευματικόν Didym.*1Cor.*15:44-46(p.10.21f.); δεδιψήκαμεν γὰρ οὐ τὴν τῶν σ. ἀπόθεσιν, οὔτε μὴν ταύτην εἶναί φαμεν τὴν λύτρωσιν· ἔσεσθαι δὲ προσδοκῶμεν τὸ σ. πνευματικόν, τουτέστιν ἀποβεβληκὸς εἰσάπαν φρόνημα τὸ σαρκικὸν καὶ γεῶδες, καὶ τῆς ἁμαρτίας τὸ κέντρον Cyr.*Rom.*8:23(p.217.26f.; M.74.824B); **4.** called mystical ἀετούς...τοὺς ὑψιπετεῖς καὶ τοῦ μυστικοῦ σ. ἐφιεμένους, ἐν τοῖς...εὐαγγελίοις ὠνόμασε Thdt.*provid.*5(4.550).

C. body of Moses identified with Israel ὅταν γὰρ περὶ τοῦ Μωϋσέως ἀκούσῃς σώματος ἐν τῷ νόμῳ, γραφῇ νόμιζέ σοι χαρακτηρίζεσθαι τὸν ὅλον Ἰσραηλίτην λαόν Chrysipp.*enc.in Mich.*(p.93.9).

D. body of BMV οὐ μὴ ἴδῃ διαφθορὰν τὸ ὅσιον καὶ τίμιόν σου σ. *Dorm.BMV* 10(p.98); ἀμφοτέρων [sc. of Christ and BMV] σ. μὲν ἀφαντάστως ὑποδεξαμένων, διαφθορὰν δὲ μηδαμῶς ἐνεργησάντων Germ.CP *or.*6(M.98.345D); ἔσται τὸ τίμιόν σου σ. μετατιθέμενον ἐν τῷ παραδείσῳ, ἡ δὲ ἁγία σου ψυχὴ ἐν τοῖς οὐρανοῖς *Dorm.BMV* 39 (p.108); μετετέθη τὸ ἄμωμον καὶ τίμιον αὐτῆς σ. ἐν παραδείσῳ *ib.*48 (p.111); τὸ τίμιον σ. ... ἀπέθεντο ἐν μνημείῳ καινῷ...μετὰ δὲ τρίτην ἡμέραν ἀνοίξαντες τὴν σορὸν...ηὕραμεν μόνας τὰς σίνδονας, διότι μετετέθη [γὰρ] ὑπὸ τοῦ ἐξ αὐτῆς σαρκωθέντος Χριστοῦ τοῦ θεοῦ εἰς ἀένναον λῆξιν Jo.Thess.*dorm.BMV* A 14(p.401.28); εὗρον τὸ τάφον κενὸν καὶ οὐκ ἦν ἐν αὐτῷ τὸ σ. τῆς θεομήτορος *ib.*B 38(p.405.9); ὧν [sc. SS. Paul and Peter] ἐκ χειρῶν πάντων ἀποσκοπούντων τὸ ἄχραντον ἀφηρπάγη τῆς παρθένου σ. καὶ ὁ μὲν ἁρπάσας αὐτό, πᾶσιν ἄβλεπτος· θεὸς γὰρ ἦν ἀθεώρητος Germ.CP *or.*8(M.98.369C).

II. of Christ σ. γὰρ πιστεύομεν εἶναι τήν τε ἐκκλησίαν, καὶ τὸν ἅγιον ἄρτον, καὶ τὸ σταυρωθέν...διὰ γὰρ τὸ τοῦ αὐτοῦ πνεύματος μετασχεῖν τούτων ἕκαστον, τοῦ χρίσαντός τε τὸ σταυρωθὲν ἐκεῖνο, καὶ ἁγιάζοντος τοῦτον τὸν ἄρτον, καὶ τὴν ἐκκλησίαν πάλιν διὰ τῆς μεταλήψεως αὐτοῦ πᾶσαν ἁγιοποιοῦντος, σ. Χριστοῦ νοοῦνται πάντα· ὡς Χριστοῦ οὖν, ἓν· εἰ μέντοι ἁπλῶς τάδε ὡς σώματα κρίνομεν, τρία εἰσί, τό τε Χριστοῦ ἰδικόν, καὶ ὁ ἄρτος, καὶ ἡ ἐκκλησία Leont.H.*Nest.*3.12 (M.86.1648Af.).

A. his human body; **1.** ref. various opinions οὐ παύονται ζυγομαχοῦντες περὶ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου· οἱ μὲν ἀνειληφέναι σ., οἱ δὲ ἀσώματον αὐτοῦ τὴν ἐπιδημίαν γεγενῆσθαι διοριζόμενοι· καὶ οἱ μὲν παθητὸν ἐσχηκέναι τὸ σ., οἱ δὲ φαντασίᾳ τινὶ τὴν διὰ σώματος οἰκονομίαν πληροῦν· καὶ ἄλλοι χοϊκόν, ἄλλοι δὲ ἐπουράνιον σ. Bas.*ep.* 260.8(3.400C,D; M.32.965B); **2.** as real ἀληθινὸν ἦν τὸ σ. ... ἐπειδὴ ταυτὸν ἦν τῷ ἡμετέρῳ Ath.*ep.Epict.*7(p.11.14; M.26.1061B); τὸ...σ. ...κοινὸν ἔχει τοῖς πᾶσι τὴν οὐσίαν (σ. γὰρ ἦν ἀνθρώπινον) id.*inc.*20. 4(M.25.132A); **a.** created εἴ τις λέγει ἄκτιστον τὸ σ. τοῦ Χριστοῦ, καὶ ὁμολογεῖ αὐτὸν τὸν ἄκτιστον τὸν θεὸν λόγον ἐκ τῆς κτιστῆς ἀνθρωπότητος τὴν σάρκωσιν καὶ τὴν ἐνανθρώπησιν ἐπιδειξάμενον, καθὼς γέγραπται, ἀνάθεμα ἔστω Gr.Thaum.*fid.cap.*12(p.147.19; M.10.1128A); τίς γάρ, ἄκτιστον ἀκούων τὸ τοῦ κυρίου σ., ἑαυτὸν δὲ ποιηθέντα καὶ κτισθέντα εἰδώς, οὐκ ἐννοηθήσεται ψευδεῖς μὲν εἶναι τὰς ἁγίας γραφάς, ἑαυτὸν δὲ μὴ ἔχειν πρὸς Χριστὸν κοινωνίαν; ‡Ath.*Apoll.*1.4(M.26. 1100B); Didym.(‡Bas.)*Eun.*5(1.298B; M.29.716B); but Γαϊανῖται, ἤτοι Ἰουλιανισταὶ ἄλλοι, οἵτινες καλοῦνται καὶ Ἀκτιστῆται· λέγουσι γὰρ ὅτι οὐ μόνον ἄφθαρτον ἐξ αὐτῆς τῆς ἑνώσεως, ἀλλὰ καὶ ἄκτιστον γεγονέναι τὸ τοῦ κυρίου σ. Tim.CP *haer.*(M.86.44C); **b.** hungering εἰ μηδὲν εἰλήφει παρὰ τῆς Μαρίας...οὐδ' ἂν εἰς τεσσαράκοντα ἡμέρας...νηστεύσας ἐπείνησε, τοῦ σ. ἐπιζητοῦντος τὴν ἰδίαν τροφήν Iren.*haer.*3.22.2(M.7. 957A); τὸ ἐσθίειν καὶ τοῦ σ. ἡ ὄψις ἐδείκνυεν αὐτὸν καὶ ἄνθρωπον Ath. *ep.Serap.*4.18(M.26.665A); but cf. ἔφαγεν...οὐ διὰ τὸ σ., δυνάμει συνεχόμενον ἀγίᾳ, ἀλλ' ὡς μὴ τοὺς συνόντας ἄλλως περὶ αὐτοῦ φρονεῖν ὑπεισέλθοι, ὥσπερ ἀμέλει ὕστερον δοκήσει τινὲς αὐτὸν πεφανερῶσθαι ὑπέλαβον Clem.*str.*6.9(p.467.11; M.9.292C); ταῖς τοῦ σ. ἀνάγκαις ὁμοίως ἡμῖν οὐδαμῶς καταδεσμούμενος, οὐδέ τι χεῖρον ἢ μεῖζον αὐτὸς ἑαυτοῦ τῆς θεότητος ὑπομένων, οὐδ' οὕτως οἷα ἀνθρώπου ψυχὴ τῷ σ. πεδούμενος Eus.*d.e.*7.1(p.302.6,9; M.22.496A); **c.** suffering, in contradistinction to the divinity μανθανέτω ὅτι ὁ λόγος τῇ οὐσίᾳ μένων λόγος οὐδὲν μὲν πάσχει ὧν πάσχει τὸ σ. ἢ ἡ ψυχὴ Or.*Cels.*4.15(p.285.14; M.11.1048A); Ath.*ep.Epict.*6(p.10.17,19; M.26.1060C) cit. infra 3.b; ἐνεργεῖ γὰρ ὡς ἀληθῶς ἡ θεότης διὰ τοῦ περὶ αὐτὴν σ. σωτηρίαν, ὡς εἶναι τῆς μὲν σαρκὸς τὸ πάθος, τοῦ δὲ θεοῦ τὴν ἐνέργειαν Gr.Nyss.*Eun.*6(2 p.129.23; M.45.713A); ἐπειδὴ δὲ τὸ γεγονὸς αὐτοῦ ἴδιον σ. πέπονθε, ταῦτα πάλιν αὐτὸς λέγεται παθεῖν ὑπὲρ ἡμῶν· ἦν γὰρ ὁ ἀπαθὴς ἐν τῷ πάσχοντι σ. Cyr.*ep.*4(p.27.17f.; 5^2.24Af.); τὰ ἰμάτιά μου, τουτέστι τὸ σ. μου· ἀπαθὴς γὰρ ἡ θεία φύσις, τὸ δὲ σ. τὸ πάθος ἐδέξατο Thdt.*Cant.*5:10 (2.115f.); τοῦ παθητοῦ σ. τὸ πάθος εἶναι φαμέν, τὴν ἀπαθῆ δὲ φύσιν ἐλευθέραν μεμενηκέναι τοῦ πάθους ὁμολογοῦμεν id.*eran.*3(4.190); ὑπὲρ μὲν τῶν σ. τὸ σ. δέδωκεν id.*eran.suppl.*4(4.274); **d.** dying τὸ γὰρ γεγενημένον ἀπὸ τῆς παρθένου σ. ἦν ἀπὸ τῆς ἀνθρωπίνης ὕλης συνεστηκός, δεκτικὸν τῶν ἀνθρωπίνων τραυμάτων καὶ θανάτου Or.*Cels.*3.25(p.222.

4; M.11.952A); *εἰ δὲ λέγεται Χριστὸς τεθνάναι καὶ τεθάφθαι, περὶ τοῦ σ. αὐτοῦ τοῦτο ἐκλητέον, οὐ τῆς ψυχῆς* Didym.*1Cor.*15:3–4(p.6.19); **e.** corruptible, denied by Aphthartodocetae *ἴδικτον γράφει* [sc. *ὁ Ἰουστινιανός*], *ἐν ᾧ ἄφθαρτον τὸ σ. τοῦ κυρίου κέκληκε* Evagr.*h.e.*4.39 (p.190.17; M.86.2781B); *ὁ μὲν γὰρ Ἰουλιανός...ἔλεγεν ὅτι ἄφθαρτόν ἐστι τὸ σ. τοῦ Χριστοῦ· εἰ μὴ γὰρ εἴπωμεν αὐτὸ ἄφθαρτον, ἀλλὰ φθαρτόν, διαφορὰν εἰσάγομεν πρὸς τὸν λόγον τοῦ θεοῦ. διαφορὰς δὲ εἰσαγομένης, δύο φύσεις εὑρίσκονται ἐν τῷ Χριστῷ...πρὸς ταῦτα ἔλεγεν ὁ Σεβῆρος ὅτι δύναται καὶ ἄφθαρτον εἰπεῖν τὸ σ. τοῦ Χριστοῦ καὶ διαφορὰν εἰσαγαγεῖν καὶ μίαν φύσιν εἰπεῖν* †Leont.B.*sect.*5.3(M.86. 1229Df.); *Γαϊανῖται, ἤτοι Ἰουλιανισταί· οἵτινες λέγουσιν, ἐξ αὐτῆς τῆς ἑνώσεως τὸ τοῦ κυρίου σ. κατὰ πάντα τρόπον ἄφθαρτον εἶναι* Tim.CP *haer.*(M.86.44B); incorruptible only in special sense *πρὸς ταύτην οὖν τὴν φθορὰν τῆς ἁμαρτίας, ἄφθαρτον, τοῦτ' ἔστιν, ἀναμάρτητον λέγομεν τὸ πανάγιον καὶ πανάμωμον σ. τοῦ Χριστοῦ* Anast.S.*hod.*23(M.89. 300A); **f.** not a mere appearance, as in docetic view, Ath.*Ar.*2.43 (M.26.237C); *εἰ γὰρ θέσει ἦν ἐν τῷ σ. ὁ λόγος κατ' ἐκείνους, τὸ δὲ θέσει λεγόμενον φαντασία ἐστίν, εὑρίσκεται δοκήσει καὶ ἡ σωτηρία καὶ ἡ ἀνάστασις τῶν ἀνθρώπων λεγομένη, κατὰ τὸν ἀσεβέστατον Μανιχαῖον. ἀλλὰ μὴν οὐ φαντασία ἡ σωτηρία ἡμῶν οὐδὲ σώματος μόνου, ἀλλ' ὅλου ἀνθρώπου ψυχῆς καὶ σ. ἀληθῶς ἡ σωτηρία γέγονεν ἐν αὐτῷ τῷ λόγῳ* Ath.*ep.Epict.*7(p.11.8,12; M.26.1061B); *ἐνανθρωπήσαντα...σῶμα καὶ ψυχὴν καὶ νοῦν καὶ πάντα ὅσα ἐστὶν ἀνθρώποις, χωρὶς ἁμαρτίας, ἀληθινῶς καὶ οὐ δοκήσει ἐσχηκότα* ‡Ath.*interpr.*(p.66.17; M.26.1232A); cf. *ἀνθρωπίνου μὲν σώματος εἰκόνα ἔχειν αὐτόν, ἀνθρωπίνης δὲ σαρκὸς μὴ ἀνειληφέναι ἀλήθειαν* Leo Mag.*ep.*35.1(p.40.31; *M.PL.*54.806A); **g.** united with human soul *εἴ τις λέγει ἄψυχον ἢ ἀνόητον τὸ σ. τοῦ Χριστοῦ καὶ μὴ ὁμολογεῖ αὐτὸν τέλειον κατὰ πάντα, ἕνα καὶ τὸν αὐτόν, καθὼς γέγραπται, ἀναθεματιζέσθω* Gr.Thaum.*fid.cap.*2(p.146.12; M.10.1133A); *'πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου.' τοῦτο δὲ τὸ πνεῦμα, οἱ μὲν Ἀρείου καὶ Εὐνομίου τὴν θεότητα τοῦ μονογενοῦς εἶναι φασίν· ἄψυχον γὰρ ἀνειλῆφθαι τὸ σ. νομίζουσι* Thdt.*eran. suppl.*12(4.277); Apollinarian view *ψυχὴν οὐκ ἀνέλαβεν, ἀλλὰ σ. μόνον, ἡ δὲ θεότης ἀντὶ ψυχῆς ἐνωθεῖσα τῷ σ. πάντα τὰ τῆς ψυχῆς ἀνεδέξατο ib.*2(111); **h.** possession of *νοῦς* denied by Apoll. *ὥσπερ ὑμεῖς λέγετε νοῦν ἐπουράνιον ἐν σ. ἐμψύχῳ* ‡Ath.*Apoll.*1.20(M.26. 1128B); Gr.Naz.*ep.*203(M.37.333A); Thdt.*ep.*104(4.1174) cit. s. *νοῦς*; **i.** similar to all men's bodies *εἰ καὶ σ. μοι ὅμοιον ἀνθρώποις ἦν, ἀλλ' οὐ καὶ τὴν δύναμιν οὐδὲ τὴν οὐσίαν τοῖς πολλοῖς ὢν ἐμφερής* Eus.*d.e.* 10.8(p.481.27; M.22.773D); *εἶποι ἂν ἴσως ἐνεργείᾳ μόνῃ οὐχὶ δὲ οὐσίας ὑποστάσει καὶ ἐν τῷ σ. γεγονέναι· δραστικῇ γὰρ ἐνεργείᾳ μόνῃ φησὶ* [sc. Marcellus] *τῇ σαρκὶ συνών* id.*Marcell.*2.4(p.57.13; M.24. 821A); not homoousios acc. Eutyches *ἕως σήμερον οὐκ εἶπον τὸ σ. τοῦ κυρίου καὶ θεοῦ ἡμῶν ὁμοούσιον ἡμῖν, τὴν δὲ ἁγίαν παρθένον ὁμολογῶ εἶναι ἡμῖν ὁμοούσιον καὶ ὅτι ἐξ αὐτῆς ἐσαρκώθη ὁ θεὸς ἡμῶν* Eut.ap. CCP(448)*act.*(p.142.13; H.2.164E); cf. *ἀρκέσει τῷ ἐξ ἡμῶν σώματι, τὸ τῆς κατὰ χάριν υἱότητος* Diod.*synous.*(M.33.1560C); *μὴ τῆς Μαρίας υἱὸς ὁ θεὸς λόγος ὑποπτευέσθω· θνητὸς γὰρ θνητὸν γεννᾷ κατὰ φύσιν, καὶ σ. τὸ ὁμοούσιον ib.*; cf. *αὐτοόμοούσιον, αὐτοέτεροούσιον σ. τῇ θεότητι διὰ τὴν ἕνωσιν λέγοντες* [sc. Apollinarians] Val.Apoll.*apol.*3 (p.288.23; M.86.1953D); **j.** as *πνευματικόν*: *ὁ δὲ Χριστὸς πνευματικὸν ἔσχε σ., ὅλην δεξάμενον τοῦ ἁγίου πνεύματος τὴν παρουσίαν καὶ δηλοῖ μείνασα ἐπ' αὐτὸν ἡ περιστερά* Oecum.*1Cor.*15:44(p.443); **k.** as *ψυχικόν*, acc. Valentinus *ἀσώματον...τὸν Χριστὸν...σ. ψυχικὸν παρὰ τοῦ δημιουργοῦ κομισάμενον, ὅπερ ἅπτον καὶ ὁρατὸν μὴ ὂν πρότερον γέγονεν ὕστερον* Tim.CP *haer.*(M.86.17B); **3.** relationship to Logos; **a.** not converted into divine nature *οὐδὲ ἡ τοῦ θεοῦ πρὸς τὸ σῶμα ἕνωσις μεταβολὴ σώματός ἐστιν, καίτοι τοῦ σ. τὰς θείας ἐνεργείας παρεχομένου τοῖς ἐφάψασθαι δυναμένοις* Apoll.*fr.*128(p.238.28f.) ap.Thdt.*eran.*2(4.171); *ib.*147(p.246.23ff.)ap.Leont.B.*Apoll.*(M.86. 1965Af.); *θεῖον μὲν εἶναι φαμὲν τὸ σ. τοῦ Χριστοῦ, ἐπειδὴ καὶ θεοῦ σ. ἐστι...ὅτι δὲ εἰς θεότητος φύσιν μετεβλήθη, οὔτε τῶν πατέρων τις τῶν ἁγίων ἢ πεφρόνηκεν, ἢ εἴρηκεν, οὔτε ἡμεῖς οὕτω διακείμεθα* Cyr.*ep.*45 (p.156.16f.; 5^2.140B); nor divine nature into it *οὔτε οὖν ὁ λόγος εἰς σ., ὡς εἴπομεν, οὔτε εἰς λόγον τὸ σ. ἠλλοίωται* Leo Mag.*ep.*35.2(p.41. 25; M.*PL.*54.808A); Apollinarian view *σ. ἀνθρώπινον* [*οὐκ*] *ἔσχεν ὁ Χριστὸς...ἀλλὰ...θεϊκόν...ἔμψυχον ἦν τὸ σ. ... θεία ἦν ἐμψυχία ψυχωθέν* ‡Ath.*dial.Trin.*4.1(M.28.1249Df.); answered *τὸ σ. φύσει μέν ἐστιν ἀνθρώπινον, τῇ δὲ ἑνώσει τῆς οἰκονομίας θεϊκόν ib.*4.2(1253A); *πῶς ὑμεῖς πάλιν λέγετε ἐξ οὐρανοῦ τὸ σ.*; ‡Ath.*Apoll.*1.7(M.26.1104B); *οὐκ εἶπεν δὲ σῶμα, ἵνα μὴ εἴπωσί τινες, ὅτι οὐράνιον σῶμα ἐφόρεσεν* Ammon.*Jo.*1:14(M.85.1397C); *τοῦ Εὐτυχοῦς...λέγοντος...οὐρανόθεν κατελθὸν τὸ σ. αὐτοῦ* Anast.S.*hod.*7(M.89.113A); *σῶμα λεγόντων ἔχοντα τὸν κύριον...οὐράνιον* Thdr.Stud.*ref.*4(M.99.445C); **b.** indwelt by Logos *ἐν τῷ περιτμηθέντι σ., καὶ βασταχθέντι...ἦν ὁ ἀπαθὴς καὶ ἀσώματος τοῦ θεοῦ λόγος* Ath.*ep.Epict.*5(p.9.19; M.26. 1060A); *ἦν παράδοξον, ὅτι αὐτὸς ἦν ὁ πάσχων καὶ μὴ πάσχων, πάσχων μέν, ὅτι ἴδιον αὐτοῦ ἔπασχε σ., καὶ ἐν αὐτῷ τῷ πάσχοντι ἦν· μὴ πάσχων δέ, ὅτι τῇ φύσει θεὸς ὢν ὁ λόγος ἀπαθής ἐστι. καὶ αὐτὸς μὲν ὁ ἀσώματος ἦν ἐν τῷ παθητῷ σ. ib.*6(p.10.17,19; 1060C); not of the *οὐσία* of the Logos, *ib.*2(p.5.2; 1053A); *οὐ τὸ σ. ἀλλ' αὐτὸν τὸν υἱὸν ὁμοούσιον...τοῦ πατρός, καὶ τοῦτον μὲν ἐκ τῆς οὐσίας τοῦ πατρός, τὸ δὲ σ. ἐκ Μαρίας... εἶναι πάλιν κατὰ τὰς γραφάς ib.*4(p.7.8,10; 1056B,Cf.); *ib.*8(p.14.2f.; 1064Bf.); Logos not identical with it *οὔτε ὁ ἀνείληφεν σῶμα ταὐτὸν ἦν τῷ ἀνειληφότι υἱῷ τοῦ θεοῦ* Eus.*e.th.*1.6(p.65.7; M.24.836A); *μὴ τὸ σ. ἦν ὁ λόγος, ἀλλὰ σ. ἦν τοῦ λόγου* Ath.*ep.Epict.*6(p.10.5,6; 1060B); **c.** united with Logos *...ἵνα καὶ τολμῶσι λέγειν· οὐ προσκυνοῦμεν ἡμεῖς τὸν κύριον μετὰ τῆς σαρκός· ἀλλὰ διαιροῦμεν τὸ σ. καὶ μόνῳ τούτῳ λατρεύομεν* Ath.*ep.Adelph.*5(M.26.1077D); *οὐ γὰρ ὁμοούσιον τῷ ἐκ θεοῦ λόγῳ τὸ σ.· ἐν δὲ τῇ συνόδῳ καὶ τῇ ἀπερινοήτῳ συνδρομῇ* Cyr. *Jo.*4.2(4.361B); *μιᾷ προσκυνήσει τιμᾶν εἰθίσμεθα τὸν Ἐμμανουήλ, οὐ διϊστάντες τοῦ λόγου τὸ ἑνωθὲν αὐτῷ καθ' ὑπόστασιν σ.* id.*Nest.*2. 10(p.47.30; 6^1.53A); id.*apol.orient.*11(p.58.55; 6^1.192C); adoptionist view *αὐτὴν δὲ τὴν σοφίαν δι' ἑαυτῆς ἐπιδεδημηκέναι οὐσιωδῶς ἐν τῷ ἐκ Μαρίας σ.* Paul.Sam.*fr.*(p.332.24)ap.Leont.B.*Nest.et Eut.*3(M.86. 1393B); *ib.*(p.333.27; M.l.c.); *διὰ τοῦ σ., ὡς δι' ὀστρακίνου σκεύους, ἐνοικήσασα ἐν αὐτῷ ἡ θεία δύναμις* Eus.*d.e.*4.16(p.189.15; M.22.316B); **d.** in rel. to deity *οὐδ' ἡμεῖς ὑπολαμβάνομεν τὸ βλεπόμενον τότε καὶ αἰσθητὸν τοῦ Ἰησοῦ σ. εἶναι θεόν* Or.*Cels.*2.9(p.135.15; M.11.808B); *ὅλον θεὸν καὶ μετὰ τοῦ σ., ἀλλ' οὐχὶ κατὰ τὸ σ. θεόν* ‡*Symb.Ant.*(269) (p.6.13); *οὐ γὰρ ἀνθρώπου τινὸς ἦν τὸ βλεπόμενον σ., ἀλλὰ θεοῦ* Ath.*ep.Max.*2(M.26.1088B); in iconoclastic argument *ἢ τὸ θεῖον περιγραπτὸν καὶ τῇ σαρκὶ συγχυθέν, ἢ τὸ σ. τοῦ Χριστοῦ ἀθέωτον καὶ διῃρημένον* CCP(754)*decr.*(H.4.365A); **e.** Logos not sullied by contact with body, Eus.*d.e.*4.13(p.170.29; M.22.285A); *μηδὲ ἐκ τῆς σαρκὸς ὁ ἀμίαντος ἐμιαίνετο μηδὲ συνεφθείρετο τῇ τοῦ σ. οἰκείᾳ φύσει ὁ ἀπαθὴς τοῦ θεοῦ λόγος ib.*7.1(p.302.18; 496A); **f.** Logos separated from body by death *ὁ λόγος...τῷ πατρὶ παρατιθεὶς τὸ πνεῦμα...οὕτως ἄφετος καὶ ἐλεύθερος αὐτὸς ἀφ' ἑαυτοῦ τὴν ἐκ τοῦ σ. ἀναχώρησιν ἐποιεῖτο ib.*3.4(p.115.4; 197A); this denied *εἰ δὲ ὁ θεὸς ἐχωρίσθη τοῦ σ., καὶ οὕτως ἡ νέκρωσις ἐδείκνυτο, πῶς τὸ σ., χωρισθὲν τοῦ ἀφθάρτου θεοῦ, τὴν ἀφθαρσίαν ἐπεδείκνυτο;* ‡Ath.*Apoll.*2.15(M.26. 1157A); *τούτου τοῦ πνεύματος ἡ ἀποχώρησις γέγονεν ἀπὸ τοῦ σ. ἐπὶ τοῦ σταυροῦ. καὶ οὕτω ἐνεκροῦτο τὸ σ. καὶ αὐτοῦ γέγονεν ἡ λύσις, θεοῦ τοῦ λόγου ἀμεταθέτως ἔχοντος πρός τε τὸ σ., πρός τε τὴν ψυχήν, πρός τε ἑαυτὸν ὄντα εἰς τὸν κόλπον τοῦ πατρὸς ἐν ἐπιδείξει ἀτρεπτότητος ib.*2.16(116B).

B. Christ's resurrection body, v. *ἀνάστασις*; **1.** identical with crucified body *ἐκεῖνο τὸ αἰσθητὸν τοῦ Ἰησοῦ σ. ἐσταύρωται καὶ τέθαπται καὶ μετὰ τοῦτο ἐγήγερται* Or.*Jo.*10.36(20; p.210.1; M.14. 372B); Ath.*ep.Epict.*7(p.12.2; M.26.1061B); *ἐκεῖνο τὸ σ. τὸ μὲν πρότερον εἶδος ἔχει, καὶ σχῆμα καὶ περιγραφήν, καὶ ἁπαξαπλῶς εἰπεῖν, τὴν τοῦ σ. οὐσίαν* Thdt.*eran.*2(4.126); *οὐ μετεβλήθη οὖν εἰς πνεῦμα τὸ σ. ... μετὰ τὴν ἀνάστασιν σ. τὸ σ. μεμένηκεν* id.*eran.suppl.*10(4.272); but exalted *πρῶτον οὖν τὸ ἴδιον σ. ἤγειρεν ὁ κύριος ἐκ νεκρῶν, καὶ ὕψωσεν ἐν ἑαυτῷ* Ath.*inc.et c.Ar.*12(M.26.1004B); Chrys.*hom.41.2 in 1Cor.*(10.388Af.); not subject to human frailty but incorruptible, Ath.*ep.Epict.*10(p.16.12; 1068A); *οὐ σ. παθητὸν ἔχων, ἀλλ' ἀθάνατον λοιπὸν καὶ ἄφθαρτον, καὶ οὐ δεόμενον τροφῆς. οὐ τοίνυν διὰ χρείαν μετὰ τὴν ἀνάστασιν ἔφαγέ τε καὶ ἔπιεν· οὐδὲ γὰρ ἐδεῖτο λοιπὸν τὸ σ. τούτων* Chrys.*hom.82.2 in Mt.*(7.784A); *μετὰ...τὴν ἀνάστασιν ἦν μὲν αὐτὸ τὸ σ. τὸ πεπονθός, πλὴν οὐκέτι τὰς ἀνθρωπίνας ἀσθενείας ἔχον ἐν ἑαυτῷ. οὐ γὰρ ἔτι πείνης, ἢ κόπου, ἢ ἑτέρου τινὸς τῶν τοιούτων δεκτικὸν εἶναί φαμεν αὐτό, ἀλλὰ λοιπὸν ἄφθαρτον* Cyr.*ep.*45(p.156.1; 5^2.139C); *πρὸ μὲν τοῦ πάθους, φθαρτὸν ἦν τὸ τοῦ Χριστοῦ...σ. μετὰ δὲ τὴν...ἔγερσιν ἄφθαρτον* Anast.S.*hod.*23(M.89.300B); solid, Or.*Cels.*2. 61(p.183.25; M.11.893A); *εἴ τις λέγει ὡς τὸ τοῦ κυρίου ἐξ ἀναστάσεως σ. αἰθέριόν τε καὶ σφαιροειδὲς τῷ σχήματι, καὶ ὅτι τὰ τοιαῦτα καὶ τὰ τῶν λοιπῶν ἐξ ἀναστάσεως ἔσται σ., καὶ ὅτι αὐτοῦ τοῦ κυρίου πρῶτον ἀποτιθεμένου τὸ ἴδιον αὐτοῦ σ. καὶ πάντων ὁμοίως εἰς τὸ ἀνύπαρκτον χωρήσει ἡ τῶν σ. φύσις, ἀνάθεμα ἔστω* CCP(543)*anath.*10; **2.** retained after Ascension: denied by Hermogenes *ἀνερχόμενον εἰς τοὺς οὐρανοὺς ἐν τῷ ἡλίῳ τὸ σ. καταλελοιπέναι, αὐτὸν δὲ πρὸς τὸν πατέρα πεπορεῦσθαι* Hipp.*haer.*8.17(p.237.9; M.16.3366A); asserted by orthodox *καὶ μετὰ τὴν ἀνάληψιν σ. καλούμενον τοῦ δεσπότου τὸ σ.* Thdt.*eran.*2(4.124); *εἰ τοίνυν τοῦ ὄντως σ. ἀντίτυπά ἐστι τὰ θεῖα μυστήρια, σ. ἄρα ἐστὶ καὶ νῦν τοῦ δεσπότου τὸ σ., οὐκ εἰς θεότητος φύσιν μεταβληθέν, ἀλλὰ θείας δόξης ἀναπλησθέν ib.*(125); *ἀνελθόντα εἰς οὐρανοὺς ἐν αὐτῷ τῷ σ. ἐνδόξως καθίσαντα ἐν δεξιᾷ τοῦ πατρός, ἐρχόμενον ἐν αὐτῷ τῷ σ. ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκρούς* ‡Ath.*interpr.*(p.66. 20f.; M.26.1232B); **3.** considered as intermediate between fleshly body and soul, Or.*Cels.*2.62(p.184.13; M.11.893C) cit. s. *ἀνάστασις*;

οὐκ ἔτι μὲν σάρκα, οὐκ ἀσώματον δέ, οἷς αὐτὸς οἶδε λόγοις θεοειδεστέρου σ., ἵνα καὶ ὀφθῇ ὑπὸ τῶν ἐκκεντησάντων, καὶ μείνῃ θεὸς ἕξω παχύτητος Gr.Naz.*or.*40.46(M.36.424C).

C. eucharistic, v. ἀντίτυπος, τύπος, σύμβολον, ὁμοίωμα, μυστικός; **1.** in gen.; words of institution cited, *Lit.*ap.*Const.App.*8.12.36; *Lit.Chrys.*(p.328.6); *Lit.Bas.*(p.328.6); ἐκεῖνος τὸ σ. ἐξίσης ἔδωκε... καὶ γὰρ ὑπὲρ ἁπάντων ὁμοίως ἐκλάσθη, καὶ σ. γέγονεν ὑπὲρ ἁπάντων Chrys.*hom.27.4 in 1Cor.*(10.246D); **2.** thought by iconoclasts to be only true image of Christ ἴδοὺ οὖν ἡ εἰκὼν τοῦ ζωοποιοῦ σ. αὐτοῦ, ἡ ἐντίμως καὶ τετιμημένως πραττομένη CCP(754)*decr.*(H.4.368D); theory denied οὐκ εἶπε· λάβετε, φάγετε τὴν εἰκόνα τοῦ σ. μου CNic.(787)*refut.*(H.4.369C); οὐδαμοῦ οὔτε ὁ κύριος οὔτε οἱ ἀπόστολοι ἢ πατέρες εἰκόνα εἶπον τὴν διὰ τοῦ ἱερέως προσφερομένην ἀναίμακτον θυσίαν, ἀλλ' αὐτὸ σ. καὶ αὐτὸ αἷμα *ib.*(H.4.369D); **3.** in relation to Christ's earthly body; **a.** essential identity, Chrys.*hom.24.4 in 1Cor.*(10.217Af.); ἐνταῦθα κείσεται τὸ σ. τὸ δεσποτικόν, οὐχὶ ἐσπαργανωμένον, καθάπερ τότε, ἀλλὰ πνεύματι πανταχόθεν ἀγίῳ περιστελλόμενον id.*Philogon.*3(1.498A); οὐ μόνον τοῖς ἕνδεκα ἀποστόλοις, ἀλλὰ καὶ τῷ προδότῃ, τοῦ τιμίου μετέδωκε σ. τε καὶ αἵματος Thdt.*1Cor.*11:25(3.238); ἐν ἀληθείᾳ σ. καὶ αἷμα ὁρατὸν καὶ κτιστὸν καὶ γηγενὲς Χριστοῦ εἶναι Anast.S.*hod.*13(M.89.208D); **b.** dist. θέα τὴν πᾶσαν τοῦ σωτῆρος ἡμῶν διδασκαλίαν ὅπως οὐ περὶ ἧς ἀνείληφεν σαρκὸς διελέγετο, περὶ δὲ τοῦ μυστικοῦ σ. τε καὶ αἵματος Eus.*e.th.*3.12(p.168.3; M.24.1021B); μετὰ...τὴν αὐτοῦ παρουσίαν, οὐκέτι χρεία τῶν συμβόλων τοῦ σ., αὐτοῦ φαινομένου τοῦ σ. Thdt.*1Cor.*11:26(3.238); **4.** in rel. to bread; **a.** in liturgical texts: in epiclesis παρακαλοῦμεν τὸν φιλάνθρωπον θεὸν τὸ ἅγιον πνεῦμα ἐξαποστεῖλαι ἐπὶ τὰ προκείμενα, ἵνα ποιήσῃ τὸν μὲν ἄρτον σ. Χριστοῦ, τὸν δὲ οἶνον αἷμα Χριστοῦ. πάντως γὰρ οὗ ἂν ἐφάψηται τὸ ἅγιον πνεῦμα, τοῦτο ἡγίασται καὶ μεταβέβληται Cyr.H.*catech.*23.7; ἐπιδημησάτω...ὁ ἁγιός σου λόγος ἐπὶ τὸν ἄρτον τοῦτον, ἵνα γένηται ὁ ἄρτος σ. τοῦ λόγου Serap.*Euch.*13.15; ἀξιοῦμέν σε, ὅπως ...καταπέμψῃς τὸ ἅγιόν σου πνεῦμα ἐπὶ τὴν θυσίαν ταύτην...ὅπως ἀποφήνῃ τὸν ἄρτον τοῦτον σ. τοῦ Χριστοῦ σου *Lit.*ap.*Const.App.*8.12.39; προθέντες τὰ ἀντίτυπα τοῦ ἁγίου σ. καὶ αἵματος τοῦ Χριστοῦ ...σε παρακαλοῦμεν...ἐλθεῖν τὸ πνεῦμά σου τὸ πανάγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα καὶ εὐλογῆσαι αὐτὰ καὶ ἁγιάσαι καὶ ἀναδεῖξαι τὸν μὲν ἄρτον τοῦτον αὐτὸ τὸ τίμιον σ. τοῦ...Χριστοῦ *Lit.Bas.*(pp.329f.); ἱκετεύομεν κατάπεμψον τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σ. τοῦ Χριστοῦ σου, μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ *Lit.Chrys.*(p.330); *Lit.Marc.*(Brightman p.134); αὐτὸ τὸ πνεῦμά σου τὸ πανάγιον κατάπεμψον, δέσποτα, ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα ἅμα δῶρα ταῦτα, ἵνα ἐπιφοιτῆσαν τῇ ἁγίᾳ...αὐτοῦ παρουσίᾳ ἁγιάσῃ καὶ ποιήσῃ τὸν μὲν ἄρτον τοῦτον σ. ἅγιον Χριστοῦ *Lit.Jac.*(p.206.10); in words of administration σῶμα Χριστοῦ *Lit.*ap.*Const.App.*8.13.15; σ. ἅγιον τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς πιστοῖς μεταδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον *Lit.Jac.*(p.234.8); σ. ἅγιον τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ *Lit.Marc.*(Brightman p.140); σ. καὶ αἷμα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ Anast.S.*hod.*13(M.89.208D); **b.** relationship discussed μὴ πρόσεχε οὖν, ὡς ψιλοῖς τῷ ἄρτῳ καὶ τῷ οἴνῳ· σ. γὰρ καὶ αἷμα Χριστοῦ κατὰ τὴν δεσποτικὴν τυγχάνει ἀπόφασιν...μὴ ἀπὸ τῆς γεύσεως κρίνῃς τὸ πρᾶγμα, ἀλλ' ὑπὸ τῆς πίστεως πληροφοροῦ ἀνενδοιάστως σ. καὶ αἵματος Χριστοῦ καταξιωθείς Cyr.H.*catech.*22.6; ὁ φαινόμενος ἄρτος οὐκ ἄρτος ἐστίν, εἰ καὶ τῇ γεύσει αἰσθητός, ἀλλὰ σ. Χριστοῦ *ib.*22.9; Chrys.*poenit.*9(2.350A) cit. s. ἀπουσιάζω; σ. ἐστι καὶ αἷμα Χριστοῦ εἰς σύστασιν τῆς ἡμετέρας ψυχῆς τε καὶ σ. χωροῦν, οὐ δαπανώμενον, οὐ φθειρόμενον, οὐκ εἰς ἀφεδρῶνα χωροῦν...ἀλλ' εἰς τὴν ἡμῶν οὐσίαν καὶ συντήρησιν Jo.D.*f.o.*4.13(M.94.1152A); ὥσπερ φυσικῶς διὰ τῆς βρώσεως ὁ ἄρτος, καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ διὰ τῆς πόσεως εἰς σῶμα καὶ αἷμα τοῦ ἐσθίοντος καὶ πίνοντος μεταβάλλονται, καὶ οὐ γίνονται ἕτερον σ. παρὰ τὸ πρότερον αὐτοῦ σ.· οὕτως ὁ τῆς προθέσεως ἄρτος, οἰνός τε, καὶ ὕδωρ, διὰ τῆς ἐπικλήσεως καὶ ἐπιφοιτήσεως τοῦ ἁγίου πνεύματος, ὑπερφυῶς μεταποιοῦνται εἰς τὸ σ. τοῦ Χριστοῦ καὶ τὸ αἷμα, καὶ οὐκ εἰσὶ δύο, ἀλλ' ἓν καὶ τὸ αὐτό *ib.*(1145A); cf. *antequam sanctificetur panis, panem nominamus: divina autem illum sanctificante gratia, mediante sacerdote, liberatus est quidem ab appellatione panis, dignus autem habitus dominici corporis appellatione, etiamsi natura panis in ipso permansit, et non duo corpora, sed unum corpus filii praedicamus,* ‡Chrys.*ep.Caes.*(3.744C); τὸ φύσει σ. σῖτον καὶ ἄρτον προσαγορεύσας, καὶ αὖ πάλιν ἑαυτὸν ἄμπελον ὀνομάσας, οὗτος τὰ ὁρώμενα σύμβολα τῇ τοῦ σ. καὶ αἵματος προσηγορίᾳ τετίμηκεν, οὐ τὴν φύσιν μεταβαλών, ἀλλὰ τὴν χάριν τῇ φύσει προστεθεικώς Thdt.*eran.*1(4.26); cf.*ib.*2(126); οὐκ ἄρτος λιτός ἐστιν, ἀλλ' ἡνωμένος θεότητι· σ. δὲ ἡνώμενον θεότητι, οὐ μία φύσις ἐστίν, ἀλλὰ μία μὲν τοῦ σ., τῆς δὲ ἡνωμένης αὐτῷ θεότητος ἑτέρα· ὥστε τὸ συναμφότερον, οὐ μία φύσις, ἀλλὰ δύο Jo.D.*f.o.*4.13(1149B); δύο φύσεις ἐν τῷ μεταλαμβανομένῳ ὑφ' ἡμῶν σ. τοῦ Χριστοῦ, ἡνωμέναι καθ' ὑπόστασίν εἰσιν ἀδιασπάστως. καὶ τῶν δύο φύσεων μετέχομεν, τοῦ σ. σωματικῶς, τῆς θεότητος πνευματικῶς id.*imag.*3.26(M.94.1348B); **c.** relationship effected **i.** through prayers of liturgy ἡμεῖς δὲ τῷ τοῦ παντὸς δημιουργῷ εὐχαριστοῦντες καὶ τοὺς μετ' εὐχαριστίας καὶ εὐχῆς τῆς ἐπὶ τοῖς δοθεῖσι προσαγομένους ἄρτους ἐσθίομεν, σ. γενομένους διὰ τὴν εὐχὴν ἁγιόν τι καὶ ἁγιάζον τοὺς μετὰ ὑγιοῦς προθέσεως αὐτῷ χρωμένους Or.*Cels.*8.33(p.249.7; M.11.1565C); ὅταν αὐτὸν [sc. ἄρτον] τὸ μυστήριον ἱερουργήσῃ, σ. Χριστοῦ λέγεταί τε καὶ γίνεται Gr.Nyss.*bapt.Chr.*(M.46.581C); calling down word of God, Ath.ap.Eutych.*pasch.*8(M.86.2401B) cit. s. μυστήριον; τὸν τῷ λόγῳ τοῦ θεοῦ ἁγιαζόμενον ἄρτον εἰς σ. τοῦ θεοῦ λόγου μεταποιεῖσθαι πιστεύομεν· καὶ γὰρ ἐκεῖνο τὸ σ., ἄρτος τῇ δυνάμει ἦν, ἡγιάσθη δὲ τῇ ἐπισκηνώσει τοῦ λόγου τοῦ σκηνώσαντος ἐν τῇ σαρκί Gr.Nyss.*or.catech.*37(p.149.3; M.45.96D); **ii.** through epiclesis in partic., Cyr.H.*catech.*19.7 cit. s. ἐπίκλησις; ἐν τῇ ἐπικλήσει τοῦ ἁγίου βαπτίσματος ...καὶ ἐπὶ τῆς τραπέζης τῆς μυστικῆς τὸν ἄρτον τὸν κοινόν, σ. ἰδικὸν τῆς αὐτοῦ σαρκώσεως ἀποφαῖνον Isid.Pel.*epp.*1.109(M.78.256C); διὰ τοιούτων τοίνυν εὐχῶν τὴν ἐπιφοίτησιν τοῦ ἁγίου πνεύματος προσεδόκων, ὅπως τῇ αὐτοῦ θείᾳ παρουσίᾳ τὸν προκείμενον εἰς ἱερουργίαν ἄρτον, καὶ οἶνον ὕδατι μεμιγμένον, αὐτὸ ἐκεῖνο τὸ σ. καὶ αἷμα τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀποφήνῃ τε καὶ ἀναδείξῃ ‡Procl.CP *tract.*(M.65.852A); ἐρωτῶμεν, πῶς ὁ ἄρτος γίνεται σ. Χριστοῦ...λέγω σοι κἀγώ· πνεῦμα ἅγιον ἐπιφοιτᾷ, καὶ ταῦτα ποιεῖ τὰ ὑπὲρ λόγον καὶ ἔννοιαν Jo.D.*f.o.*4.13(M.94.1141A); *ib.*(1145A); **iii.** by words of institution ὁ ἄρτος...οὐ διὰ βρώσεως προϊὼν εἰς τὸ σ. γενέσθαι τοῦ λόγου, ἀλλ' εὐθὺς πρὸς τὸ σ. διὰ τοῦ λόγου μεταποιούμενος, καθὼς εἴρηται ὑπὸ τοῦ λόγου ὅτι τοῦτό ἐστι τὸ σ. μου Gr.Nyss.*or.catech.*37 (p.150.2,3; M.45.97A); τοῦτό μού ἐστι τὸ σ., φησί· τοῦτο τὸ ῥῆμα τὰ προκείμενα μεταρρυθμίζει Chrys.*prod.Jud.*2.6(2.394A); **5.** to be received with great reverence, Cyr.H.*catech.*23.21; τοῦ καθαρᾷ τῇ συνειδήσει τὸ ἅγιον ὑποδέχεσθαι σ. Gr.Nyss.*perf.*(M.46.268D); Thdt.*1Cor.*11:27(3.238); Anast.S.*synax.*(M.89.832B); **6.** sustaining bodies of recipients and uniting them with Christ γίνεται ἡ εὐχαριστία σ. Χριστοῦ, ἐκ τούτων [sc. ποτήριου, ἄρτου] δὲ αὔξει καὶ συνίσταται ἡ τῆς σαρκὸς ἡμῶν ὑπόστασις Iren.*haer.*5.2.3(M.7.1125B); ἵνα γένῃ μεταλαβὼν σ. καὶ αἵματος Χριστοῦ σύσσωμος καὶ σύναιμος αὐτοῦ. οὕτω γὰρ καὶ Χριστοφόροι γινόμεθα, τοῦ σ. αὐτοῦ καὶ τοῦ αἵματος εἰς τὰ ἡμέτερα ἀναδιδομένου μέλη Cyr.H.*catech.*22.3; Gr.Nyss.*or.catech.*37(p.142.2f.; M.45.93Af.); τὸ ἀθανατισθὲν ὑπὸ τοῦ θεοῦ σ. ἐν τῷ ἡμετέρῳ γενόμενον ὅλον πρὸς ἑαυτὸ μεταποιεῖ καὶ μετατίθησιν *ib.*(p.143.4; 93B); **7.** forming recipients into one body τί γάρ ἐστιν ὁ ἄρτος; σ. Χριστοῦ. τί δὲ γίνονται οἱ μεταλαμβάνοντες; σῶμα Χριστοῦ. οὐχὶ σώματα πολλά, ἀλλὰ σ. ἕν Chrys.*hom.24.2 in 1Cor.*(10.213E); γεγόναμεν ἡμεῖς Χριστοῦ σ. ἐν καὶ σαρξ μία id.*hom.82.5 in Mt.*(7.788C); thus a means of unity 'εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν, οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν.' συνδεῖ γὰρ ἡμᾶς εἰς ἑνότητα τὸ ἐν ἡμῖν σ. Χριστοῦ, μεμέρισται δὲ κατ' οὐδένα τρόπον...διὰ τοῦ σ. τοῦ Χριστοῦ πρὸς ἑνότητα τὴν πρὸς αὐτόν, καὶ πρός γε τὴν εἰς ἀλλήλους συνενηνέγμεθα Cyr.*Nest.*4.5(p.85.39f.; 6¹.111B); **8.** not reverting to mere bread if not consumed ἀκούω δὲ ὅτι φασὶν ἀπρακτεῖν εἰς ἁγιασμὸν τὴν μυστικὴν εὐλογίαν, εἰ ἀπομείνοι λείψανον αὐτῆς εἰς ἑτέραν ἡμέραν. μαίνονται δὲ ταῦτα λέγοντες· οὐ γὰρ ἀλλοιοῦται Χριστός, οὐδὲ τὸ ἅγιον αὐτοῦ σ. μεταβληθήσεται, ἀλλ' ἡ τῆς εὐλογίας δύναμις, καὶ ἡ ζωοποιὸς χάρις διηνεκὴς ἐστιν ἐν αὐτῷ Cyr.*ep.Calos.*(p.606.1; 6².365B); **9.** whole body is received ὅλον...ἅπας τὸ ἅγιον σ. καὶ τὸ τίμιον αἷμα τοῦ κυρίου δέχεται, κἂν εἰ μέρος τούτων δέξηται· μερίζεται γὰρ ἀμερίστως ἐν ἅπασι, διὰ τὴν ἔμμιξιν Eutych.*pasch.*2(M.86.2393C).

D. Church as Christ's body, v. ἐκκλησία; **1.** in gen., Ign.*Smyrn.*1.2; Clem.*str.*7.14(p.62.19; M.9.521B); σ. τὴν ἐκκλησίαν καὶ οἶκον θεοῦ ἐκ λίθων ζώντων οἰκοδομούμενον Or.*Jo.*10.39(23; p.215.30; M.14.381B); id.*Cels.*6.79(p.151.2; M.11.1417D); τοῦ σ. τοῦ ἐκκλησιαστικοῦ Chrys.*hom.10.1 in Eph.*(11.86B); Thdr.Mops.*Eph.*5:23(p.184.22; M.66.920B); also of a single Christian ἓν σ. εἶ τοῦ Χριστοῦ, φέρε τὸν σταυρόν· καὶ γὰρ ἐκεῖνος ἤνεγκε·...τοιοῦτον ἐκεῖνο τὸ σ. ἦν Chrys.*hom.3.3 in Eph.*(11.21B,C); **2.** its composition; **a.** Christ the head, v. κεφαλή; **b.** Christians its members ἡμῖν τῷ κοινῷ Χριστοῦ σ. Gr.Naz.*or.*32.10(M.36.185B); v. μέλος; **c.** relation between body and head discussed σ. Χριστοῦ εὑρίσκοντες λεγομένην τὴν ἐκκλησίαν, ζητοῦμεν πότερόν ποτε, ὡς παρὰ τὴν κεφαλὴν τὸ λοιπὸν σ., ὄργανον τῆς κεφαλῆς δεῖ αὐτὴν νοεῖν, ἢ ὥσπερ τοῦ ἀνθρώπου σ., οὗ σ. μέρος ἐστὶν ἡ κεφαλή, οὕτως Χριστοῦ σ. ἐστι ψυχούμενον ὑπὸ τῆς θεότητος αὐτοῦ καὶ πληρούμενον ὑπὸ τοῦ πνεύματος αὐτοῦ ἡ πᾶσα ἐκκλησία Χριστοῦ, ἢ ἄλλως πως δεῖ ταῦτα ἐκλαμβάνειν. ἐὰν μέντοιγε τὸ δεύτερον ᾖ, ἔσται τὸ μὲν ἀνθρωπικώτερον αὐτοῦ καὶ αὐτὸ μέρος τυγχάνον τοῦ ὅλου σ., τὸ

δὲ θεῖον καὶ ζωοποιο[ῦ]ν πᾶσαν τὴν ἐκκλησίαν ἡ ὥσπερεὶ ψυχοῦσα αὐτὴν δύναμις θεία Or.*comm.in Eph.*1:23(p.401); ref. 1Cor.12:12 οὕτω καὶ τοῦ Χριστοῦ τὸ σῶμα, ὅπερ ἐστὶν ἡ ἐκκλησία. καθάπερ γὰρ καὶ σ. καὶ κεφαλὴ εἷς ἐστιν ἄνθρωπος, οὕτω τὴν ἐκκλησίαν καὶ τὸν Χριστὸν ἓν ἔφησεν εἶναι. διὸ καὶ τὸν Χριστὸν ἀντὶ τῆς ἐκκλησίας τέθεικε, τὸ σ. αὐτοῦ οὕτως ὀνομάζων. ὥσπερ οὖν, φησίν, ἕν τι ἐστὶ τὸ ἡμέτερον σ., εἰ καὶ ἐκ πολλῶν σύγκειται· οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ ἕν τι πάντες ἐσμέν Chrys.*hom.30.1 in 1Cor.*(10.270A); **d.** qualification for membership *τί δέ ἐστιν 'ἓν σ.'; οἱ πανταχοῦ τῆς οἰκουμένης πιστοί, καὶ ὄντες καὶ γενόμενοι καὶ ἐσόμενοι· πάλιν καὶ οἱ πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας εὐηρεστηκότες, ἓν σ. εἰσι* id.*hom.10.1 in Eph.*(11.75B); *σ. καὶ μέλη λέγει Χριστοῦ, τὸ σ. τῶν πιστευσάντων καὶ βαπτισθέντων* Sever. *1Cor.*6:15(p.247.17); cf. *ἡ τοῦ ἁγίου πνεύματος ἐν πάσῃ τῇ καθολικῇ ἐκκλησίᾳ μία ἐστὶ μάθησις καὶ ἡ αὐτὴ διδασκαλία, ἣν εἴ τις μὴ δέχεται, οὔκ ἐστι μέλος τοῦ σ. τοῦ Χριστοῦ* Leo Mag.*ep.*35(p.40.24; M.*PL*.54.806A); **3.** its resurrection *τὴν γενομένην ἀνάστασιν τοῦ Χριστοῦ ἀπὸ τοῦ κατὰ τὸν σταυρὸν πάθους περιέχειν μυστήριον τῆς ἀναστάσεως τοῦ παντὸς Χριστοῦ σ.* Or.*Jo.*10.35(20; p.209.32; M.14.372B); *ὅτε δὲ γίνεται αὐτὴ ἡ ἀνάστασις τοῦ ἀληθινοῦ καὶ τελειοτέρου Χριστοῦ σ., τότε τὰ μέλη τοῦ Χριστοῦ τὰ νῦν, ὡς πρὸς τὸ μέλλον, ξηρὰ ὀστᾶ συναχθήσεται ib.*10.36(20; p.210.32; 373A); *ἐγερεῖ καὶ τὰ μέλη τοῦ σ. αὐτοῦ, ἵνα χαρίσηται αὐτοῖς τὰ πάντα, ὡς θεός, ὅσα αὐτὸς ὡς ἄνθρωπος ἔλαβεν* Ath.*inc.et c.Ar.*12(M.26.1004B); **4.** exeg. Eph.1:23 *ἂν γὰρ μὴ ὦμεν πολλοί, καὶ ὁ μὲν χείρ, ὁ δὲ ποῦς, ὁ δὲ ἄλλο τι μέρος, οὐ πληροῦται ὅλον τὸ σ. διὰ πάντων οὖν πληροῦται τὸ σ. αὐτοῦ. τότε πληροῦται ἡ κεφαλή, τότε τέλειον σ. γίνεται, ὅταν ὁμοῦ πάντες ὦμεν συνημμένοι καὶ συγκεκολλημένοι* Chrys.*hom.3.2 in Eph.*(11.20A,B); *ὥσπερ γάρ, φησίν, 'ἐν πᾶσι τὰ πάντα πληροῖ', οὕτως καὶ ἐν τῇ ἐκκλησίᾳ πληροῦται κατὰ τὸ εἶναι σ. τοῦ Χριστοῦ. Χριστοῦ οὖν σ., πλήρωμα δὲ θεοῦ ἡ ἐκκλησία* Sever.*Eph.*1:23(p.307).

III. of God: said by Arius to be a consequence of homoousian doctrine, Ar.*ep.Alex.*(p.13; M.26.709C–712A) cit. s. *ὁμοούσιος*.

IV. of angels *τὰ δαιμόνια 'ἀσώματα' εἴρηται, οὐχ ὡς σ. μὴ ἔχοντα (ἔχει γὰρ καὶ σχῆμα· διὸ καὶ συναίσθησιν κολάσεως ἔχει), ἀλλ' ὡς πρὸς σύγκρισιν τῶν σωζομένων σ. πνευματικῶν σκιὰ ὄντα ἀσώματα εἴρηται. καὶ οἱ ἄγγελοι σ. εἰσιν· ὁρῶνται γοῦν* Clem.*exc.Thdot.*14(p.111.15f.; M.9.664B); *ἄγγελος δέ, καὶ ψυχή, καὶ δαίμων, πρὸς μὲν θεὸν συγκρινόμενοι, τὸν μόνον ἀσύγκριτον, σώματά εἰσι· πρὸς δὲ τὰ ὑλικὰ σ., ἀσώματοι* Jo.D.*imag.*3.25(M.94.1345A); *τῷ ὄντι...ὡς πρὸς ἡμᾶς ἀόρατοί εἰσιν· ὡς ὁραθέντες δὲ παρὰ πλειόνων αἰσθητῶς πλεονάκις τῷ εἴδει τῶν οἰκείων αὐτῶν σ.* Jo.Thess.*fr.*ap.CNic.(787)*act.*5(H.4.293C).

V. *figure of three dimensions, solid τὰ τριττὰ τῶν σ. σχήματα* Dion. Ar.*d.n.*9.5(M.3.913A); *σ. δέ ἐστι, τὸ τριχῇ διαστατόν, ἤγουν τὸ ἔχον μῆκος, καὶ πλάτος, καὶ βάθος, ἤτοι πάχος* Jo.D.*f.o.*2.12(M.94.925A).

VI. *book, volume,* opp. papyrus roll *ἓν...σ. τῆς γραφῆς ὡς ἑνὸς καὶ μόνου τὰς ἁπάντων ἡμῖν ἐκθεμένου φωνάς* Proc.G.*Gen.*proem.(M.87.21A); *βιβλίον ἔχον ὅλην τὴν νέαν διαθήκην...ἐν σώματι πολὺ καλῷ* Jo. Mosch.*prat.*134(M.87.2997A); *βιβλίον...ἐν σώμασι ἀργυρένδετον* CCP (681)*act.*10(H.3.1201E); *ib.*(1208D).

VII. *corporate body, corporation τῷ προειρημένῳ σ. τῶν Χριστιανῶν* Const.ap.Eus.*h.e.*10.5.12(M.20.885A).

VIII. *body, unit τοῦ τὸ ἓν σ. τῆς ἀληθείας μετὰ σοφίας συναχθῆναι* Or.*Jo.*13.46(p.272.31; M.14.481A); *ποῦ νῦν εἰσιν οἱ τὴν παλαιὰν διαβάλλοντες, οἱ τὸ σ. τῆς γραφῆς διασπῶντες;* Chrys.*hom.2.2 in 2Cor.* 4:13(3.270D); id.*hom.in Jer.*10:23(6.160C) cit. s. *γραφή*.

IX. *reality, POxy.*5.9 (saec. iii–iv) cit. s. *πνεῦμα*.

X. *kernel, essential part* of a book *ὡς τὸ σ. καὶ τὸ ὕφος τῆς προφητείας ὑπαγορεύει* Clem.*str.*7.16(p.68.9; M.9.533B); *τὸ σ. τοῦ ὅλου λόγου* Or.*Jo.*6.3(1; p.108.14; M.14.201A); *ὡς ἂν μὴ τὸ σ. τῆς παρούσης ἡμῖν διακόπτοιτο ἱστορίας* Eus.*v.C.*3.24(p.89.10; M.20.1085A).

XI. *bodily aspect* or *form*; hence of literal sense of scripture, v. *γραφή*; *οἱ μὲν τὸ σ. τῶν γραφῶν, τὰς λέξεις καὶ τὰ ὀνόματα, καθάπερ τὸ σ. τὸ Μωϋσέως, προσβλέπουσιν, οἱ δὲ τὰς διανοίας καὶ τὰ ὑπὸ τῶν ὀνομάτων δηλούμενα διορῶσι* Clem.*str.*6.15(p.498.29,30; M.9.357A); *μὴ τὸ σ. τῆς ἐπιστολῆς ἀναγινώσκειν μόνον, ἀλλὰ καὶ τὴν κάτω κειμένην πρόσρησιν* Chrys.*hom.1.1 in Rom.16:3*(3.172B); Thdt.*eran.* proem.(4.3C).

XII. *personal service κελεύει δὲ ἐκ τούτων ὀκτακόσια μὲν ἐν σώμασι λειτουργεῖν, τὰ δὲ λοιπὰ ἐν ἀπαργυρισμῷ* Ath.Scholast.*coll.*2.11(p.41).

σωματεῖον, τό, *corporate body ἀπεκατεστάθη αὐτοῖς τὸ ἴδιον σ.* Ign. *Smyrn.*11.2; met. *τὸ γὰρ προφητικὸν πνεῦμα τὸ σ. ἐστιν τῆς προφητικῆς τάξεως POxy.*1.5.9.

***σωματέμψυχος,** *having both soul and body ὁ λόγος...ἑαυτῷ ἥνωσε τὴν ἡμετέραν σ. φύσιν, οὐκ ἄψυχον* Eulog.*fr.Trin.*3.1(p.368).

σωματικός, 1. *bodily, of the body, corporeal*; in gen. *οὐ σ. γὰρ τὸ ἐκείνου* [sc. Christ] *βάπτισμα, τὸν μετανοοῦντα πληροῦντος ἁγίου πνεύματος καὶ θειοτέρου πυρὸς πᾶν ὑλικὸν ἀφανίζοντος καὶ πᾶν γεῶδες ἐξαναλίσκοντος* Or.*Jo.*6.32(17; p.141.27; M.14.256A); *τῆς σ. ἐπιφανείας* [i.e. of Christ] Ath.*inc.*20.1(M.25.129C); *σάρκα γεγονότα... ἄνευ μεταβολῆς καὶ μειώσεως, ἄνευ σ. ἀλλοιώσεως* Sophr.H.*or.*2.36(M. 87.3265A); used only met. of God *ἐὰν ἐκ γαστρὸς ἡ γραφὴ λέγῃ, οὐ σ. δεῖ ταύτην ἐκδέχεσθαι* ‡Ath.*Ar.*4.27(p.75.17; M.26.509C); *μηδὲ στόμα θεοῦ σ.* Didym.(‡Bas.)*Eun.*5(1.306E; M.29.736B); of communion with God *τῆς πρὸς αὐτὸν ἐχόμενοι κοινωνίας, οὐχὶ μόνον πνευματικῆς ἀλλὰ καὶ σ.* Cyr.*Jo.*10.2(4.864A); neut. as subst., *bodily nature ἐκ τούτου μὲν γὰρ τὸ σ. τοῦ κυρίου σημαίνεται, ἐξ ἐκείνων δὲ τὸ ἀΐδιον τῆς θεότητος αὐτοῦ* Ath.*Dion.*20(p.61.12; M.25.209A); plur. *οἱ μὲν τὰ σ. βλέποντες τοῦ σωτῆρος* id.*ep.Serap.*4.15(M.26.657B); **2.** *having a body σ. ... ἐστιν οἰκήτωρ κόσμου* Tit.Bost.*Man.*2.2(M.18.1137A); **3.** *corporal σ. ὅρκον ὑποτελῶν ἐν τῇ παρ' αὐτοῦ γενομένῃ διαθήκῃ* Ath. Scholast.*coll.*9.4(p.101); *τὸν σ. ἐπὶ τῶν προκειμένων ἀχράντων τοῦ θεοῦ εὐαγγελίων καταβαλλόμενοι ὅρκον* CCP(681)*act.*10(H.3.1248E); *ib.*13 (1352A); **4.** *bodily, fleshly, sexual σαρκικῶν καὶ σ. ἐπιθυμιῶν Did.*1.4; *ὁ Αὔγουστος...σωφρονήσας ἀπὸ σ. ἁμαρτίας* Jo.Mal.*chron.*10 p.232 (M.97.357B); neut. as subst. *κακῶς βιοῦντες πρὸς τὰ σ. ib.*18 p.436 (644A); **5.** *concerned with corporeal* or *earthly things*; **a.** of things and abstracts, usu. opp. *πνευματικός: οὐ τὰς σ. ... πράξεις...ἀλλὰ... τὰς πνευματικάς* Or.*Cels.*4.44(p.317.19; M.11.1101A); *σ. περιτομῆς καὶ σ. σαββάτου καὶ σ. ἑορτῶν καὶ σ. νουμηνιῶν ib.*2.7(p.133.13; 805A); *ὑπεράνω μὲν τῶν αἰσθητῶν καὶ πάσης σ. φαντασίας γινόμενος, πρὸς δὲ τὰ ἐν οὐρανοῖς θεῖα καὶ νοητὰ τῇ δυνάμει τοῦ νοῦ συναπτόμενος* Ath. *gent.*2(M.25.8A); *εἰς γάμον σ. κληθεὶς* [i.e. at Cana] Cyr.H.*catech.* 22.2; *τὸ δὲ πλῆθος τῆς σ. δυνάμεως ἐμπόδιόν ἐστι πρὸς τὴν σωτηρίαν τοῦ πνεύματος* Bas.*hom.in Ps.*32(1.141B; M.29.343C); *'ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστι'· τουτέστι, οὐδὲν ψεῦδος ἐν αὐτῷ...καὶ ὅτι οὐδὲν τυπικὸν δηλοῖ πάλιν, οὐδὲ σ.* Chrys.*hom.82.1 in Jo.*(8.484A); *οὐκ ἔστι* [sc. fasting] *σ. γυμνασία, ἀλλὰ πνευματική* id.*hom.12.2 in 1Tim.*(11. 612A); *σ. ἔννοιαι* Cyr.*Jo.*3.6(4.320C); **b.** of persons, *earthly-minded ὁ σ. θεολόγος* Gr.Nyss.*Eun.*10(2 p.190.16; M.45.785A); *τοῖς σ. Ἰουδαίοις* ‡Chrys.*pasch.*4(8.260B); **c.** neut. plur. as subst., *earthly things,* Clem.*ecl.*11(p.139.26; M.9.704A); *ἐλθὼν οὐκ εἰρήνην ἐπὶ τὴν γῆν, τοῦτ' ἔστιν ἐπὶ τὰ σ. καὶ αἰσθητά, βαλεῖν ἀλλὰ μάχαιραν* Or.*Jo.*1.32 (36; p.40.32; M.14.85A); *οἱ ἐν σ. νοοῦντες εἶναι τὸν θεόν* Ath.*inc.*15.2 (M.25.121D); *οὐκ ἀργήσεις σωματικῶν, ἵνα ἄρῃς πνευματικά;* Cyr.H. *procatech.*6; *διὰ τῶν σ. αὐτοὺς ἐπὶ τὰ πνευματικὰ ποδηγεῖ* Thdt.*qu. 36 in Ex.*(1.148); **6.** *concrete, physical*; **a.** in gen. *ἐὰν λάβῃς τὰς φυλὰς ταύτας σωματικάς...ποῦ ιβ' χιλιάδας εὕροις;* Or.*Apoc.*32(*JTS* 25 p.10); *ποῖος γὰρ σ. δράκων ἐν τῷ σ. τῆς Αἰγύπτου ποταμῷ ὀφθεὶς ἱστόρηταί ποτε;* id.*Jo.*6.48(29; p.157.12; M.14.284B); *διὰ τοῦτο ζῶντές εἰσιν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ἐπεὶ καὶ αὐτοὶ συνταφέντες τῷ Χριστῷ συνανέστησαν αὐτῷ, οὐ πάντως κατὰ τὴν σ. τοῦ Ἰησοῦ ταφὴν ἢ σ. ἀνάστασιν αὐτοῦ ib.*20.12(p.342.20f.; 600C); *εἰ ὁ εὐαγγελιζόμενος 'ἀγαθὰ εὐαγγελίζεται', πάντες δὲ οἱ πρὸ τῆς σ. Χριστοῦ ἐπιδημίας Χριστὸν εὐαγγελίζονται ὄντα 'τὰ ἀγαθά' ib.*1.15(p.19.18; 49A); *ταῦτα τροπικῶς λέγεται εἰς παράστασιν τὴν ἀπὸ τῶν συνήθων καὶ σ. ὀνομάτων τῆς νοητῆς φύσεως* id.*Cels.*6.70(p.140.3; M.11.1404C); **b.** *external,* of Jewish worship *'μόδιον' δὲ συμβολικῶς κέκληκε τὴν συναγωγὴν τῶν Ἰουδαίων καὶ τὴν σ. τοῦ νόμου λατρείαν τῶν πάλαι ἐν τῷ γράμματι συμβόλων id.fr.12 in Lc.*(p.238); *τῆς ἐν τῷ τόπῳ σ. λευϊτικῆς καὶ ἱερατικῆς λατρείας* id.*Jo.*28.12(11; p.402.22; M.14.704B); *τὴν παραίτησιν τῆς κατὰ τὸν Μωσέως νόμον σωματικωτέρας λατρείας διδάσκει* Eus.*d.e.*6.3 (p.255.5; M.22.420A); of words opp. writing *ἐκ νοὸς εἰς νοῦν, διὰ μέσου λόγου, σωματικοῦ μέν, ἀυλοτέρου δὲ ὅμως, γραφῆς ἐκτός* Dion. Ar.*e.h.*1.4(M.3.376C); **c.** *literal, actual*; **i.** ref. interpretation of scriptures *ἢ προϊέμενος τὰ τέσσαρα εἶναι ⟨ἐρεῖ τ'⟩ ἀληθὲς αὐτῶν οὐκ ἐν τοῖς σ. χαρακτῆρσιν* Or.*Jo.*10.2(2; p.173.31; M.14.312B); *προέκειτο... αὐτοῖς* [sc. the evangelists] *ὅπου μὲν ἐνεχώρει ἀληθεύειν πνευματικῶς ἅμα καὶ σωματικῶς, ὅπου δὲ μὴ ἐνεδέχετο ἀμφοτέρως, προκρίνειν τὸ πνευματικὸν τοῦ σ., σωζομένου πολλάκις τοῦ ἀληθοῦς πνευματικοῦ ἐν τῷ σ., ὡς ἂν εἴποι τις, ψεύδει ib.*10.5(4; p.175.19; 313C); *οἱ Ἰουδαῖοι τὰ βάθη τῶν γραφῶν μὴ συνηθημένοι καὶ πάντα σ. τὸν νόμον ἡγούμενοι καὶ τοὺς προφήτας εἰρηκέναι* Meth.*symp.*9.1(p.115.6; M.18.180A); *ὅταν ἀκούω 'ἄμπελον ἐξ Αἰγύπτου μετῆρας', οὐκ ἄμπελον σ. περιβλέπομαι, ἀλλὰ τὸν λαὸν νοῶ* ‡Ath.*dial.Trin.*3.27(M.28.1245A); *τῆς σ. τῶν ὀνομάτων ἐμφάσεως* Gr.Nyss.*Eun.*8(2 p.187.12; M.45.781B); Cyr.*Am.*5(3.258D); **ii.** *literal-minded*; of the Jews, Or.*comm.in Mt.*11.12(p.52.30; M.13.940C); id.*Jo.*10.15(12; p.185.25; M.14.332C); *οἱ σ. καὶ τοῖς αἰσθητοῖς φίλοι δοκοῦσίν μοι νῦν διὰ τῶν Ἰουδαίων δηλοῦσθαι ib.*10.38(20; p.209.5; 369C); **iii.** neut. as subst., *literal sense* of scripture, v. *γραφή, ἔνδυμα; κατὰ τὸ σ. literally ἐκ τῆς 'διψῆν' φωνῆς καὶ ἐκ τῆς 'πεινῆν' κατὰ τὸ σ. δύο σημαινόμενα ib.*13. 2(p.227.15; M.14.401A); *κατὰ τὸ σ. οὐ πάντες ἄνθρωποι σπέρμα εἰσὶν*

τοῦ Ἀβραάμ *ib.*20.2(p.328.13; 573C); opp. κατὰ τὴν ἀναγωγήν, *ib.* 32.27(17; p.472.24; 816D); τὸ σ. ἐκβαλών, τὸ πνευματικὸν πληροῦν ἐπαγγέλλεται Proc.G.*Is.*1:11–15(M.87.1485D); **d.** ? *factual* ἀναγκαῖον πνευματικῶς καὶ σωματικῶς Χριστιανίζειν· καὶ ὅπου μὲν χρὴ τὸ σ. κηρύσσειν εὐαγγέλιον, φάσκοντα 'μηδὲν εἰδέναι' ⟨ἐν⟩ τοῖς σαρκίνοις 'ἢ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον', τοῦτο ποιητέον Or.*Jo.* 1.7(9; p.13.4; M.14.37B); **e.** *solid* τὰ σ. τοῦ κόσμου στοιχεῖα Iren. *haer.*1.4.2(M.7.484A); **f.** *material* εἰκονίζονται μὲν οὖν σωματικῶς, ὡς εἰκόνισε Μωϋσῆς τὰ χερουβίμ, καὶ ὡς ἐωράθησαν τοῖς ἀξίοις, ἀλλ' ἀσώματον καὶ νοητήν τινα θεωρίαν δηλούσης τῆς σ. εἰκόνος Jo.D. *imag.*3.24(M.94.1344B).

τροῦλλος, ὁ, *dome, domed building,* Jo.Mal.*chron.*18 p.489(M.97.708B); Steph.Diac.*v.Steph.*(M.100.1144D).

τροφεύς, ὁ, *one who rears, brings up*; *foster-father*; of Christ, *Diogn.*9.6; τοῦ θεοῦ τοῦ τ. καὶ πατρὸς τῶν γεννωμένων καὶ ἀναγεννωμένων Clem.*paed.*1.6(p.114.28; M.8.300A); ὁ λόγος τὰ πάντα τῷ νηπίῳ, καὶ πατὴρ καὶ μήτηρ καὶ παιδαγωγὸς καὶ τ. *ib.*(p.115.21; 301A); ὁ...τ. ἡμῶν λόγος τὸ αὐτοῦ ὑπὲρ ἡμῶν ἐξέχεεν αἷμα *ib.*(p.116.5; 301B); ἐγώ σου τ., ἄρτον ἐμαυτὸν διδούς id.*q.d.s.*23(p.175.11; M.9.628D); *one who provides food* for the poor ὁμολογεῖ [sc. Christ] τὸν τ. καὶ ξενοδόχον Chrys.*hom.79.2 in Mt.*(7.761A); of Manich. 'hearers' who supplied food to the 'elect', Epiph.*haer.*66.53(p.90.5; M.42.109A).

τροφή, ἡ, *food, nourishment*; **1.** in gen. γῆ...κατὰ τὸ θέλημα αὐτοῦ ...τὴν πανπληθῆ...ἀνατέλλει τ. *1Clem.*20.4; οὐχ ἥδομαι τροφῇ φθορᾶς ...ἄρτου θεοῦ θέλω, ὅ ἐστιν σὰρξ Ἰησοῦ Χριστοῦ Ign.*Rom.*7.3; ἀντὶ τραπέζης τῆς πατρικῆς...ἀμειψάμενος...τὰς χοιρείους τ. Gr.Thaum.*pan.Or.*16(p.36.24; M.10.1097B); τροφῆς καὶ ποτοῦ...μεταλαβών [sc. Christ], ὁ τρέφων πάντας τοὺς χρήζοντας τροφῆς *Lit.*ap.*Const.App.*8.12.32; **2.** in rel. to spiritual life; vegetarian diet of Greek philosophers, Clem.*str.*7.6(p.25.1; M.9.445A); of Christian diet σεμναὶ διατρέπουσιν πορεία καὶ κατάκλισις καὶ τ. καὶ ὕπνος...καὶ ἡ λοιπὴ παιδεία id.*paed.*1.12(p.149.27; M.8.369B); ἄθετος...ἡ τοιαύτη τ. [sc. meat] πρὸς σύνεσιν ἀκριβῆ id.*str.*7.6(p.26.7; 448B); to be simple, *ib.*1.10(p.32.6; M.8.745B); not excessively varied, id.*paed.*2.10(p.218.16; 520A); cereals recommended, *ib.*2.1(p.154.18; 380A); πᾶν...ἀμβλὺ καὶ νόθον τῆς ψυχῆς ἢ πεφυκυίας οὕτως ἢ καὶ ὑπὸ τ. περιττῶν τοῦ σώματος παχυνομένης Gr.Thaum.*pan.Or.*7(p.20.16; M.10.1076B); ἣν αὐτῷ [sc. Antony] ἡ τ. ἄρτος καὶ ἅλας καὶ τὸ ποτὸν ὕδωρ μόνον Ath.*v.Anton.*7(M.26.853A); **3.** ref. thanksgiving for food ὁ ἐσθίων...κυρίῳ ἐσθίει καὶ εὐχαριστεῖ τῷ θεῷ...ὡς εἶναι τὴν δικαίαν τροφὴν εὐχαριστίαν Clem.*paed.*2.1(p.161.2; M.8.393C); εὐλογήσας...ἐπὶ τῆς τ. καὶ εὐχαριστήσας μετὰ τὸ κορεσθῆναι *Hom.Clem.*1.22; εὐχαριστοῦμέν σοι...ὅτι κατηξίωσας ἡμᾶς μεταλαβεῖν...τῶν σαρκικῶν τ. ... δεόμεθα... ἵνα καὶ τὰς ἐπουρανίους τ. ἡμῖν δωρήσῃ Ath.*virg.*14(p.49.12; M.28.269A); **4.** ref. idolatry; offering of food to idols forbidden, Clem.*paed.*2.1(p.159.17; M.8.392B); incense and odours of sacrifice as food of demons, id.*str.*7.6(p.24.4; M.9.444B); Or.*mart.*45(p.41.19; M.11.621A); **5.** ref. distribution of food in Church to widows, CAlex.*ep.*(p.101.2; M.25.277C); supervised by bishops, *Const.App.*2.25.8; alms of the wicked not to be used for supply of food but for wood for burning, *ib.*4.10.1; **6.** *support, sustenance* εἰς δημιουργίαν καὶ τ. τῆς σαρκός Clem.*str.*7.12(p.56.34; M.9.509C); plur., *livelihood, ib.*(p.52.7; 500C); **7.** met., in gen. ἡ ἁμαρτία...ἡ τοῦ θανάτου συνεργὸς...ἡτοίμαζεν αὐτῷ τροφάς Mel.*pass.*54 p.9.10; γεύεται δὲ θανάτου, καὶ οὐ γεύεται μόνον ἀλλὰ καὶ ἐμφορεῖται ὡς τροφῆς τοῦ θανάτου, ὁ προφερόμενος τὰ ἐναντία τοῖς ῥήμασι τῆς...ζωῆς Or.*Jo.*20.43(33; p.387.4; M.14.676C); οἱ...τοιοῦτοι...τ. τοῖς ἀλόγοις γίνονται ἐνταῦθα πάθεσιν... καὶ ἐκεῖ πάλιν ὕλη καὶ τ. τῷ πυρί Chrys.*hom.11.6 in Mt.*(7.156E); **8.** of food of the mind τ. ... ἢ διὰ σιτίων ἢ διὰ λόγων λαμβάνεται Clem.*str.*1.1(p.6.16; M.8.693A); εἰσὶ γὰρ καὶ ψυχαὶ ἰδίας ἔχουσαι τροφάς, αἱ μὲν κατ' ἐπίγνωσιν καὶ ἐπιστήμην αὔξουσαι, αἱ δὲ τὴν Ἑλληνικὴν νεμόμεναι φιλοσοφίαν, ἧς καθάπερ καὶ τῶν καρύων οὐ τὸ πᾶν ἐδώδιμον *ib.*(p.6.21; 693B); τῆς τῶν λογικῶν ζῴων λογικῆς τ. Or.*Cels.*7.60(p.209.17; M.11.1505C); **9.** of spiritual food in gen. μόνῃ τῇ Χριστιανῇ τ. χρῆσθε, ἀλλοτρίας δὲ βοτάνης ἀπέχεσθε, ἥτις ἐστὶν αἵρεσις Ign.*Trall.*6.1; ἡ πνευματικὴ τ., γλυκεῖα μὲν διὰ τὴν χάριν ὑπάρχουσα, τρόφιμος δὲ ὡς ζωή, λευκὴ δὲ ὡς ἡμέρα Χριστοῦ Clem.*paed.*1.6(p.114.18; M.8.297C); κατήχησα ὑμᾶς ἐν Χριστῷ ἁπλῇ καὶ ἀληθεῖ...τ. τῇ πνευματικῇ *ib.*(p.111.6; 292C); τῆς ἄνω τ. ἐξέχεσθαι τῆς θείας καὶ τῆς τοῦ ὄντως ὄντος ἀπλήρωτον ἐμπίπλασθαι θέας *ib.*2.1 (p.160.5; 393A); ἀγάπη...τῷ ὄντι ἐπουράνιός ἐστι τ., ἑστίασις λογική *ib.*(p.157.8; 385B); γάλα μὲν ἡ κατήχησις, οἱονεὶ πρώτη ψυχῆς τ. νοηθήσεται, βρῶμα δὲ ἡ ἐποπτικὴ θεωρία id.*str.*5.10(p.370.15; M.9.101A); cf.*ib.*5.8(p.359.18; 77B); εἰ...ἡμῖν βρῶμα ἡ γνῶσις εἶναι συμπεφώνηται, μακάριοι τῷ ὄντι...οἱ πεινῶντες καὶ διψῶντες τὴν ἀλήθειαν, ὅτι πλησθήσονται τροφῆς ἀιδίου *ib.*5.11(p.373.3; 105C); τῶν κοσμικῶν νηστεύειν χρή, ἵνα τῷ κόσμῳ ἀποθάνωμεν καὶ μετὰ τοῦτο τ. θείας μεταλαβόντες θεῷ ζήσωμεν id.*ecl.*14(p.140.27; M.9.705A); ἐὰν σιωπήσωμεν μὴ ἀντιπαρατιθέντες... [i.e. over against heresy] τὰ ἀληθῆ... δόγματα, ἐπικρατήσουσι τῶν...ψυχῶν, ἀπορίᾳ τροφῆς σωτηρίου ἐπὶ τὰ ἀπηγορευμένα σπευδουσῶν καὶ...ἀκάθαρτα...βρώματα Or.*Jo.*5.8 (p.105.8; M.14.196A); ref. less advanced doctrine ἡ μέν τίς ἐστιν τῶν ἀλογωτέρων ψυχῶν πνευματικὴ ποώδης τ. *ib.*13.33(p.258.25; 457A); ref. spiritual senses ἄλλη μέν τις ἂν εἴη ἡ ὁρατικὴ τῆς ψυχῆς δύναμις καὶ θεωρητική, ἄλλη δὲ ἡ γευστικὴ καὶ ἀντιληπτικὴ τῆς ποιότητος τῶν νοητῶν τ. *ib.*20.43(33; p.386.27; 676B); πολλάκις...μετὰ πολλῶν ἄλλων μοναχῶν μέλλων ἐσθίειν, ἀναμνησθεὶς τῆς πνευματικῆς τ., παρῃτήσατο Ath.*v.Anton.*45(M.26.909A); ἡ στερεωτέρα τ., τουτέστιν ὁ περὶ τῶν ἀνωτάτων λόγος Cyr.*ador.*1(1.29B); τίς ἡ στερεὰ τ. καὶ τίς ἡ ὑγρά; ταύτας γὰρ ἡ...σοφία δωρεῖσθαι...ὑμνεῖται· τὴν μὲν οὖν στερεὰν τ. σύνθημα φέρειν οἶομαι τῆς νοερᾶς καὶ μονίμου τελειότητος καὶ ταυτότητος, καθ' ἣν τὰ θεῖα κατὰ...ἑνιαίαν...γνῶσιν μετέχεται...τὴν δὲ ὑγρὰν τῆς διαχυτικῆς...ἐπιρροῆς καὶ ἔτι διὰ ποικίλων...ἐπὶ τὴν ἁπλῆν ...θεογνωσίαν...χειραγωγούσης Dion.Ar.*ep.*9.4(M.3.1109D); cf.*ib.*9.3 (1109B); ἱερᾶς πληροῦσθαι καὶ θειοτάτης τ. id.*e.h.*4.3.4(M.3.480A); **10.** ref. Jo.4:34 τὸ θέλημα τοῦ πατρός, τοῦτο γὰρ αὐτοῦ τ. καὶ ἀνάπαυσις καὶ δύναμις ἦν Heracleon ap.Or.*Jo.*13.38(p.263.18; M.14.465B); οὐκ ἄτοπόν γε λέγειν μὴ μόνον ἀνθρώπους καὶ ἀγγέλους ἐνδεεῖς εἶναι τῶν νοητῶν τ., ἀλλὰ καὶ τὸν Χριστὸν τοῦ θεοῦ· καὶ αὐτὸς γὰρ... ἐπισκευάζεται ἀεὶ ἀπὸ τοῦ πατρός, τοῦ μόνου ἀνενδεοῦς Or.*Jo.*13.34 (p.259.19; 457D); **11.** of Christ, as Logos, as food of believers ὁ κύριος, ἡ τ. τῶν νηπίων...ἡ τ., τουτέστιν ⟨ὁ⟩ κύριος Ἰησοῦς, τουτέστιν ὁ λόγος τοῦ θεοῦ, πνεῦμα σαρκούμενον, ἀγιαζομένη σὰρξ οὐράνιος. ἡ τ. τὸ γάλα τοῦ πατρός, ᾧ μόνῳ τιτθευόμεθα οἱ νήπιοι Clem.*paed.*1.6 (p.116.1; M.8.301B); πίνεται γὰρ ὁ λόγος, ἡ τ. τῆς ἀληθείας...δυνατὸν δὲ τὸ αὐτὸ καὶ βρῶμα εἶναί πως ἔχον καὶ ποτόν, πρὸς ἄλλο καὶ ἄλλο νοούμενον *ib.*(p.117.7; 304B); εἰ...ἀνεγεννήθημεν εἰς Χριστόν, ὁ ἀναγεννήσας ἡμᾶς ἐκτρέφει τῷ ἰδίῳ γάλακτι, τῷ λόγῳ. πᾶν γὰρ τὸ γεννῆσαν ἔοικεν εὐθὺς παρέχειν τῷ γεννωμένῳ τ. καθάπερ δὲ ἡ ἀναγέννησις, ἀναλόγως οὕτως καὶ ἡ τ. γέγονεν τῷ ἀνθρώπῳ πνευματική *ib.* (p.119.20; 308C); τοῦ...πατρὸς ἐπομβρήσαντος τὸν λόγον, αὐτὸς ἤδη τ. γέγονεν πνευματικὴ τοῖς σώφροσιν *ib.*(p.115.9; 300B); πόσοις...ἥρκει τὸ σῶμα πρὸς βρῶσιν, ἵνα καὶ τοῦ κόσμου παντὸς τοῦτο τ. γένηται; Ath.*ep.Serap.*4.19(M.26.665D); ὁ θεὸς...ὁ τὸν οὐράνιον ἄρτον...τὴν τ. παντὸς τοῦ κόσμου, τὸν κύριον...Χριστόν, ἐξαποστείλας *Lit.Jac.*(p.180.15); cf.*Lit.Bas.*(p.309.9); **12.** of eucharist, cf. σύ, δέσποτα...τ. τε καὶ ποτὸν ἔδωκας τοῖς ἀνθρώποις εἰς ἀπόλαυσιν, ἵνα σοι εὐχαριστήσωμεν, ἡμῖν δὲ ἐχαρίσω πνευματικὴν τ. καὶ ποτὸν καὶ ζωὴν αἰώνιον διὰ τοῦ παιδός σου *Did.*10.3; παρέθηκε τ. παντὶ ἰχθὺν ἀπὸ πηγῆς παμμεγέθη καθαρόν, ὃν ἐδράξατο παρθένος ἁγνὴ καὶ τοῦτον ἐπέδωκε φίλοις ἐσθίειν διὰ παντός Aberc.*epitaph.*13ff.; φάγεσθέ μου, φησί, τὴν σάρκα καὶ πίεσθέ μου τὸ αἷμα. ταύτας ἡμῖν οἰκείας τ. ὁ κύριος χορηγεῖ καὶ σάρκα ὀρέγει καὶ αἷμα ἐκχεῖ Clem.*paed.*1.6(p.115.23; M.8.301A); διὰ τῆς ἐνύλου καὶ τὴν ἁγίαν μνηστευόμενοι τ. *ib.*(p.117.2; 304A); ref. relationship of eucharist to baptism συγγένειάν τινα πρὸς τὸ ὕδωρ...ἔχει τὸ γάλα, καθάπερ...πρὸς τὴν πνευματικὴν τ. τὸ λουτρὸν τὸ πνευματικόν *ib.* (p.120.12; 309B); βουλόμενος παραστῆσαι ἀθλητικὴν τελειοτέροις ἁρμόζουσαν τ. φησιν· ὁ ἄρτος δέ, ὃν ἐγὼ δώσω, σάρξ μού ἐστιν Or.*or.*27.4 (p.365.13; M.11.508B); cf.id.*Cels.*3.60(p.254.23; M.11.1000B); φάγωμεν αὐτοῦ τῆς σαρκός, τῆς ἀληθινῆς τ. id.*Jo.*19.6(1; p.305.31; M.14.536D); δοκεῖ μοι σημαίνειν τὸ 'χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου', καὶ τὸ 'λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα' τὸ λαμπρὸν καὶ καθαρὸν τῆς μυστηριώδους τ. Eus.*d.e.*8.1(p.366.21; M.22.596A); σὰρξ...καὶ τὸ ταύτης αἷμα παρ' ἐμοῦ πνευματικῶς δοθήσεται τ. Ath.*ep.Serap.*4.19 (M.26.668A); τὴν...σάρκα βρῶσιν...οὐράνιον καὶ...πνευματικὴν τ. παρ' αὐτοῦ διδομένην *ib.*; ἀπαντήσωμεν ἐρχομένῳ καὶ συνεισελθόντες αὐτῷ τῆς ἀθανάτου πανελάβωμεν τ. id.*ep.fest.*20(p.296.17; M.26.1433D); θυσίας ἀναφορὰ καὶ τ. ἱερᾶς δωρεά *Const.App.*2.59.4; τύπον ἔχει...τὸ... μάννα τῆς θείας τ. ... ὥσπερ γὰρ ἐκεῖνοι μετὰ τὸ διαβῆναι τὴν...θάλασσαν, καὶ τῆς ξένης τ. καὶ τοῦ παραδόξου ἀπήλαυσαν νάματος, οὕτως ἡμεῖς μετὰ τὸ...βάπτισμα τῶν θείων μεταλαμβάνομεν μυστηρίων Thdt. *qu.27 in Ex.*(1.144); **13.** of scripture and scriptural teaching αἱ δυνάμεις, αἱ συνεργοῦσαι τῇ ψυχῇ καὶ τῷ νῷ...τρέφονται λογικῇ τῇ ἀπὸ τῶν ἱερῶν γραμμάτων...τ. καὶ τρεφόμεναι δυνατώτεραι γίνονται Or. *hom.20.1 in Jos.*(p.418.25); λαοὶ προσδοκῶσι φέροντά σε τ. αὐτοῖς, τὴν ἐκ τῶν γραφῶν διδασκαλίαν Ath.*ep.Drac.*2(M.25.525B); ψυχῆς τ. θείων λόγων ἑστίασις Bas.Sel.*or.*16.1(M.85.204B); τῶν ἱερῶν ἡ... ἐπιστήμη πρῶτα μὲν αὐτοὺς τῇ τῶν μορφωτικῶν καὶ ζωοποιῶν λογίων εἰσαγωγικῇ τ. μαιεύεται Dion.Ar.*e.h.*3.3.6(M.3.433A); **14.** of food of angels ἡ ἀγγελικὴ καὶ μὴ ἀνθρωπίνη τ. [sc. manna] Or.*Jo.*10.18(13; p.189.21; M.14.337C); κοινὴν ἀγίων ἀνθρώπων καὶ ἀγγέλων τ. id.*or.*27.11(p.370.11; M.11.513C); δυναμένων τῶν ἁγίων μεταδοῦναί ποτε τ. νοητῆς καὶ λογικῆς οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ θειοτέραις δυνάμεσιν *ib.*(p.370.15; M.l.c.); αὕτη...ἐστιν...ἡ πρώτη τῶν οὐρανίων οὐσιῶν διακόσμησις...ἁπλᾶς...καὶ ἀμέσους μαρμαρυγὰς ἐλλαμπομένη καὶ θείας τ. ἀποπληρουμένη Dion.Ar.*c.h.*7.4(M.3.212A); οἱ νόες εὐπαθῶς ἡδόμενοι...τ. νοητῇ χρῶνται id.*e.h.*4.3.4(M.3.480A).

τρόφιον, τό, *bait* μικρῷ τ. αἰρεθείς, ἠγκιστρεύετο [sc. Judas] ὑπὸ τῆς ἐπιθυμίας Serap.*Man.*22(p.39; M.40.917D).

***τροφοδότης, ὁ,** *giver of food,* Thdr.Stud.*natiν.BMV* 4(M.96.685A).

τροφοφορ-έω, *suckle* ἡ μήτηρ ἀπέρχεται πρὸς αὐτὸ [sc. τὸ παιδίον] ...καὶ ἀναλαμβάνει καὶ...~εῖ ἐν πολλῇ στοργῇ Mac.Aeg.*hom.*46.3(M.34.793C).

τροχαλῶς, *hurriedly*, Clem.*paed.*2.7(p.192.21; M.8.461C); Nil.*Eulog.*21(M.79.1120D).

τροχαντήρ, ὁ, a kind of *rack*, Gr.Naz.*or.*15.4(M.35.917A).

τροχιά, ἡ, 1. *wheel-track*; hence *path, way*; met., Or.*fr.68 in Lc.* 14:12(p.267); Cyr.*Am.*8(3.334A); id.*inc.unigen.*(5[1].680C); **2.** *footstep*; met., Cyr.*ador.*12(1.415A).

***τρυγητέον**, *one must gather*, Clem.*str.*1.9(p.29.3; M.8.740B) cit. s. ἄμπελος.

***τρυγιός, ὁ**, *dregs*, ‡Ath.*haer.*7(M.28.513A); *ib.*(516A).

τρυμαλιά, 1. *hole, aperture*, Hipp.*haer.*4.29(p.57.7; M.16.3094B); Ath.*v.Anton.*13(M.26.861C); Nil.*epp.*3.34(M.79.401C); in the ground, Proc.G.*Is.*51:1(M.87.2197A); met. ὥσπερ ἐκεῖνος [sc. Moses] ἔχει ὀπὴν δι' ἧς κατανοεῖται τὰ ὀπίσω τοῦ θεοῦ, τὸν αὐτὸν τρόπον ἕκαστος ὁδὸν διδοὺς τοῦ νοεῖσθαι θεὸν διὰ τῶν λεγομένων ὑπ' αὐτοῦ, ποιεῖ ἐν αὐτῷ ὀπήν, εἰ δὲ βούλει ὀνομάσαι, τ., ἀφ' ἧς ὀπῆς ἢ τ. ὄψει Or.*hom.16.3 in Jer.*(p.135.3; M.13.441B); πᾶσα ἡνοίγη τῆς ψυχῆς ἡ πύλη, ἵνα εἰσέλθῃ ὁ βασιλεὺς τῆς δόξης· ἀλλ' ἡ τῆς πύλης εὐρυχωρία μικρά τις ἀπεδείχθη τ. στενὴ καὶ βραχεία, δι' ἧς οὐκ αὐτὸς ὁ νυμφίος, ἀλλ' ἡ χεὶρ αὐτοῦ μόγις ἐχώρησεν Gr.Nyss.*hom.11 in Cant.*(M.44.1009A); **2.** *eye* of a needle (cf. Mc.10:25), *A.Petr.et Andr.*16(p.124.16); *ib.*17(p.124.25).

***τρυπάνισκος, ὁ**, *auger, gimlet* (for torture), *M.Eleuth.*8.

τρυφ-άω, 1. *live luxuriously, fare sumptuously* τὸ...'πάρεστί μοι... διὰ τί μὴ τρυφήσω;' οὐκ ἀνθρώπινον οὐδὲ κοινωνικόν, ἐκεῖνο δὲ μᾶλλον ἀγαπητικόν· 'πάρεστί μοι, διὰ τί μὴ μεταδῶ τοῖς δεομένοις;' Clem.*paed.*2.12(p.229.13; M.8.541C); ἄτοπον...ἕνα ~ᾷν πενομένων πλειόνων *ib.*(p.229.21; 544A); ref. observance of Holy Week fast οὐχ ὅπως οὐχ ὑπερτιθέμενοι, ἀλλὰ μηδὲ νηστεύσαντες, ἀλλὰ καὶ τρυφήσαντες τὰς προαγούσας τέσσαρας [i.e. first four days of week] Dion.Al.*ep.can.* (p.102.7; M.10.1277A); καταισχύνων τοὺς τὸ ~ᾷν τοῦτο...ζῆν εἶναι νομίζοντας, οἳ θεὸν ἡγοῦνται τὴν κοιλίαν Meth.*res.*1.60(p.325.1); οἱ ἐλόμενοι τὰ παρόντα ἐξουσίαν ἔχουσιν πλουτεῖν, ~ᾷν, ἥδεσθαι...τῶν γὰρ ἐσομένων ἀγαθῶν οὐδὲν ἕξουσιν *Hom.Clem.*15.7; οὐ γὰρ ἄν, εἰ μὴ τοῦτο [sc. resurrection and judgement] ἦν, τῶν μὲν πονηρῶν εἴασε πολλοὺς ~ᾷν κατὰ τὸν παρόντα βίον, τῶν δὲ δικαίων πολλοὺς ἐν μυρίοις ἠφίει κακοῖς, ἀλλ' ἐπειδὴ παρεσκεύασται αἰὼν ἕτερος, ἐν ᾧ κατ' ἀξίαν ἑκάστῳ...ἀποδιδόναι μέλλει, διὰ τοῦτο ἀνέχεται τὸν μὲν κακούμενον, τὸν δὲ ~ῶντα ὁρῶν Chrys.*stat.*1.9(2.13E); **2.** *run riot, wax wanton* πᾶς...ἄνθρωπος, ὁ ~ῶν καὶ ἀπατώμενος, οὕτω βασανίζεται, ὅτι ἔχοντες ζωὴν εἰς θάνατον ἑαυτοὺς παραδεδώκασι Herm.*sim.*6.5.4; ~ῶντες εἰκῇ καὶ μάτην Chrys.*hom.43.2 in Jo.*(8.258A); *ib.*60.4(356C); **3.** *revel* (in), *exult* (in); **a.** in bad sense, Herm.*sim.*6.5.5; ὁ ἐν τῇ πορφύρᾳ καὶ βυσσῷ ~ῶν Clem.*paed.*3.6(p.256.19; M.8.604C); τί τολμᾷς ἐν τοῖς τοῦ κυρίου ~ῶν ἀγυοεῖν τὸν δεσπότην; id.*prot.*10(p.74.16; M.8.220A); ὁ δικαστὴς καθέζεται δικάζων καὶ ~ῶν ἐν τῷ δικαστηρίῳ, ὁ Χριστιανὸς ἐν ᾧ ἐστι Χριστὸς δικαζόμενος, πικρίας ἐνεπλήσθη Or.*hom.14.17 in Jer.*(p.124.2; M.13.428A); **b.** in good sense, Herm.*sim.*6.5.7 cit. s. τρυφή; ἡ παρὰ τὴν ὄψιν ἀπόλαυσις αὐτοῖν [sc. ἄνθος and κάλλος] ὕβρις ἐστίν, οὐ τρυφή· ~ᾶν δὲ ἡμῖν, ὡς ἐν παραδείσῳ, προσῆκεν σωφρόνως...παρεπομένοις τῇ γραφῇ Clem.*paed.*2.8(p.200.14; M.8.480B); τὰ μὲν ἠθικὰ μαθήματα...ἄρτος ἐστὶ τῆς ζωῆς..., τὰ δὲ εὐφραίνοντα καὶ ἐνθουσιᾶν ποιοῦντα ἀπόρρητα καὶ μυστικὰ θεωρήματα, τοῖς κατατρυφῶσι τοῦ κυρίου ἐγγινόμενα καὶ οὐ μόνον τρέφεσθαι, ἀλλὰ καὶ ~ᾶν ποθοῦσιν, ἔστιν ἀπὸ τῆς ἀληθινῆς ἀμπέλου ἐρχόμενα 'οἶνος' καλούμενα Or.*Jo.*1.30(33; p.37.31; M.14.80B); τὰ...ψυχῆς μόνον αὔξειν πλεονεκτήματα...εὐφραινομένους καὶ ~ῶντας Gr.Thaum.*pan.Or.*15 (p.35.9; M.10.1096B); ἐλώμεθα ἀρετήν. οὕτω γὰρ καὶ ἐνταῦθα τρυφήσωμεν καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν Chrys.*hom.67.5 in Mt.*(7.668D); ἐκεῖνοι [sc. martyrs]...μυρίους μώλωπας ἔχοντες... τῶν ἐν παραδείσῳ μᾶλλον ἐτρύφων *ib.33.5*(385A); ἔχαιρον αἰκιζόμενοι καὶ ~ῶντες τῶν συνεδρίων ἐξῆσαν Cyr.*Mich.*34(3.420E); **4.** *rejoice in* διάβολος...~ῶν τὴν φθορὰν τῆς φύσεως Max.*cap.*1.11(M.90.1184A); in good sense ref. hesychast ἄλλος τις 'Ισραὴλ καὶ αὐτὸς θεωρούμενος καὶ τρυφὴν ~ῶν εἰρηνικὴν καὶ οὐράνιον Sophr.H.*ep.syn.*(M.87.3149B).

***τρυφεραγωγία, ἡ**, *luxurious treatment*, Chrys.*hom.29.3 in Heb.* 12.275B).

τρυφερία, ἡ, 1. *delicacy, delicate nurture*, ‡Just.*ep.Zen.et Ser.*17 (M.6.1201B); **2.** *softness*, Melet.*nat.hom.*28–29(M.64.1260C).

***τρυφερόνοος**, *tender, feeble in spirit*, of soul before baptism ἡ τοῦ ἀνθρώπου ψυχή, ἄρτι τῆς ἐκ παθῶν δουλείας ἐκτρέχουσα καὶ πρὸς τὰ ἀμείνω μεθορμιζομένη...τ. τέ ἐστι καὶ εὐαφεστέρα Cyr.*ador.*3(1.87B).

τρυφερός, 1. of things, *delightful, pleasant* ἐν...ἀληθινῷ σαββάτῳ, ἁγίῳ καὶ τ. Didym.*Ps.*6:1(M.39.1176A); τὰς...κυριακὰς ἁπάσας τ. ἡγεῖται ἡ...ἐκκλησία καὶ...οὐ νηστεύει Epiph.*exp.fid.*22(p.523.14; M.42.828B); comp. τρυφηρότερον, Bas.Sel.*or.*18.2(M.85.233A); **2.** of persons, *tender, delicate, sensitive*, *T.Gad* 1.4; Herm.*sim.*9.2.5; *Ep. Lugd.*ap.Eus.*h.e.*5.1.21(M.20.416C); **3.** *gentle, tender* ἐὰν...ὀξυχολία τις ἐπέλθῃ, εὐθὺς τὸ πνεῦμα τὸ ἅγιον, τ. ὄν, στενοχωρεῖται Herm.*mand.* 5.1.3; *ib.*5.2.6; ὁ...τῆς δικαιοσύνης ἄγγελος τ. ἐστι *ib.*6.2.3; ἡ μὲν... γενεὰ ἡ παλαιὰ...σκληροκάρδιος, χορὸς δὲ νηπίων, ὁ καινὸς ἡμεῖς λαός, τ. ὡς παῖς Clem.*paed.*1.5(p.101.20; M.8.272B); σκληροκάρδιοι μὲν...οἱ ...'Ιουδαῖοι, τ. δὲ...εἰς ὑπακοὴν...οἱ ἐξ ἐθνῶν Cyr.*Jo.*6.1(4.603B); ἔστω ...ἐφ' ἡμῖν...ὁ νοῦς τ. id.*hom.pasch.*27.4(5[2].322B); **4.** of horses, *obedient to the rein*, met. τίνες δ' ἂν εἶεν οἱ ἵπποι; οἱ...ἀπόστολοι...οἱ τ. καὶ εὐήνιοι...οἱ Χριστὸν...ἡνίοχον ἔχοντες Cyr.*Abac.*50(3.564B); id. *Soph.*34(3.612A); id.*ador.*1(1.16B); id.*Is.*5.4(2.826D).

τρυφή, ἡ, 1. *luxury, luxurious living* πᾶσα...τ. μικρὰ ἐστι καὶ κενὴ τοῖς δούλοις τοῦ θεοῦ Herm.*mand.*12.2.1; ποταπαί...εἰσιν αἱ πονηρίαι ἀφ' ὧν δεῖ ἐγκρατεύεσθαι;...ἀπὸ τ. πονηρᾶς, ἀπὸ ἐδεσμάτων πολλῶν *ib.* 8.3; δίαιταν...τὴν...καθαρὰν ἑκατέρας κακίας, τρυφῆς τε καὶ φειδωλίας Clem.*paed.*3.10(p.266.14; M.8.625A); οἱ δὲ σκωλήκων δίκην περὶ... βορβόρους...κυλινδούμενοι...ἀνονήτους καὶ ἀνοήτους ἐκβόσκονται τρυφάς id.*prot.*10(p.68.9; M.8.205B); ταύτας ἡγοῦνται οἱ πολλοὶ τρυφάς, τὰς ἑαυτῶν ἁμαρτίας id.*paed.*2.10(p.216.14; 516A); μετεώρους ἀπὸ τῆς ἀληθείας ἀλαζονεία καὶ τ. ποιεῖ καὶ εἰς τὰ περιττὰ ἀπασχόλησις *ib.*(p.219.8; 520C); τὸ καλὸν καὶ σωτήριον ἔργον τοῦ λόγου, τὴν ἀγάπην τὴν ἡγιασμένην...ποτῷ τε καὶ τ. βλασφημοῦντες *ib.*2.1(p.156. 15; 385A); ἀπὸ...τρυφῆς λαμπρὸς βούλει γενέσθαι; ἀλλ' οὐκ ἂν δύναιο Chrys.*hom.29.3 in Heb.*(12.274C); ἡμεῖς δὲ αὐτοῖς παραχωροῦμεν καὶ θρόνων καὶ ἀξιωμάτων καὶ τῆς προσκαίρου τ. Thdt.*ep.*147(4.1278); **2.** *rioting, wantonness* αὗται πᾶσαι αἱ τ. βλαβεραί εἰσι τοῖς δούλοις τοῦ θεοῦ Herm.*sim.*6.5.6; κεφαλὴ τοῦ δράκοντός ἐστιν ἡ ἀκρασία καὶ ἡ τ. ... ὁ ταύτην θλάσας ἀναδεῖται τὸν στέφανον τῆς σωφροσύνης Meth. *symp.*8.13(p.97.22; M.18.160B); **3.** *self-indulgence*, Herm.*sim.*6.5.4; οὕκουν ὑπὸ τρυφῆς ῥάθυμος, ὁ δι' ἡμᾶς τὴν παθητὴν ἀναλαβὼν σάρκα Clem.*str.*7.2(p.6.22; M.9.409B); **4.** in good sense, *joy, delight*; **a.** in gen. εἰσὶν...τρυφαὶ σώζουσαι τοὺς ἀνθρώπους· πολλοὶ γὰρ ἀγαθὰ ἐργαζόμενοι τρυφῶσι...αὕτη οὖν ἡ τ. σύμφορός ἐστι τοῖς δούλοις τοῦ θεοῦ καὶ ζωὴν περιποιεῖται τῷ ἀνθρώπῳ Herm.*sim.*6.5.7; αὕτη...ἡ ἀληθὴς τ., ἡ θησαυριζομένη πολυτέλεια Clem.*paed.*2.12(p.229.17; M.8. 544A); ἐὰν προσέχωμεν...ἡ πενία προσθήκη γίνεται καὶ τρυφῆς καὶ ἀναπαύσεως ἡμῖν Chrys.*hom.77.4 in Jo.*(8.456E); μὴ δὴ τὰς θύρας ἀποκλείσῃς τῷ φωτὶ τούτῳ καὶ πολλῆς ἀπολαύσῃ τῆς τ. *ib.5.4*(40B); ἀλλὰ τρυφῆς ἐρᾷς;...παῦσαι μεθύων. καὶ γὰρ ἐγώ σε βούλομαι τρυφᾶν, ἀλλὰ τὴν ὄντως τ., τὴν οὐδέποτε μαραινομένην id.*hom.27.5 in 1Cor.* (10.249C); τρυφῆς...τρόπος πνευματικὸς ἡ τελεία περὶ θεοῦ γνῶσις καὶ τῶν ἐπὶ Χριστῷ μυστηρίων ἡ ἀκριβὴς ἀποκάλυψις,...ὅλη καθαρῶς ἐν ἡμῖν...λάμπουσα καὶ τελειοτάτην ἐμποιοῦσα τὴν εἴδησιν Cyr.*Jo.*10(4. 827C); εἰρηνεύσαντες...πρὸς θεὸν καὶ καταλύσαντες τὴν ἔχθραν ἐν πόλεσιν ἐσμὲν ἀναπαύσεως καὶ τῆς εἰς αἰῶνας τ. id.*Is.*3.3(2.450A); πηγὴ [sc. Christ]...ἐστὶ ζωῆς καὶ χειμάρρους τρυφῆς *ib.*(472D); ἐν ἀπολαύσει...ἡ νύμφη τοῦ νυμφίου γενομένη καὶ πείρᾳ μαθοῦσα τὴν ἄρρητον ἐκείνην τ. Thdt.*Cant.*2:7(2.60); Sophr.H.*ep.syn.*(M.87. 3149B) cit. s. τρυφάω; τὸν...Ἀδὰμ τῇ παραβάσει παραζηλώσας, ἔγνων ἐμαυτὸν γυμνωθέντα θεοῦ καὶ τῆς ἀϊδίου βασιλείας καὶ τ. Andr.Cr.*can. mag.*15(p.148; M.97.1332A); ref. eucharist ἐνεπλήσθημεν τῆς ἀκενώτου σου τ., ... ἧς καὶ ἐν τῷ μέλλοντι πάντας ἡμᾶς τυχεῖν καταξίωσον *Lit. Bas.*(p.344.27); **b.** of Eden and man's state before Fall, esp. ref. παράδεισος (q.v.) τῆς τ.: ἑρμηνεύεται...ἡ...'Εδὲμ τ. πίστις δὲ καὶ γνῶσις καὶ εἰρήνη ἡ τ., ἧς ὁ παρακούσας ἐκβάλλεται Clem.*str.*2.11 (p.140.15; M.8.988B); εἰς τὸν παράδεισον τῆς τ. τίθεται τὸν ἄνθρωπον ὁ θεός, νόμους...διδούς Or.*Jo.*13.34(M.14.460B; τροφῆς p.260.1); ἡ...συκὴ διὰ τὴν γλυκασίαν...τὴν τ. τὴν πρὸ τῆς παραβάσεως ἐν παραδείσῳ τοῦ ἀνθρώπου παρίστησι γεγενημένην Meth.*symp.*10.2(p.124.5; M.18. 196B); ὁ πρῶτος ἄνθρωπος...καταπέπτωκε καὶ τὴν ἐπάρατον ταύτην γῆν τῆς πάλαι ἐνθέου τ. ἀντικατηλλάξατο Eus.*h.e.*1.2.18(M.20.61C); ὁ τῶν ὅλων κύριος...οὐκ ἀπέρριψεν τὸ τῶν ἀνθρώπων γένος, ἀλλὰ τῷ Ἀδὰμ...ἐν παραδείσῳ...τρυφῆς λόγῳ τὸν παράδεισον οἰκητήριον δούς *Const.App.*7.43.4; οὐκ ἐκτίσθη ὁ ἄνθρωπος ἐν πάσῃ τ., ἐν πάσῃ χαρᾷ, ἐν πάσῃ ἀναπαύσει, ἐν πάσῃ δόξῃ; οὐκ ἦν ἐν τῷ παραδείσῳ; Dor.*doct.*1.7 (M.88.1625A); εἶχον τὰ θηρία ὑποταγὴν πρὸς τὸν Ἀδὰμ πρὸ τοῦ αὐτὸν παρακοῦσαι τῆς ἐντολῆς καὶ τῆς ἐν παραδείσῳ τρυφῆς ἐκπεσεῖν Jo. Mosch.*prat.*107(M.87.2969B); met. εἴσεσθε, ὅσα παρέχει ὁ θεὸς τοῖς ἀγαπῶσιν ὀρθῶς, οἱ γενόμενοι παράδεισος τρυφῆς, πάγκαρπον ξύλον... ποικίλοις καρποῖς κεκοσμημένοι ‡*Diogn.*12.1; ref. life of study under Origen οὗτος παράδεισος ἀληθῶς τρυφῆς, αὕτη ἀληθὴς εὐφροσύνη καὶ τ., ἣν ἐτρυφήσαμεν ἐν τῷ διηνυσμένῳ τῷδε χρόνῳ Gr.Thaum.*pan.Or.*16 (p.35.11; M.10.1096B); of baptism ὄχημα πρὸς οὐρανόν, παραδείσου τ. Cyr.H.*procatech.*16; **c.** of future bliss ἀγνοοῦσιν...οἵαν τ. ἔχει ἡ

μέλλουσα ἐπαγγελία *2Clem.*10.4; οὐ τὴν παραυτίκα ἡδονὴν ὁ κύριος, ἀλλὰ τὴν μέλλουσαν ἐσκόπησε τ. Clem.*paed.*1.9(p.134.11; M.8.340C); καταλείψατε...τὸ ἀηδὲς τοῦ κόσμου τούτου...ἵνα αἰωνίας τ. ἀπολαύσητε *A.Phil.*35(p.17.25); τελειωθήσῃ...ἐνδόξως καὶ...ἐλεύσῃ...ἕως τοῦ παραδείσου τῆς τ. *ib.*137(p.69.5); τί ὧδε ἐλήλυθας [sc. Christ], καταλιπὼν τοὺς ψάλλοντας ἐν τῷ παραδείσῳ καὶ τὴν ἐκεῖ τ.; *A.Mt.*1(p.218.4); σπεύσαντες τῶν πολὺ κρειττόνων ἔτυχον [sc. martyrs], ἐν αὐτοῖς οὐρανοῖς καὶ παραδείσῳ τῆς ἐνθέου τ. ἁναπαθέντες Eus.*h.e.*10.1.5(M. 20.844B); *Const.App.*7.33.3; ἡ τ. ἐπὶ τοῖς οὐρανοῖς...μένει...διηνεκής, ἀεὶ ἀκίνητος οὖσα καὶ ἀθάνατος Chrys.*hom.44.2 in Jo.*(8.261A); ζωὴν εἶναι λέγων οὐχὶ πάντως τὸ ἀναστῆναι μόνον, ἀλλ' ἐκείνην...τὴν ἐν ἀναπαύσει καὶ δόξῃ καὶ τρυφαῖς, πνευματικαῖς δὲ δηλονότι καὶ οὐχ ἑτέραις Cyr.*Jo.*10(4.827B); πόρρω...γενήσονται [sc. unbelieving Jews]... τῆς τοῖς δικαίοις ἀποδοθησομένης τ. id.*Ps.*68:28(M.69.1173C); τὴν μέλλουσαν τ. τῶν πρώτων δικαίων Diad.*perf.*90(p.128.22); ἔστι...τελευτήσαντα...ἔχειν...τ. ἐμπρέπουσαν ψυχῇ καθαρᾷ Aen.*dial.*(M.85.920C); οἱ πρὸ τῆς ἀναστάσεως ἀξιούμενοι τοῦ παραδείσου τῆς τ. ἀργοὶ μένειν οὐ δυνήσονται Eustrat.*stat.anim.*20(p.500); μνήσθητι, κύριε...καὶ... ἀνάπαυσον...ἐν τῇ τ. τοῦ παραδείσου *Lit.Jac.*(p.220.11); οὔπω...ἔκρινεν ...τοὺς δὲ τρυφῇ ἀλήκτῳ ἀποκρίνας ‡Caes.Naz.*dial.*21(M.38.880).

τρυφηλός, of things, *exquisite, graceful,* Bas.*hom.*20.1(2.157B; M.31.525C); neut. as subst., Thdt.*Jer.*46:20(2.589); of persons, *luxurious, voluptuous,* Eus.*v.C.*4.69(p.146.16; M.20.1224C); id.*l.C.*17 (p.254.19; M.20.1429B); of a manner of life, opp. ascetic, id.*v.C.* 2.14(p.47.4; 992D); Pall.*h.Laus.*38(p.120.10; M.34.1194A).

[*]**τρυφηρός,** *dainty,* v. *τρυφερός.*

***τρυφητιάω,** *hanker after luxuries,* Clem.*str.*2.20(p.170.22; M.8. 1049A); met., of hankering after spiritual food, *ib.*1.1(p.12.2; 705A).

τρυφητικός, *luxurious, sumptuous;* of things, Clem.*paed.*2.10 (p.223.22; M.8.529B); *ib.*3.11(p.269.15; 632B); of persons, *ib.*3.4 (p.252.7; 593B); *ib.*3.11(p.276.25; 649B); *ib.*(p.268.29; 629C).

***Τρωαδήσιος,** *of the Troad, Chron.Pasch.*p.318(M.92.812A); *ib.* p.319(813A).

***τρωγλωτός,** *full of holes* ἐφαίνετο [sc. Satan]...ὡς στιχάριον φορῶν λινοῦν τ. *Apophth.Patr.*(M.65.261A).

***τρωτήριον, τό,** *that which can wound, wounding instrument,* of cup of Christ (Mt.26:39) ὦ ποτήριον διαβόλου τ., δαιμόνων φυγαδευτήριον ‡Caes.Naz.*dial.*135(M.38.1040).

τρωτός, *wounded,* Gr.Naz.*carm.*1.1.11.10(M.37.471).

***τυβί,** fifth Coptic month, corresponding to January, ref. Christ's baptism οἱ...ἀπὸ Βασιλείδου...τὴν ἡμέραν...ἑορτάζουσι... φασὶ δὲ εἶναι...τὴν πεντεκαιδεκάτην τοῦ τ. μηνός, τινὲς δὲ αὖ τὴν ἑνδεκάτην τοῦ αὐτοῦ μηνός Clem.*str.*1.21(p.90.24; M.8.888A); ἐβαπτίσθη τ. ια', ὥρᾳ ι' τῆς ἡμέρας [al. νυκτός] *Chron.Pasch.*p.224(M.92.545C); and birth γεννηθέντος αὐτοῦ...πρὸ ὀκτὼ εἰδῶν Ἰανουαρίου, ἥτις ἐστὶ ...τ. ἑνδεκάτη Epiph.*haer.*51.24(p.293.2; M.41.932B).

***τυλοτάπης,** *with a nap on both sides;* of rugs, Eus.*Ps.*4:9(M. 23.113A).

***τυμβολέτης, ὁ,** *violator of tombs,* Gr.Naz.*carm.*2.2(epigr.)57.2, 70.4,71.4(M.38.112A,118A).

***τυμβονόμος,** *haunting graves,* Synes.*hymn.*4.47(p.28; M.66.1604).

***τυμβοφόντης, ὁ,** *violator of tombs,* Gr.Naz.*carm.*2.2(epigr.)32.1 (M.38.100A).

τυμβοχόος, ὁ, *thrower up, digger of graves,* Gr.Naz.*carm.*2.2 (epigr.)71.3(M.38.118A).

τυμβωρυχία, ἡ, *robbing of graves,* Clem.*str.*2.15(p.146.21; M.8. 1000C); Gr.Nyss.*ep.can.*6(M.45.233A); Chrys.*hom.11.5 in Rom.*(9. 538C).

τυμπανικός, *of a drum,* ‡Caes.Naz.*dial.*103(M.38.969).

τυμπανισμός, ὁ, *beheading* τ. γὰρ ὁ ἀποκεφαλισμὸς λέγεται ‡Ath. *qu.script.*128(M.28.772B).

τυμπανόω, *distend,* ‡Ath.*haer.*6(M.28.512D).

τυπικόν, τό, 1. liturg., *directory* καὶ ἐν τοῖς τ. εἰσι γεγραμμένα *Euchol.*(p.8); cf. N. Nilles *Kalendarium Manuale* (Innsbruck, 1897, I, p.li); **2.** plur., *select verses from Psalms* μετὰ τὸ ψάλαι τὰ τ. *Const.Stud.*27(M.99.1713B); *Euchol.*(p.53); cf.*ib.*(p.158 n.).

τυπικός, *expressive of an intrinsic reality, symbolical* οὐκ ἀνίσταται δι[ὰ τὸ] μέλλον ⟨ὃ⟩ διὰ τῆς τ. εἰκόνος ὁρᾷς; Mel.*pass.*36 p.6.4; Ptol.*ep.*ap.Epiph.*haer.*33.5(p.455.1; M.41.564C); ἡ δὲ οἰκονομία αὕτη καὶ προφητικὴ καὶ τ. Clem.*str.*2.19(p.167.13; M.8.1044A); πάντα γε τὰ συμβολικὰ καὶ τ. συγκρίσει τῶν ἀληθινῶν καὶ νοητῶν μικρὰ ἐστι καὶ ἐπίγεια Or.*or.*14(p.330.10; M.11.460B); τοῦ τ. καὶ συμβολικοῦ σώματος [i.e. in eucharist] Or.*comm.in Mt.*11.14(p.58.8; M.13.952A); ref. high priest σκιώδη τινὰ καὶ τ. Χριστὸν ἐπιφερόμενος Eus.*d.e.*7.2(p.336.16; M.22.548D); ἐκείνοι μὲν γὰρ ἦσαν Χριστοὶ τυπικοί· οὗτος δὲ Χριστὸς ἀληθής Cyr.H.*catech.*11.1; φῶς δὲ τ. ... ὁ γραπτὸς νόμος, σκιαγραφῶν τὴν ἀλήθειαν καὶ τὸ τοῦ μεγάλου φωτὸς μυστήριον Gr.Naz.*or.*40.6(M. 36.364D); οὐδὲν τ. δηλοῖ πάλιν, οὐδὲ σωματικόν Chrys.*hom.82.1 in Jo.* (8.484A); καὶ καθ' ἕκαστον εἶδος εὑρήσεις ἀναγωγικὴν τῶν τ. εἰκόνων ἀνακάθαρσιν Dion.Ar.*c.h.*15.7(M.3.336C); id.*ep.*9.1(M.3.1108A) cit. s. *τραπέζωσις;* τοὺς λόγους μόνον ὁρῶσι τῶν γεγραμμένων γυμνοὺς τῶν ἐπ' αὐτοῖς τ. συνθημάτων Max.*qu.Thal.*55(M.90.536C); Μαρίας, ἐν ᾗ συνελήφθη ὁ ἀμνὸς τοῦ θεοῦ κατὰ τὴν τοῦ τ. ἀμνοῦ σύλληψιν *Chron. Pasch.*p.196(M.92.484B); οὐ κατὰ τὴν ιδ' ἐπετέλεσεν τὸ πάσχα, ἀλλὰ πρὸ τούτου τό τ. ἐτέλεσεν δεῖπνον *ib.*p.218(532B).

τυπικῶς, *typically, symbolically* ὁ σωτὴρ τοὺς ἀποστόλους ἐδίδασκεν τὰ μὲν πρῶτα τ. καὶ μυστικῶς, τὰ δὲ ὕστερα παραβολικῶς καὶ ᾐνιγμένως, τὰ δὲ τρίτα σαφῶς καὶ γυμνῶς κατὰ μόνας Clem.*exc.Thdot.*66 (p.128.24; M.9.689C); ἐδίδαξαν δὲ ἡμῶν τὰς γυναῖκας τυπικώτατα κοσμίων ἀποσχέσθαι id.*paed.*2.12(p.232.29; M.8.549C); τ. μὲν παρ' ἐκείνοις τελούμενα μυστικῶς δὲ ἡμῖν ἀποκαθιστάμενα Gr.Naz.*or.*41.4 (M.36.436A); ἐκεῖνα μὲν ἐπράττετο τ., ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν Cyr.*glaph.Ex.*1(1.261B); τ. εἴ τις ἐκείνῳ προσαρμόσει ταῦτα Thdt.*Jer.* 23:6(2.516); opp. ἱστορικῶς, id.*Abac.*3:18f.(2.1559); πρὸς ἕκαστον πνευματικῶς ἐκ τῶν περὶ αὐτοῦ καθ' ἱστορίαν τ. γεγραμμένων μορφούμενος Max.*ambig.*(M.91.1149D); τρεῖς...κεφαλαί [sc. Adam, his son, and Eve]...πάσης τῆς ἀνθρωπότητος ὁμοούσιοι ὑποστάσεις, κατ' εἰκόνα τινά, ὡς καὶ Μεθοδίῳ δοκεῖ, τ. γεγόνασι τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος· τοῦ μὲν ἀναιτίου καὶ ἀγεννήτου Ἀδὰμ τύπον καὶ εἰκόνα ἔχοντος τοῦ ἀναιτίου...πατρός ‡Gr.Nyss.*imag.*(M.44.1329C).

***τυποειδής (τυπώδης), 1.** *in the form of a likeness* ζωγραφίας τ. τιμῶσιν *Orac.Sib.*3.589; **2.** *symbolic* διά τινος...τυπώδους ἀλληγορίας Cels.ap.Or.*Cels.*6.29(p.99.9; M.11.1337B).

***τυποειδῶς,** *illustratively* (i.e. with concrete illustrations) περὶ ὧν τ. λεκτέον, ὡς ἂν ἐφικτὰ γένοιτο τοῖς ἀγνοοῦσιν αὐτά Melet.*nat. hom.*30(M.64.1285B).

***τυποπλαστία, ἡ,** *imagery, symbolism* ὅλως ἄνω καὶ κάτω τὴν ἐμπύριον τιμᾷ ἐκκρίτως τυποπλαστίαν [sc. scriptures] Dion.Ar.*c.h.*15. 2(M.3.329A).

τύπος, ὁ, A. *impression, mark;* **1.** lit., of a blow, wound, etc. τῶν τραυμάτων τ. Or.*Cels.*6.9(p.79.22; M.11.1304B); Serap.*Man.*53 (p.75; M.18.1253C); of a seal, Or.*Jo.*20.24(p.358.33; M.14.628B); of a tool, Eus.*v.C.*1.40(p.26.18; M.20.956A); of letters, Philost.*h.e.*9.15(M. 65.580B); fig. πάντες ἀναγινώσκουσιν ἐν τῷ στήθει μου καὶ ἐν τῇ καρδίᾳ μου τοὺς τ. μου τῶν ἁμαρτημάτων Or.*hom.16.10 in Jer.*(p.142.17; M. 13.452C); καρδία ἐστὶ καθαρά, ἡ...ἀνείδεον τῷ θεῷ καὶ ἀδιαμόρφωτον παραστήσασα τὴν μνήμην, καὶ μόνοις τοῖς αὐτοῦ ἑτοίμη ἐνσημανθῆναι τ. †Marc.Er.*temp.*24(M.65.1064B); **2.** met., *mental impression* ὑποφαίνειν τοὺς χαρακτῆρας τῶν τῆς ψυχῆς τ. ... πειρώμενοι Gr.Thaum. *pan.Or.*2(p.3.20; M.10.1053B); ὁ ἀπὸ τῶν πραγμάτων τ. ἐγγίνεται τῇ νοήσει Bas.*hex.*3.2(1.23A; M.29.53D); ὅταν δέ τις αἰσθήσεως βραχείας δέξηται τ. Proc.G.*Gen.*3:7(M.87.193C); **3.** *original, mould* πολλοῖς γὰρ καὶ διαφόροις τ. ἑοικυῖαι πρόκεινται [sc. αἱ γραφαί]. ἕκαστος οὖν ...περιβλεψάμενος αὐτάς...τὴν...κηρῷ ἑοικυῖαν προαίρεσιν ἐπιβαλὼν ἀπομάσσεται *Hom.Clem.*16.10; τῷ τῆς δυνάμεως ἀποσκιάσματι οἱονεὶ τύπῳ σφραγῖδος ἔνδοθεν καταμορφωθέντος Gr.Nyss.*res.*1(M.46.616B); ὁ κηρὸς παραδιδόμενος τῷ τ. τῆς γλυφῆς μορφοῦται †Bas.*bapt.*1.2.7 (2.634C; M.31.1537B).

B. *representation, image;* **1.** *representation in relief,* Athenag. *leg.*17.2(M.6.924A); on coins, Eus.*v.C.*4.73(p.147.29; M.20.1228B); hence **2.** *image* of any kind λαβεῖν τὸν Μωϋσέα χαλκὸν καὶ ποιῆσαι τ. σταυροῦ Just.*1apol.*60.3(M.6.417A); Marc.Diac.*v.Porph.*61; *CIG* 8812; **3.** *exact replica, likeness* τ. τοῦ πατρὸς τῶν ὅλων Clem.*exc. Thdot.*33(p.117.27; M.9.676B); Ἑρμοῦ λογίου τ. Synes.*ep.*101(M.66. 1472B); **4.** *image,* in sense of *representation* of a heavenly reality ὑπέδειξεν ἡμῖν ὁ Ἰησοῦς τὸν τ. τοῦ οὐρανοῦ ἵνα γνῶμεν ὅτι ἀληθῆ ἐστιν ἢ οὔ *A.Andr.et Mt.*(p.79.8).

C. *shape, form;* **1.** in gen., Herm.*sim.*9.10.1; hence, fig., *shape* or *sign* of the cross, Eus.*h.e.*8.7.4(M.20.757A); τῷ τ. τοῦ σταυροῦ...καταση μαίνεσθαι Bas.*Spir.*66(3.54E; M.32.188B); *A.Pil.*B 17.3(p.324); Bas.Sel.*v.Thecl.*1(M.85.513B); ἡ δὲ τοῦ σταυροειδοῦ τ. σφραγὶς... δηλοῖ τὴν πασῶν ὁμοῦ τῶν σαρκικῶν ὀρέξεων ἀνενεργησίαν Dion.Ar. *e.h.*6.3.3(M.3.536A); plur., *features* τοὺς τ. ... τοὺς τὴν ποιότητα...τὴν σωματικὴν παριστάνοντας Meth.*res.*1.22(p.245.6; M.41.1089D-92); Ἰουδὴθ...κάλλεος τύποις θέλξασα τοῦτον id.*symp.*11(p.134.26; M.18. 212A); Eus.*e.th.*3.21(p.181.18; M.24.1045B); *qualities* γενόμενοι τοίνυν ἡμεῖς κατ' εἰκόνα, τὸν υἱὸν πρωτότυπον ὡς ἀληθειαν ἔχομεν τῶν ἐν ἡμῖν καλῶν τ. Or.*princ.*1.2.6(p.36.11); **2.** human *figure, form* Ἰησοῦ, ὁ τ. λαβὼν καὶ γενόμενος ὡς ἄνθρωπος *A.Thom.*72(p.188.2); τὸν δὲ τ. αὐτοῦ τὸν οὐράνιον ἐν τῷ ὄρει ἰδεῖν οὐκ ἠδυνήθημεν *ib.*143(p.250.9); Const.ap. Gel.Cyz.*h.e.*2.7(p.52.1; M.85.1240B); esp. in phrase *τύπος σώματος:* ὅταν ἴδῃς ὥσπερ σώματος τύπῳ γυναῖκας φαινομένας Chrys.*hom.5.4 in*

1Thess.(11.465A); **3.** *phantasmal* or *image-body* (received by Christ at baptism, acc. Docetists) τ. καὶ σφράγισμα λαβὼν ἐν τῷ ὕδατι τοῦ γεγεννημένου σώματος ἀπὸ τῆς παρθένου Hipp.*haer.*8.10(p.230.17; M.16.3355A); **4.** *outward form* ἐν τῇ ὁράσει τῷ Ἑρμᾷ ἡ δύναμις ἐν τῷ τ. τῆς ἐκκλησίας φανεῖσα Clem.*str.*6.15(p.498.3; M.9.356A); οἱ τούτων [sc. τῶν οὐρανῶν] αἰσθητοὶ τ. τὰ παρ' ἡμῖν φωνηέντα στοιχεῖα *ib.*6.16 (p.503.31; 369B); perh. cf. τοῦ τε οὐρανοῦ οἱ τ. *Pap.Chr.*(*PO* 18.447); τὰ...ἐν ἡμῖν ἀποτεθέντα μαθήματά τε καὶ χαρίσματα...οὐρανίου...πολιτείας τύπος Ath.*ep.Aeg.Lib.*1(M.25.540A); esp. of a sacramental *sign* τὸ σῶμα αὐτοῦ κατὰ τὸ εὐαγγέλιον τ. ἔφερεν ἄρτου Cyr.H.*catech.*13.19; ἐν τ. γὰρ ἄρτου δίδοταί σοι τὸ σῶμα, καὶ ἐν τ. οἴνου δίδοταί σοι τὸ αἷμα *ib.*22.3; τὴν τοῦ βαπτίσματος ἡμῖν ἔθετο διαθήκην, θανάτου τ. καὶ ζωῆς περιέχουσαν· τὴν μὲν τοῦ θανάτου εἰκόνα τοῦ ὕδατος ἐκπληροῦντος, τὸν δὲ τῆς ζωῆς ἀρραβῶνα παρεχομένου τοῦ πνεύματος Bas.*Spir.*35(3.29B; M.32.129C); τοὺς τ. τῆς ἐμῆς σωτηρίας ...τὴν ἱερὰν...μυσταγωγίαν Gr.Naz.*or.*17.12(M.35.980B); τ. δέ τινα καὶ σύμβολα πληροῦμεν ἐκείνων ἐπὶ τοῦ βαπτίσματος Thdr.Mops.*Rom.* 6:17(p.123.17; M.66.804C); cf. *quod baptisma formam habet mortis et resurrectionis Christi,* id.*Gal.*2:15,16(p.30.13); ὡς ἐν τ. τῷ μύρῳ τὴν ἀόρατον τοῦ παναγίου πνεύματος χάριν ὑποδεχόμενοι Thdt.*Cant.* 1:2(2.30); cf.id.*eran.*1(4.26); some writers opposed this usage, fearing confusion with sense D infra οὐ γὰρ τ. σώματος οὐδὲ τ. αἵματος ...ἀλλὰ κατὰ ἀλήθειαν σῶμα καὶ αἷμα *Χριστοῦ* Mac.Mgn.*apocr.*3.23 (p.106.2); Petr.Laod.*fr.in Mt.*26:26(M.86.3325A); οὐκ ἔστι τ. ὁ ἄρτος καὶ ὁ οἶνος τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ...ἀλλ' αὐτὸ τὸ σῶμα τοῦ κυρίου τεθεωμένον Jo.D. *f.o.*4.13(M.94.1148A); **5.** *emblem, insignia* σύμβολα καὶ τ. ἀρχιερωσύνης Eus.*h.e.*1.3.11(M.20.72C); *ib.*1.3.7(72B); αἴρει ἐπὶ τοῦ ὤμου τὸν τ. τοῦ πεπλανημένου προβάτου [viz. woollen pallium] Eustrat.*v.Eutych.*3(M.86.2304A); cf. περὶ τάξεως ἐπισκόπου καὶ τίνος τύπον φέρει Isid.Pel.*epp.*1.136 tit.(M.78.272C); perh. *insignia,* or *sign* σταυρὲ παντοδύναμε, ὁ τ. τοῦ *Χριστοῦ Dial.Christ.et Jud.*13(p.75.1); *sign, indication* ἵνα κατὰ τὴν ἑξῆς τύπος δοθῇ τίνι ἐξ αὐτῶν χρὴ δοθῆναι τὸ Παλλάδιον Jo.Mal.*chron.*5 p.113(M.97.205C).

D. *type, representation, figure* (cf. Rom.5:14; 1Cor.10:6), understood as cognate either with *pattern, outline* (cf.Mel.*pass.*37f. p.6. 12ff.) or with *image* (cf.Cyr.*Am.*58(3.315B)); **1.** of things to come ὁ τ. ὁ γενόμενος ἐπὶ Ἰσαάκ *Barn.*7.3; *ib.*7.7; ὅσα εἶπον καὶ ἐποίησαν οἱ προφῆται...παραβολαῖς καὶ τ. ἀπεκάλυψαν Just.*dial.*90.2(M.6.689B); Ἰακώβ,...τ. ὢν καὶ αὐτὸς τοῦ *Χριστοῦ ib.*140.1(796C); διὰ τύπων καὶ παραβολῶν ἐσημαίνετο [sc. ὁ *Χριστος*] Iren.*haer.*4.26.1(M.7.1052B); αὖθίς ἐστιν ὁ Ἰσαάκ...τ. ... τοῦ κυρίου Clem.*paed.*1.5(p.103.25; M.8. 277A); τ. γὰρ ὁ δίκαιος ὁ παλαιὸς [sc. ὁ Ἄβελ] τοῦ νέου δικαίου [i.e. τοῦ *Χριστοῦ*] *ib.*1.6(p.118.20; 305C); τὸν οἶνον καὶ τὸν ἄρτον...διδούς [sc. Melchizedek]...εἰς τ. εὐχαριστίας id.*str.*4.25(p.320.1; M.8.1369B); ὁ τύπος νόμου καὶ προφητῶν μέχρι Ἰωάννου *ib.*5.8(p.363.13; M.9.85B); Hipp.*Dan.*1.14.6(M.10.689C); τὸ σάββατον τ. ἐστὶν καὶ εἰκὼν τῆς μελλούσης βασιλείας τῶν ἁγίων *ib.*4.23.5(645A); δύναιντο δὲ καὶ εἰς *Χριστὸν* οἱ δύο Θρῆνοι λαμβάνεσθαι οὗ τύπος ἦν Ἱερεμίας τοσαῦτα παρὰ Ἰουδαίων πεπονθότος καὶ τέλος τάφῳ παραδοθέντος Or.*fr.*69 *in Lam.* (p.263.15; M.13.644A); τότε ἱερὸν καὶ τὸ σῶμα τοῦ Ἰησοῦ κατὰ μίαν τῶν ἐκδοχῶν τύπος μοι εἶναι φαίνεται τῆς ἐκκλησίας id.*Jo.*10.35(20; p.209.17; M.14.369D); τ. γὰρ ὡς ἔφην ἐστὶν ὁ μὲν Ἀαρὼν τοῦ *Χριστοῦ,* ὁ δὲ υἱὸς Ἀαρὼν τοῦ ἐπισκόπου Meth.*lepr.*7(p.459.24); ὁ [sc. νόμος]... τῆς εἰκόνος ἐστὶ τ. καὶ σκιά, τουτέστι τοῦ εὐαγγελίου, ἡ δὲ εἰκών, τὸ εὐαγγέλιον αὐτῆς τῆς ἀληθείας id.*symp.*9.2(p.115.27; M.18.180C); *Χριστός*...οὐκέτι τύπους οὐδὲ εἰκόνας ἀλλ' αὐτὰς γυμνὰς ἀρετὰς... παραδούς Eus.*h.e.*1.3.2(M.20.69A); τύπον ἔφερε [sc. Jonah] τοῦ *Χριστοῦ* τοῦ καταβάντος εἰς τὴν καρδίαν τῆς γῆς Cyr.H.*catech.*14.20; τὸ γὰρ νομικὸν πάσχα...τύπου τύπος ἦν ἀμυδρότερος Gr.Naz.*or.*45.23 (M.36.656A); τ. ἐστὶν Ἰησοῦ *Χριστοῦ* ὁ Ἀδάμ Chrys.*hom.10.1 in Rom.* (9.520C); of Passover blood ἀνθρώπους ἔσωσεν· οὐκ ἐπειδὴ αἷμα ἦν, ἀλλ' ἐπειδὴ τοῦ αἵματος τούτου [sc. *Χριστοῦ*] τ. ἦν id.ap.Jo.D. *parall.*(M.96.17A); Νέρωνα ἐνταῦθά φησιν, ὡσανεὶ τ. ὄντα τοῦ ἀντιχρίστου id.*hom.4.1 in 2Thess.*(11.529F); μονονουχὶ παρεδώκαμεν τῷ τ. τῶν μελλόντων διὰ τοῦ βαπτίσματος Thdr.Mops.*Rom.*6:17(M.66.804D); τῷ βασιλεῖ Βαβυλῶνος ὃς ἦν ἐν τ. τοῦ σατανᾶ Cyr.*ador.*1(1.19E); τῶν ζεόντων τῷ πνεύματι τ. ἂν γένοιτο καὶ μάλα σαφὴς ὁ Χάμ ὃς νοεῖται θερμασία id.*glaph.Gen.*2(1.39A); οὐκοῦν μεσιτεύει μὲν ὁ Μωϋσῆς εἰς τ. *Χριστοῦ,* βραδυτέρως δὲ οὐκ ἔτι δεικνύων τὸν τ. ἐν ἑαυτῷ id.*Jon.* proem.(3.366B); τ. ἦν ἡ παλαιὰ τῆς καινῆς [sc. διαθήκης] Thdt.*qu.in Jos.*proem.(1.299); τ. γὰρ τὰ πρότερα, ἡ τεριτομὴ κτλ. Ammon.*Jo.* 4:24(M.85.1424B); Bas.Sel.*or.*10.1(M.85.137B) cit. s. εἰκών; ὁ υἱὸς καὶ γέλως Ἰσαὰκ ὡς τ. σοῦ τὰ πάντα χαροποιήσαντος *Χριστοῦ* Anast.S. *hex.*12(M.89.1053B); ‡Gr.Nyss.*imag.*(M.44.1329D) cit. s. τυπικῶς; ἔμψυχον κλίμακα ἧς ἡ βάσις ἐπὶ γῆς ἐστήρικται, ἡ δὲ κεφαλὴ πρὸς αὐτὸν τὸν οὐρανὸν ἐφ' ἧς θεὸς ἀναπαύεται, ἧς τὸν τύπον Ἰακὼβ ἐθεάσατο ‡Jo.D.*hom.*6.3(M.96.665A); **2.** of heavenly things προκαθημένου τοῦ ἐπισκόπου εἰς τ. θεοῦ Ign.*Magn.*6.1; *Barn.*19.7; cf. ὑποταγήσεσθε *κυρίοις* ὡς τ. θεοῦ *Did.*4.11; cf. *sed terrena quidem, quae sunt erga nos disposita, congruit typos esse eorum quae sunt celestia ab eodem tamen deo facta,* Iren.*haer.*4.19.1(M.7.1030A); ἐν τύπῳ παρακλήτου ὁ Παῦλος ἀναστάσεως ἀπόστολος γέγονεν Clem.*exc. Thdot.*23(p.114.21; M.9.669B); γνωρίσας Μωϋσῆς τύπους οὐρανίων καὶ σύμβολα μυστηριώδεις τε εἰκόνας Eus.*h.e.*1.3.2(M.20.69A); πόλιν γὰρ ὥσπερ πεποιήμεθα τὴν ἐκκλησίαν *Χριστοῦ* τῆς ἄνω τὸν τ. Cyr.*Is.*3. 3(2.463B); τὸ καταπέτασμα διατείνας ἐν τ. τοῦ στερεώματος Thdt. *qu.60 in Ex.*(1.162); ἑορτάζει τὰ ἅγια Φῶτα, ἤγουν Ἐπιφάνια...ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία ἐν τύπῳ αὐτοῦ [sc. *Χριστοῦ*] τε καὶ τῶν ιβ' μαθητῶν αὐτοῦ *Chron.Pasch.*p.209(M.92.512C); **3.** esp. in contrast to ἡ ἀλήθεια, τὰ πνευματικά, etc. τὰ φυόμενα ἐν τύπῳ προκύπτει τῶν ἀληθῶν Clem.*str.*1.7(p.24.13; M.8.732B); οὐ γὰρ νομιστέον τὰ ἱστορικὰ ἱστορικῶν εἶναι τύπους καὶ τὰ σωματικὰ σωματικῶν, ἀλλὰ τὰ σωματικὰ πνευματικῶν καὶ τὰ ἱστορικὰ νοητῶν Or.*Jo.*10. 18(13; p.189.28; M.14.337D); ἵνα τοὺς τῷ τ. δεδουλωμένους οἰκονομικώτατα ἐλευθερώσας τῶν τ. προσαγάγῃ τῇ ἀληθείᾳ *ib.*13.18(p.242.26; 429B); καὶ βούλεται ὁ τ., ἵνα ὑφεστήκῃ, ἐμποδίζειν τῇ φανερώσει τῆς ἀληθείας *ib.*28.12(11; p.404.3; 705B); οἱ δὲ νοητοὶ Ἰσραηλῖται, ὧν τ. ἦσαν οἱ σωματικοί id.*princ.*4.3.7(p.333.16; M.11.388A); ὁ γὰρ τ. τῆς ἀληθείας οὐκ ἐναντίον, ἀλλὰ συγγενές Chrys.*hom.2.5 in 2Cor.4:13* (3.274B); τ. γάρ ἐστιν...πᾶσα παρ' ἡμῶν νῦν εἶναι νομιζομένη ἀλήθεια Max.*ambig.*(M.91.1296C); **4.** of the figurative nature of baptism τὸ γὰρ πάθος τὸ ὑπὲρ *Χριστοῦ* ἔσται αὐτῷ [sc. τῷ μάρτυρι] γνησιώτερον βάπτισμα, ὅτι αὐτὸς μὲν πείρᾳ συναποθνήσκει τῷ κυρίῳ, οἱ δὲ λοιποὶ τύπῳ *Const.App.*5.6.8; ὅρα τοίνυν τ. μυστικόν· ὅπως εὐθὺς ἐξ ἀρχῆς δι' ὕδατος ζῶντος τῷ ἀπολλυμένῳ ἡ σωτηρία Gr.Nyss.*bapt.Chr.*(M.46. 588C); κατὰ τ. διὰ τοῦ βαπτίσματος ἐν ἐκείνοις γινόμεθα Thdr.Mops. *Gal.*3:29(p.58.16; M.66.905C); **5.** in exegesis, not necessarily with any connotation of time, *symbol* τ. μὲν οὖν ἡ κώμη τοῦ βίου τοῦ παρόντος Eulog.*palm.*3(M.86.2917C); cf. ἐπέχουσι δὲ τοῦ παυδόχου τύπον οἱ ἀπόστολοι *cat.Lc.*10:35(p.89.4); Dion.Ar.*c.h.*15.2(M.3.328C); τύποις οὐκ εὐδιάκριτον ἔχουσι τὴν ἐγκεκαλυμμένην αὐτοῖς θεωρίαν ἀνάλογον φῶς id.*e.h.*5.1.2(M.3.501B); hence *symbolism* ἔχεις τὸν τ. τῆς πρώτης ὁράσεως Herm.*vis.*3.11.4; **6.** *antitype* τ. τῆς σιαγόνος τὸ σῶμα τοῦ *Χριστοῦ* Iren.*fr.*40(M.7.1260A).

E. *form* χρὴ γὰρ ἐν τῷ ἰδίῳ τῆς ἕξεως αὐτοῦ τ. τῶν γενητῶν ἕκαστον μένειν Meth.*res.*1.49(p.303.9; M.41.1124A); γράμματα...διατάγματος ἔχοντα τ. Ath.*ep.encycl.*2(p.170.28; M.25.225B); χάλαζαν...εἰς τ. λίθων *Chron.Pasch.*p.301(M.92.756C); *general character, type*; hence *kind, species* ἐπεὶ οὖν ἐκαίνισεν ἡμᾶς ἐν τῇ ἀφέσει τῶν ἁμαρτιῶν ἐποίησεν ἡμᾶς ἄλλον τ. ὡς παιδίων ἔχειν τὴν ψυχήν, ὡς ἂν δὴ ἀναπλάσσοντος αὐτοῦ ἡμᾶς *Barn.*6.11; *manner* βασιλεὺς ἐκ σοῦ Ἰούδα ἀναστήσεται καὶ ποιήσει ἱερατείαν νέαν, κατὰ τὸν τ. τῶν ἐθνῶν εἰς πάντα τὰ ἔθνη *T.Lev.*8.14; προσεκύνησαν τῷ Ἰωσὴφ κατὰ τὸν τ. βασιλέως Φαραώ *T.Zab.*3.6; ἐκείνῳ τῷ τ. χρίσεις τὴν κεφαλὴν τῶν βαπτιζομένων *Const. App.*3.16.4.

F. *plan, pattern, model, example* (cf. Ex.25:39, Rom.6:17) κατὰ τοὺς ἀρχιτεκτονικοὺς τ. οἰκοδομεῖται...οἰκία Or.*Jo.*1.19(22; p.24.3; M. 14.56C); κατὰ τὸν δειχθέντα αὐτῷ τ. Eus.*d.e.*4.16(p.194.4; M.22.324A); ἄλλοις τύπον σκανδάλου ὑπολειπόμενος id.*h.e.*5.3.2(M.20.437A); ὁ σωτὴρ εἰς ἡμέτερον τ. τοῦ λουτροῦ μετασχεῖν μνημονεύεται id.*v.C.*4.62(p.143. 10; M.20.1216A); cf. (ref. Christ's baptism as example to faithful) λουσάμενος ἐνὶ τύποις *PAmh.*(1 p.25.11); ἵνα καὶ ἡμεῖς τ. τινὰ λαβόντες καὶ εἰς ἐκεῖνον βλέποντες, γενώμεθα ἕν Ath.*Ar.*3.20(M.26.364C); μὴ νεκρώσας ἀσελγούσας πόρνας [sc. ὁ θεός], ἵνα μὴ τῆς μετανοίας οἱ τ. ἀργήσωσιν Isid.Pel.*epp.*1.195(M.78.308B); προσευχῆς δὲ τ. τοῖς μαθηταῖς δεδωκώς Thdt.*haer.*5.28(4.478); Leont.N.*v.Jo.Eleem.*35(p.69.4).

G. *outline* τὸν γὰρ τ. αὐτοῦ δεῖξαι μόνον...προῄρημαι νῦν Meth.*res.* 2.5(p.339.1); τῶν αὐτῶν πραγμάτων τοὺς τ. ἐνσημαίνεται μὲν ὁ πατήρ, ἐπιτελεῖ δὲ ὁ λόγος Gr.Naz.*or.*30.11(p.124.14; M.36.117A); esp. in phrase ὡς τύπῳ περιλαβεῖν, *in outline, in sum,* Hipp.*haer.*7.19(p.194. 19; M.16.3299C).

H. plur., *minutes, notes* ἀναγινωσκέσθωσαν οἱ δεδόμενοι τ. ἐν ταῖς προλαβούσαις ἀκροάσεσιν CChalc.*act.*3(*ACO* 2.1.2 p.92.10; H.2.384C).

I. *prescribed form* (cf. Ac.23:25); **1.** *principle, formula, standard* κατὰ τὸν ἐνθάδε τ. Gr.Thaum.*ep.can.*5(M.10.1037C); τοῦτον ἐγὼ τὸν κανόνα καὶ τὸν τ. ... παρέλαβον Dion.Al.ap.Eus.*h.e.*7.7.4(M.20.648C); καὶ περὶ τῶν διακονισσῶν...ὁ αὐτὸς τ. παραφυλαχθήσεται CNic.(325) *can.*19; ἄλλος τ. ἐστὶν οὗτος καὶ καινὸν τὸ ἐπιτήδευμα Jul.Papa *ep. Dian.*ap.Ath.*apol.sec.*35(p.113.10; M.25.308B); ὁ δυνατὸς...τύπους ἐκθέσθαι πίστεως Παῦλος Didym.*Trin.*2.6.6(M.39.524C); τοῖς πολιτικοῖς καὶ δημοσίοις τ. CChalc.*can.*17; **2.** *form* of a document, *text* τῆς ἀντιγραφῆς τῆς ἐμῆς τῷ τ. Gallienus Imp.ap.Eus.*h.e.*7.13(M.20.

673D); Meth.*symp*.3.1(p.27.6; M.18.61A); Const.ap.Ath.*apol.sec*.56 (p.136.13; M.25.349C); *φωνῆς ἢ ὀνόματος ἢ τύπον ῥημάτων* Gr.Nyss. *or.catech*.32(p.120.8; M.45.81B); *καθὼς καὶ τῆς σῆς ἐπιστολῆς ὁ τ. σημαίνει* Leo Mag.*ep*.106(p.56.13; M.*PL*.54.1002B); **3.** *written decision, decree, edict κανόνες καὶ τ. ταῖς ἐκκλησίαις ἐδόθησαν* Ath. *ep.encycl*.1(p.170.13; M.25.225A); Bas.*ep*.188.3(3.271C; M.32.672C); Socr.*h.e*.1.37.5(M.67.176A); Thdr.Lect.*h.e*.1.3C(M.86.180B); hence *τ. θεῖος imperial rescript*, Jo.Mal.*chron*.13 p.332(M.97.481B); and *ὁ Τύπος the Type* of Constans II *κακῶς γέγονεν ὁ τ. καὶ ἐπὶ βλάβῃ πολλῶν* Anast.Ap.*a.Max*.2.9(M.90.144B); *judicial decision, judgement*, Gr.Naz.*ep*.149(M.37.256A); **4.** *rite οὐκοῦν οὐ πρᾷξίν τινα, οὐ λόγον, οὐ τ. τινὰ μυστικόν, παρ' ὃν ἐκεῖνος κατέλιπε τῇ ἐκκλησίᾳ προσέθηκαν* Bas.*Spir*.74(3.63A; M.32.208A).

τυπ-όω, A. *impress*; **1.** lit., *stamp, model ἡ τῶν ὅλων ἀρχὴ... τετύπωκεν τὰ μεθ' ἑαυτὴν ἅπαντα γενόμενα* Clem.*str*.5.6(p.353.2; M.9.65A); *ἀπὸ τῆς αὐτῆς σφραγῖδος ὁμοίως ∼ωθῆναι τὴν ἀνόμοιον οὐσίαν χρυσοῦ καὶ ἀργύρου* Or.*Jo*.20.24(20; p.358.24; M.14.628B); *ξόανα...εἰς πᾶσαν θνητῶν ζῴων ἰδίαν τετυπωμένα* Eus.*p.e*.10.4(469C; M.21.781B); *βόρβορον...κατὰ τοῦ μετώπου ∼οῦσι τοῦ παιδίου* [i.e. against evil eye] Chrys.*hom*.12.7 *in* 1*Cor*.(10.107C); *ὁ δὲ ὄβολος...ἐν ἀργυρίοις ἐτετύπωτο* Proc.G.*Ex*.29:35(M.87.660A); fig. *ὅτε τὸ ἡγεμονικὸν αὐτοῦ...τῇ τῆς θεολογίας σφραγῖδι τετύπωται* Or.*schol.in Cant*.4:12(M.17.273A); *οὐ...ἀέρα διὰ γλώσσης ∼ούμενον τὸν θεῖον λόγον νοοῦμεν* Bas.*hex*.2.7 (1.19C; M.29.45B); *φωνῇ...ἔνδοθεν ἐνηχουμένῃ, καὶ ἐν αὐτῷ ∼ουμένῃ* Thdt.*Zach*.1:13(2.1600); **2.** met.; **a.** *mould, form αὐτίκα οὐ πολλοῖς ἀπεκάλυψεν ἃ μὴ πολλῶν ἦν, ὀλίγοις δὲ...τοῖς οἵοις τε ἐκδέξασθαι καὶ ∼ωθῆναι πρὸς αὐτά* Clem.*str*.1.1(p.10.2; M.8.701B); *τί ἄτοπον τὸ ∼οῦν τὸ ἡγεμονικὸν ἐν ὀνείρῳ δύνασθαι αὐτὸ ∼οῦν καὶ ὕπαρ πρὸς τὸ χρήσιμον τῷ ἐν ᾧ ∼οῦται;* Or.*Cels*.1.48(p.97.28; M.11.748C); *ἀπ' ἐκείνης δὲ τῆς δικαιοσύνης ἡ ἐν ἑκάστῳ δικαιοσύνη ∼οῦται* id.*Jo*.6.6(3; p.115.4; M.14.212B); *λόγος ὁ ἀνθρώπων,...ὀξὺς εἰσδραμὼν εἰς τὰς ἀκοὰς ∼ῶσαί τε τὸν νοῦν* Gr.Thaum.*pan.Or*.13(p.31.28; M.10.1088C); *ὁ νοῦς ἀεί σοι καμνέτω ∼ούμενος θείοις νοήμασι* Gr.Naz.*carm*.1.2.33.57(M.37.932A); *ἡ τῆς παρ' ἡμῖν ἱεραρχίας εὐταξία...τὴν ἀγγελικὴν εὐπρέπειαν ὡς ἐν εἰκόσιν ἔξει, ∼ουμένη δι' αὐτῆς* Dion.Ar.*c.h*.8.2(M.3.241C); *ἥτις ἐπιμείνασα καὶ ∼ώσασα τὴν ψυχὴν πρὸς τὸ νοούμενον, ἐνθύμησις προσαγορεύεται* Max.*opusc*.(M.91.21A); **b.** in bad sense, *mould* the mind by material images *μὴ σχηματίζῃς τὸ θεῖον ἐν ἑαυτῷ προσευχόμενος, μηδὲ πρὸς μορφήν τινα συγχωρήσῃς ∼ωθῆναί σου τὸν νοῦν* Evagr. Pont.*or*.66(M.79.1181A); *τῶν νοημάτων τὰ μὲν ∼οῖ τὸ ἡγεμονικὸν ἡμῶν καὶ σχηματίζει, τὰ δὲ γνῶσιν μόνον παρέχει μὴ ∼οῦντα τὸν νοῦν μηδὲ σχηματίζοντα...τὸ μὲν 'λαβὼν ἄρτον' σχηματίζει τὸν νοῦν, τὸ δὲ 'κλάσας' πάλιν ∼οῖ τὸν νοῦν* †Nil.*mal.cog*.24(M.79.1228C); *τὸ τοίνυν νόημα τοῦ θεοῦ οὐκ ἐν τοῖς ∼οῦσι τὸν νοῦν ἀλλὰ τοῖς νοήμασι τοῖς μὴ ∼οῦσι τὸν νοῦν ib.*(1228D); **c.** *impress*, on the mind or senses *ἑκάστη δὲ ἀπάτη, συνεχῶς ἐναπερειδομένη τῇ ψυχῇ τὴν φαντασίαν ἐν αὐτῇ ∼οῦται* Clem.*str*.2.20(p.174.3; M.8.1056B); *αὗται δὲ αἱ παράνομοι ἐνέργειαι ἐν τῷ ἡγεμονικῷ ∼ούμεναι* Or.*or*.28.5(p.378.9; M.11.525B); *εἴ...τοὺς χαρακτῆρας ἐναργῶς ἐν ἑαυτῷ ∼ώσειεν* Gr.Nyss.*or.dom*.2 (p.40.21; M.44.1145B); **d.** *discipline, educate λόγῳ γὰρ ∼οῦται εἰς τὸ ἡμερῶσθαι ἐκ τοῦ θηριώδους βίου* Clem.*str*.6.6(p.457.14; M.9.273A); *εἰ δέ ἐστί τις τῶν νεοφωτίστων...ἐκεῖνος προβληθήτω· ∼ώσεις δὲ αὐτὸν πρὸς τὸ δέον* Bas.*ep*.217(3.325B; M.32.796A); *∼ώσας ὁ γέρων τὸν ἀδελφόν Apophth.Patr*.(M.65.264B).

B. *typify, figure, express in outward form σωτὴρ...ὃν Μωσῆς ἐτύπωσε προτείνας ὠλένας ἀγνάς, νικῶν τὸν Ἀμαλὴκ πίστει Orac.Sib*.8. 251; *τίς γὰρ ἦ γεννηθῆναι κάτω τὴν ἀρχήν, ἢ ἐπὶ τὸν σταυρὸν ἀνελθεῖν ἠνάγκασεν; ἐν ἑαυτῷ δέ, ὅπερ εἶπον, ∼οῖ τὸ ἡμέτερον* Gr.Naz.*or*.30.5 (p.115.6; M.36.109B); *οἱ προφῆται τὰ εἰς Χριστὸν τετυπωμένα προανεφώνησαν* Epiph.*haer*.41.3(p.93.3; M.41.693C); *οἱ προφῆται...οὐκ ἔγραφον δὲ μόνον ἀλλὰ καὶ διὰ πραγμάτων ἐτύπουν* Chrys.*hom.1.2 in Rom*.(9.431D); Dion.Ar.*c.h*.10.4(M.3.261B); *τοῦ ∼οῦντος τὴν ὅρασιν ἀγγέλου κατὰ δύναμιν τῷ θεολόγῳ μεταδιδόντος τῆς οἰκείας ἱερογνωσίας ib*.13.4(305A); *τῶν ∼ούντων αὐτοὺς* [sc. *τοὺς λόγους...γυμνοὺς τῶν ἐπ' αὐτοῖς τυπικῶν συνθημάτων*] *συμβόλων* Max.*qu.Thal*.55(M.90.536C); med., *express in oneself ἡ ὕλη ἅποιος οὖσα καὶ ἀσχημάτιστος ἐκτυποῦται τὰς ἰδέας ἀπὸ τοῦ νἱοῦ ἃς ὁ νἱὸς ἀπὸ τοῦ πατρὸς ἐτυπώσατο* Hipp. *haer*.5.17(p.114.23; M.16.3175C).

C. *dispose, frame, place in a certain attitude ἱερέως χεῖρες ἐπὶ τοῦ ὄρους αἰρόμεναι καὶ εἰς εὐχὴν ∼ούμεναι* Gr.Naz.*or*.13.2(M.35.853B); *σταυροειδῶς τὰς παλάμας ∼ώσαντες* Jo.D.*f.o*.4.13(M.94.1149A); hence esp. of making sign of the cross *πρὶν ἢ τελείως αὐτὸ ∼ωθῆναι* †Jo.D. *B.J*.31(M.96.1153C).

D. *specify, prescribe, define ἐξελθὼν καὶ τυπώσας τοῖς ἀγοραίοις τὰ τῇ ἡμέρᾳ καὶ τῷ καιρῷ ἁρμόδια A.Xanthipp*.17(p.69.27); *ἐστὶ καὶ ἕτερα βιβλία τούτων ἔξωθεν, οὐ κανονιζόμενα μέν, τετυπωμένα δὲ παρὰ τῶν πατέρων ἀναγινώσκεσθαι* Ath.*ep.fest*.39.11(p.88; M.26.1438C); *ἤτησε τὸν βασιλέα 'Ιοβιανὸν ∼ῶσαι εὐθέως καὶ παραχρῆμα εἰρήνης πάκτα Chron.Pasch*.p.299(M.92.749C).

E. of persons, *appoint*, Gr.Naz.*carm*.1.1.1.36(M.37.401A); *ὁ θεὸς γὰρ οὕτω βούλεται ἕνα ὁ ἄρχων ὁ παρ' αὐτοῦ ∼ωθεὶς τὴν οἰκείαν ἰσχὺν ἔχῃ* Chrys.*hom.23.3 in Rom*.(9.689E); Pall.*v.Chrys*.14(p.87.17; M. 47.49).

F. *draw up ἐπιστολὰς τ.* Bas.*ep*.68(3.161C; M.32.429A); hence *formulate, determine, decree ὡς ἂν τοῦτο ἐπὶ τῆς Ἀντιοχέων ἐκκλησίας ∼ωθείη* Const.ap.Eus.*v.C*.3.61(p.109.23; M.20.1136B); Bas.*ep*.188 *can*.1(3.270D; M.32.669C); *τῆς τετυπωμένης ὥρας* id.*reg.br*.136(2.461D; M.31.1172D); *κλῆσιν συνοδικὴν ἐτύπωσαν* Gr.Naz.*ep*.50(M.37.104A); *ἐτύπωσαν ἡμέρας τεσσαράκοντα νηστείας* Chrys.*Jud*.3.4(1.611C); *τετύπωκε συνοδικὸν κριτήριον* Leo Mag.*ep*.29(p.45.10; M.*PL*.54.784A).

τυπώδης, v. ******τυποειδής*.

τύπωμα, τό, 1. *image ἅπαν εἴδωλον καὶ πᾶν τ. ἀνθρώπου* Chrys.*Jud*. 5.10(1.645A); met., *mental image, concept λόγος δ' ἔρευνα τῶν νοὸς τ.* Gr.Naz.*carm*.1.2.34.29(M.37.947A); **2.** (= Lat. *forma*) *rescript*, Phot.*nomoc*.10.1(M.104.1144D).

τύπωσις, ἡ, 1. lit., *impression, configuration διὰ τῆς τοῦ ἀέρος τ. κατὰ τὴν ἔναρθρον τῆς φωνῆς κίνησιν* Bas.*hex*.3.2(1.23A; M.29.56A); *ἵνα...διὰ τῆς ποιᾶς τῶν φθόγγων τ. ἑρμηνεύσῃ* [sc. *ὁ νοῦς*] *τὴν ἔνδοθεν κίνησιν* Gr.Nyss.*hom.opif*.9.1(M.44.149C); **2.** *sense impression τὴν αὐτὴν ἀπὸ τῶν ὑποκειμένων ἅπασιν ἐγγίνεσθαι τ.* Clem.*str*.8.8 (p.94.10; M.9.589A); *ib*.4.23(p.315.5; M.8.1360B); cf. *τυποῦσθαί ⟨τε⟩ δύνασθαι...ἀπὸ τῶν ὄντων καὶ ὑπαρχόντων διὰ τῶν αἰσθητηρίων, καὶ παραδέχεσθαι τὰς τυπώσεις* Arius Didymus ap.Eus.*p.e*.15.20(822A; M.21.1349B); **3.** *pattern, example ἡ τ. τῆς εὐχῆς* Gr.Naz.*ep*.77(M.37. 145A); id.*carm*.1.2.25.237(M.37.830A).

τυπωτικός, *materially figurative συνθήματα...τυπωτικὰ καὶ πολύμορφα τῶν ἀμορφώτων καὶ ἀτυπώτων* Dion.Ar.*ep*.9.1(M.3.1105C); *τ. συμβόλοις* id.*c.h*.1.2(M.3.121B).

υἱοθεσία, ἡ, I. *adoption as a son*; hence also position as a son; **A.** of men in rel. to God; **1.** as restored to former status through Inc. *ὁ δεσπότης ἐβαπτίσθη καὶ τὸν παλαιὸν ἄνθρωπον ἀνεκαίνισεν καὶ τὰ σκῆπτρα τῆς υἱ. αὐτῷ πάλιν ἐπίστευσεν* †Hipp.*theoph.*6(p.260.24; M. 10.857B); *ὥστε τὸν σωζόμενον ἄνθρωπον διὰ μιμήσεως Χριστοῦ τὴν ἀρχαίαν ἐκείνην υἱ. ἀπολαβεῖν* Bas.*Spir.*35(3.28D; M.32.128D); †Jo.D. *B.J.*1(M.96.861C); **2.** as given new status; **a.** through Christ, Apoll.*Rom.*1:3f.(p.57.7); Cyr.*Heb.*1:1(p.365.24) cit. s. *υἱοποιέω*; id. *Arcad.*(p.117.22; 5².125C); Proc.G.*Is.*54:1ff.(M.87.2537D); cf. exeg. Eph.1:5 *δηλοῖ δὲ τὸ ὄνομα τῆς υἱ. τὸ μὴ φύσει εἶναι υἱοὺς τοῦ θεοῦ τοὺς προορισθέντας ὑπ' αὐτοῦ· οὐκ ἂν γοῦν ταχθείη τὸ ὄνομα τῆς υἱ. ἐπὶ τοῦ σωτῆρος, ἀλλ' ἐπὶ τούτων οἳ...λαμβάνουσι τὸ πνεῦμα τῆς υἱ. ὅτε δέ τις τὸν υἱὸν λαμβάνει οὐ πρότερον ἐσχηκὼς αὐτόν, τότε καὶ τὸ πνεῦμα κεχώρηκε τῆς υἱ. οὕτως γὰρ διὰ Χριστοῦ ἡ υἱ. ἡμῖν ἐπεισέρχεται* Or. *comm.in Eph.*1:5(p.237.17); of martyrs *συμμορφωθῆναι τῷ θανάτῳ τοῦ Χριστοῦ εἰς υἱ. Const.App.*5.1.2; **b.** through H. Ghost *οὗ* [sc. *τοῦ νοῦ*] *δεξαμένου τὴν κοινωνίαν τοῦ πνεύματος παραγίνεται τοῖς δεξαμένοις τὸ τῆς υἱ. ἀξίωμα* Gr.Nyss.*Eun.*7(2 p.152.12; M.45.740C); *τὸ δὲ πνεῦμα ἐλευθερίαν ὀρέγει καὶ υἱ.· τὸ γὰρ πνεῦμα κράζει ἐν ταῖς καρδίαις ἡμῶν, ἀββᾶ ὁ πατήρ* Didym.(‡Bas.)*Eun.*5(1.297A; M.29.713A); Thdt. *Trin.*21(M.75.1177A); Proc.G.*Is.*54:1ff.(M.87.2616B); cf. *πολλὰ τῶν κτισμάτων οὐδὲ τὸ τῆς υἱ. πνεῦμα φύσιν ἔχει δέχεσθαι, ὡς τὰ ἄλογα καὶ τὰ ἄψυχα* Didym.(‡Bas.)*Eun.*4(287D; M.692A); **c.** esp. in baptism *ὁ πατὴρ τοὺς εἰς αὐτὸν καταπεφευγότας...ἀναγεννήσας πνεύματι εἰς υἱ.* Clem.*paed.*1.5(p.102.20; M.8.276A); †Hipp.*theoph.*10(p.263.16; M. 10.861A); Bas.*Spir.*36(3.30A; M.32.132B); id.*hom.*13.1(2.114B; M.31. 425A); *βάπτισμα...υἱοθεσίας χάρισμα* Cyr.H.*procatech.*16; id.*catech.* 3.14; *μηδεὶς...νομιζέτω τὸ βάπτισμα ἀφέσεως ἁμαρτιῶν μόνον, ἀλλὰ καὶ υἱοθεσίας χάριν τυγχάνειν ib.*20.6; *συναναστῆναι εἰς υἱ. τὴν ἐν αὐτῷ* [sc. *Χριστῷ*] *Const.App.*7.43.5; *ὅπου γὰρ ἁμαρτημάτων ἄφεσις, ἐκεῖ υἱ. ... οὐ πρότερον δυνάμεθα καλέσαι πατέρα, ἕως ἐν τῇ κολυμβήθρᾳ... ἀπονιψώμεθα τὰ ἁμαρτήματα* Chrys.*paralyt.*6(3.42E); Isid.Pel.*epp.*3. 195(M.78.880C); Cyr.*Os.*8(3.29A); *τὸ βάπτισμα τῆς υἱ. ἡ ῥίζα* Job.

Mon.*inc.*2(M.86.33168); *τὴν μητέρα* [sc. the font] *τῆς υἱ.* Dion.Ar. *e.h.*2.2.7(M.3.396C); hence as synonym for baptism *οἱ τῆς υἱ. ἠξιωμένοι* Thdt.*Ps.*57:6(1.985); **d.** in gen. *τὸν ἑκόντα μετὰ ἀσκήσεως καὶ διδασκαλίας τὴν γνῶσιν τῆς ἀληθείας ἐπανῃρημένον εἰς υἱ. καλεῖ, τὴν μεγίστην πασῶν προκοπήν* Clem.*str.*2.16(p.152.25; M.8.1013B); Mac. Aeg.*ep.*(M.34.413A); *οἱ γὰρ πνευματικῶς πολιτευόμενοι, τοῦ τῆς υἱ. μεταλαγχάνουσιν ἀξιώματος* Thdt.*Rom.*8:14(3.85); *μήποτε...ἐκπέσωμεν τῆς τοιαύτης υἱ. ὁ δὲ ταύτης ἐκπίπτων, ὅμοιος γίνεται Ἰούδᾳ* Ant. Mon.*hom.*129(M.89.1840C); **e.** implying immortality *τὴν υἱ. τὴν ἀθανασίαν καλῶν, ἐπειδὴ υἱῶν εἶναι νομίζει θεοῦ ἀθανάτους εἶναι* Thdr. Mops.*Rom.*8:19(p.138.33; M.66.825D); Gennad.*fr.Rom.*1:7(p.352. 22); cf. *ἠγέρθη Χριστὸς ἐκ νεκρῶν εἰς υἱ. ib.*6:3f.(p.365.28; M.85. 1673C); to be completed in the future, ref. Rom.8:23 *νῦν μὲν ὡς ἐν ἀπαρχῇ λαμβάνουσα* [sc. Church] *τῆς υἱ. τὸν ἀρραβῶνα, καὶ τὴν τῆς ἀναστάσεως ἐλπίδα* Or.*schol.in Cant.*7:1(M.17.280D); Diod.*Rom.*8:23 (p.95.9); *εἶπεν ὅτι ἐλάβομεν πνεῦμα υἱοθεσίας· ἀλλ' ὅμως διδάσκει σαφέστερον, ὅτι τὸ μὲν ὄνομα νῦν ἐλάβομεν, τοῦ δέ γε πράγματος τότε μεθέξομεν, ὅταν ἡμῶν ἀπαλλαγῇ τὰ σώματα τῆς φθορᾶς* Thdt.*Rom.* 8:23(3.89); ref. 1Cor.15:28 *υἱοὶ δὲ θεοῦ ἔσονται* [sc. *οἱ ἅγιοι*] *τῷ τῆς υἱ. πνεύματι κοσμηθέντες* Eus.*e.th.*3.15(p.173.6; M.24.1029C).

B. not applicable to Son *τῶν γὰρ ἑτεροδόξων οἱ μὲν...ἄνθρωπον εἶναι αὐτὸν...ὑποθέμενοι ἐξ ἀνθρώπου, υἱοθεσίᾳ τετιμῆσθαι αὐτὸν ἔφασαν* Eus.*Marcell.*2.1(p.33.13; M.24.780B); *οὐκ ἐκ δουλείας εἰς προκοπὴν υἱοθεσίας ἐληλύθοτα, ἀλλὰ υἱὸν ἀεὶ γεννηθέντα* Cyr.H.*catech.*11. 4; *αὐτὸς ἄλλου υἱοῦ τοῦ χαριζομένου αὐτῷ τὴν υἱ. οὐκ ἐπιδέεται, ἀλλ' ὅπερ ἐστὶ κατὰ φύσιν, καὶ ὀνομάζεται* Gr.Nyss.*Eun.*3(2 p.41.20; M.45. 609A); Didym.(‡Bas.)*Eun.*4(1.287D; M.29.692A).

II. *sonship*, of Son *ὑπὲρ δὲ τῆς αὐτοῦ καταρτισθείσης υἱοθεσίας, υἱοπρεπῶς μὲν διὰ τὴν φύσιν,...προσάγων εὐχαριστήρια τῷ πατρί* †Diad.*Ar.*7(M.65.1161C).

υἱοθετ-έω, *adopt as a son*; **1.** men by God; **a.** through Christ *ἡ υἱότης αὐτοῦ διαφέρει τῶν δι' αὐτοῦ θέσει ~ηθέντων* Alex.Al.*ep. Alex.*7(p.24.11; M.18.557C); **b.** through H. Ghost in baptism, Bas. *ep.*105(3.200B; M.32.513B) cit. s. *ἀπαθανατίζω*; Gr.Nyss.*bapt.*(M.46. 425B); *διὰ τοῦ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως πνεύματος ἁγίου ~ούμεθα θεῷ* Didym.(‡Bas.)*Eun.*5(1.303A; M.29.728A); Jo.D. *f.o.*4.8(M.94.1117A); **c.** in gen., Or.*exp.in Pr.*17:20(M.17.201A); of Israel *θέσει...καὶ χαρακτῆρί τινι...~ούμενοι ἀπὸ τοῦ ἀληθινοῦ θεοῦ* Didym.(‡Bas.)*Eun.*5(1.313B; M.752A); Max.*ep.*19(M.91.592A); **2.** pass., of Church, opp. Israel *~εἶται...δι' ἀγάπης ἀγιαζομένη* Didym.(‡Bas.)*Eun.*5(1.309B; M.29.741B); **3.** met., soul by wisdom, Proc.G.*Cant.*6:8(M.87.1756B).

υἱόθετος, *adopted as a son*; of Christ into Gnost. Pleroma, Clem. *exc.Thdot.*33(p.117.19; M.9.676B).

***υἱοπατερία, ἡ,** v. ***υἱοπατορία.**

***υἱοπατήρ, ὁ,** v. ***υἱοπάτωρ.**

***υἱοπατορία (*-τερία), ἡ,** *doctrine of the identity of Son and Father*, as taught by Sabellians *μήτε ἀπαλλοτριώσῃς τοῦ πατρὸς τὸν υἱόν, μήτε συναλοιφὴν ἐργασάμενος υἱ. πιστεύσῃς* Cyr.H.*catech.*4.8; *ib.*15.9; Ammon.*Jo.*1:1(M.85.1392C); CCP(381)‡*can.*7; ‡Acac.CP *ep. Petr.*(p.19.20; *-τερία* H.2.845A); ‡Caes.Naz.*dial.*3(M.38.861).

***υἱοπάτωρ (*-πατήρ), ὁ, 1.** divine Person who is both *Father and Son οὐδ' ὡς Σαβέλλιος τὴν μονάδα διαιρῶν υἱ. εἶπεν* Ar.*ep.Alex.*(p.12. 12; M.26.709A); *υἱ. τὸν θεὸν κατὰ τὸν Σαβέλλιον, εἰ καὶ μὴ γυμνῷ τῷ λόγῳ, τῇ γοῦν ἀληθείᾳ εἰσάγων* [sc. Marcellus] Eus.*e.th.*1.1(p.62.33; M.24.829C); *οὔτε γὰρ υἱ. φρονοῦμεν, ὡς οἱ Σαβέλλιοι λέγοντες μονοούσιον καὶ οὐχ ὁμοούσιον* †Ath.*exp.fid.*2(M.25.204A); *εἴ τις τὸ ἄχρονον τῆς τοῦ μονογενοῦς Χριστοῦ ἐκ πατρὸς ὑποστάσεως ἐπὶ τὴν ἀγέννητον τοῦ θεοῦ οὐσίαν ἀναφέρει, ὡς υἱ. λέγων, ἀνάθεμα ἔστω* CAnc.(358) *anath.*17; *Μοντανιστὰς...τὸν αὐτὸν υἱοπατέρα ὁμοῦ καὶ παράκλητον νοοῦντας* Didym.*Trin.*3.18(M.39.881B); *Νόητος...υἱ. τὸν Χριστὸν ἐδίδαξε, τὸν αὐτὸν εἶναι ⟨λέγων⟩ πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα* Epiph. *anac.*57(p.213.4; M.41.848D); *αὐτὸν δὲ τὸν πατέρα ἕνα ὄντα δυοῖν ὀνόμασι γεραίροντα οἰόμενοι, υἱ. προσαγορεύουσιν* [sc. Sabellians] ‡Gr.Nyss.*Ar.et Sab.*1(M.45.1281A); **2.** one who holds such a doctrine, *Filiopatrian τὴν τῶν υἱοπατόρων λεγομένων ἀπάτην* Gr.Nyss. *Eun.*12(1 p.227.16; M.45.924A).

υἱοποι-έω, A. *adopt as a son*, Adam.*dial.*2.19(p.104.26); met., of Christ *βασιλέας ~οῦντές τινες, οὐχ ἡγοῦνται διδόναι μᾶλλον ἢ λαμβάνειν. ~ησαι σὺ τὸν Χριστόν, καὶ ἕξεις πολλὴν ἀσφάλειαν* Chrys. *hom.*1.4 *in Phil.*(11.200F); ‡Chrys.*caec.Zacch.*4(8.126C).

B. *make into a son* of God; **1.** men, ref. Ps.81:6 *σχέσει γὰρ τῇ πρὸς θεὸν υἱοποιηθέντες παρ' αὐτοῦ θεοποιούμεθα* Cyr.*thes.*4(5¹.25A); through Christ *υἱοποίησεν ἡμᾶς τῷ πατρί* Ath.*Ar.*1.38(M.26.92B); *συγκαταβάντος τοῦ λόγου, ~εἶται καὶ αὖτη ἡ κτίσις δι' αὐτοῦ ib.*2.64 (284B); *τοῦ υἱοῦ μετέχοντες ~ούμεθα δι' αὐτοῦ* Cyr.*thes.*13(5¹.131A); id.*Ps.*83:6(M.69.1209A); through **II.** Ghost *τοῦ Χριστοῦ ὄντος ἀληθινοῦ υἱοῦ, ἡμεῖς τὸ πνεῦμα λαμβάνοντες, ~ούμεθα* Ath.*ep.Serap.*1.19 (M.26.576A); Cyr.*Nest.*2.4(p.40.39; 6¹.42E); in baptism *βαπτιζόμενοι φωτιζόμεθα, φωτιζόμενοι ~ούμεθα, ~ούμενοι τελειούμεθα* Clem.*paed.* 1.6(p.105.20; M.8.281A); *~ούμεθα καὶ ἡμεῖς ἀληθῶς* Ath.*decr.*31(p.27. 25; M.25.473C); *ἐκ ποιημάτων ὄντες, ~ούμεθα λοιπόν* id.*Ar.*1.34(M.26. 84A); *Const.App.*2.33.1 cit. s. *δεξιός*; **2.** of Christ (heret.) *τὸν φύσει υἱὸν θεοῦ, θέσει καὶ χάριτι υἱοποιηθέντα λέγουσι* Didym.(‡Bas.)*Eun.*5 (1.314A; M.29.753A); Cyr.*Arcad.*(p.66.13; 5².49A); *εἰ οὖν οὕτως καὶ ὁ λόγος καὶ ὁ Χριστὸς μεταλήψει κοινοῦ τινος ἑτέρου...~οῦνται θεῷ* Leont.H.*Nest.*4.12(M.86.1648B); orthodox *ἵν' ὡς ἄνθρωπος ~ηθείς, καίτοι κατὰ φύσιν ὑπάρχων θεός, ὁδοποιήσῃ δι' ἑαυτοῦ τῇ ἀνθρώπου φύσει τῆς υἱοθεσίας τὴν μέθεξιν* Cyr.*Heb.*1:1(p.365.23).

***υἱοποίησις, ἡ,** *making into sons*, ref. Heb.1:6 *τῆς δὲ κτίσεως πρωτότοκον διὰ τὴν τῶν πάντων υἱ.* Ath.*Ar.*2.64(M.26.284C); *ib.*3.9 (340C); *τὸ πνεῦμα, ἐπείπερ ἐστὶ τοῦ υἱοῦ, ἐνεργήσει...τὴν υἱ.* Cyr.*dial. Trin.*3(5¹.492C).

υἱοποίητος, *adopted as a son*, Chrys.*hom.*5.2 *in Eph.*(11.34B); ‡Chrys.*caec.Zacch.*4(8.126C).

υἱοποιία, ἡ, *making into a son*, ref. Ps.2:7 *τῷ ἔργῳ τῆς πρὸς αὐτὸν* [sc. *θεόν*] *υἱοποιΐας αὐτοῦ* [sc. *τοῦ κατὰ Χριστὸν ἀνθρώπου*] Leont.H. *Nest.*3.5(M.86.1616A).

***υἱοποιός, *son-making*,** Leont.B.*Nest.et Eut.*1(M.86.1301A) cit. s. *θεοποιός*; *γεννήσεως υἱ.* Leont.H.*Nest.*4.19(M.86.1684D).

***υἱοπρεπής, *filial, befitting a son υἱ. ἰδιώματα* [sc. *τῆς τοῦ λόγου θείας φύσεως*] Leont.H.*Nest.*2.21(M.86.1584A).

***υἱοπρεπῶς,** *as befits a son*, †Diad.*Ar.*7(M.65.1161C) cit. s. *ἀρχιερατικῶς*.

υἱός, ὁ, *son* [voc. *υἱός*, *T.Sal.*20.1(p.60.6); plur. *υἱεῖς*, Athenag. *leg.*20.2(M.6.932A); *Disp.Phot.*(M.88.565D); poet. acc. *υἱέα*, Gr.Naz. *carm.*1.1.2.1(M.37.401A); *υἱῆα*, Nonn.*par.Jo.*13:22(M.43.865A)];

A. in Hebraisms *τοῖς υἱ. τῶν ἀνθρώπων 1Clem.*61.2; *υἱοὶ τῆς ἀνομίας* Herm.*vis.*3.6.1; *τοῦ μέλλοντος αἰῶνος ὄντες υἱ. Hom.Clem.*2. 15; *γενόμενοι διὰ τὸν Ἰησοῦν υἱ. τῆς εἰρήνης* Or.*Cels.*5.33(p.35.28; M. 11.1232B); *ἀπειθείας υἱοὺς ὀνομάζει τοὺς ἀπειθεῖς, οἱονεὶ τῆς κατὰ τὴν ἀπείθειαν κακίας μητρὸς γινομένης καὶ γεννώσης αὐτοὺς ἔχοντας τὸν τῆς μητρὸς χαρακτῆρα* id.*comm.in Eph.*5:6(p.561).

B. of a spiritual son, *Barn.*1.1; Clem.*str.*1.1(p.3.23; M.8.689A); Thdt.*haer.*proem.(4.280A); etc.

C. *υἱὸς θεοῦ*; **1.** of Israel, Eus.*Ps.*81:6–7(M.23.988B); *υἱοὺς ἔλεγε τοὺς πάλαι λαοὺς ὁ θεός* Ath.*Ar.*1.39(M.26.92C); Juln.Imp.ap.Cyr. *Juln.*9(6².290D); **2.** of Christian believers *ὡς πρέπει υἱοῖς θεοῦ ἀντιστῶμεν Barn.*4.9; *υἱοὶ ὑψίστου πάντες δύνασθαι γενέσθαι κατηξίωνται* Just.*dial.*124.4(M.6.765B); *τίς δὲ υἱ. εἶναι δυνάμενος τοῦ θεοῦ δουλεύειν ἥδεται;* Clem.*prot.*10(p.68.3; M.8.205A); *οἱ τῆς ἀνομίας υἱ. ποτε διὰ τὴν φιλανθρωπίαν τοῦ λόγου νῦν υἱ. γεγόναμεν τοῦ θεοῦ ib.*2 (p.20.14; 97B); *υἱ. θεοῦ καὶ μαθητὴς θεοῦ ὁμοῦ καὶ φίλος καὶ συγγενής* id.*str.*7.16(p.66.17; M.9.529B); *διὰ τὴν ὁμοιότητα υἱοὶ ἐκείνου εἶναι λογισθέντες πάντων δεσπόται ἀποκαταστῆναι δυνήσεσθε Hom.Clem.*10. 6; *οὐ μόνον υἱ. θεοῦ ἀλλὰ καὶ θεοὶ θνητοὶ τὴν φύσιν ἄνδρες ἐκλήθησαν* [i.e. in scripture] Eus.*e.th.*1.20(p.84.23; M.24.872B); *υἱ. δὲ θεοῦ ἔσονται τῷ τῆς υἱοθεσίας πνεύματι κοσμηθέντες ib.*3.15(p.173.5; 1029C); *υἱοὶ θεοῦ κατὰ μετοχὴν τῆς τοῦ μονογενοῦς αὐτοῦ κοινωνίας ἀποτελεσθέντες μετουσίᾳ τῶν τῆς θεότητος αὐτοῦ μαρμαρυγῶν ib.*3.18(p.179. 34; 1041C); *οὐκ ἄρα μισθὸν ἔσχε τὸ λέγεσθαι υἱὸς καὶ θεός, ἀλλὰ μᾶλλον αὐτὸς υἱοποίησεν ἡμᾶς τῷ πατρί, καὶ ἐθεοποίησε τοὺς ἀνθρώπους γενόμενος αὐτὸς ἄνθρωπος* Ath.*Ar.*1.38(M.26.92B); *γινόμεθα καὶ ἡμεῖς υἱ., οὐχ ὡς ἐκεῖνος φύσει καὶ ἀληθείᾳ, ἀλλὰ κατὰ χάριν τοῦ καλέσαντος ib.* 3.19(361C); *ἄνθρωπος...υἱ. θεοῦ γίνεται διὰ τῆς πνευματικῆς γεννήσεως Χριστῷ συναπτόμενος· ὁ δὲ τὸν ἄνθρωπον δι' ἑαυτοῦ θεοῦ υἱὸν ποιῶν αὐτὸς ἄλλου υἱοῦ τοῦ χαριζομένου αὐτῷ τὴν υἱοθεσίαν οὐκ ἐπιδέεται* Gr. Nyss.*Eun.*3(2 p.41.17; M.45.609A); *ἡμεῖς ὡς ἐν αὐτῷ τε καὶ δι' αὐτοῦ υἱ. θεοῦ φυσικῶς τε καὶ κατὰ χάριν, φυσικῶς μὲν ὡς ἐν αὐτῷ τε καὶ μόνῳ, μεθεκτῶς δὲ καὶ κατὰ χάριν ἡμεῖς δι' αὐτοῦ ἐν πνεύματι* Cyr. *Thds.*30(p.61.31; 5².27A); *αὐτὸς οὖν κατὰ φύσιν υἱ. ἐστιν τοῦ θεοῦ, ἡμεῖς δὲ κατὰ χάριν* Justn.*conf.*(p.76.23; M.86.999B); ref. Rom.8:19–21 *κτίσιν καλῶν ἐνταῦθα τοὺς ἀγγέλους, υἱ. δὲ θεοῦ τοὺς ἀνθρώπους* Cosm.Ind.*top.*2(M.88.120B); *ib.*(125B); *υἱοὶ δέ, οἱ μήτε φόβῳ τῶν ἠπειλημένων, μήτε πόθῳ τῶν ἐπηγγελμένων, ἀλλὰ τρόπῳ καὶ ἕξει τῆς πρὸς τὸ καλὸν...τῆς ψυχῆς ῥοπῆς...μηδέποτε τοῦ θεοῦ χωριζόμενοι* Max.*myst.*(M.91.712A); *Χριστιανὸς ὀρθόδοξος καὶ υἱ. τοῦ θεοῦ χάριτι Lit.Jac.*proem.(*NBP* 10² p.39); Gnost., of followers of Prodicus *υἱοὺς μὲν φύσει τοῦ πρώτου θεοῦ λέγοντες αὐτούς* Clem.*str.*3.4(p.209.31; M.8.1136A); Basilidean *υἱ. δέ, φησίν, ἐσμὲν ἡμεῖς οἱ πνευματικοί* Hipp. *haer.*7.25(p.202.26; M.16.3311D); *αὐτοὺς εἶναι υἱ. φασιν, οἱ τούτου χάριν εἰσὶν ἐν κόσμῳ, ἵνα...ἅμα τῇ υἱότητι ἀνέλθωσι πρὸς τὸν ἄνω*

πατέρα, οὗ ἡ πρώτη ἐχώρησεν υἱότης *ib.*10.14(p.276.4; 343oD); οἱ τὴν περὶ διαφόρων φύσεων εἰσάγοντες μυθοποιΐαν καὶ λέγοντες εἶναι φύσει καὶ ἐκ πρώτης κατασκευῆς υἱοὺς θεοῦ, μόνον διὰ τὸ πρὸς θεὸν συγγενὲς δεκτικοὺς τῶν τοῦ θεοῦ ῥημάτων Or.*Jo.*20.33(27; p.370.6; M.14.648B); Manich., *Disp.Phot.*40(M.88.565D); **3.** of heavenly beings: of antichrist appearing ὡς υἱ. θεοῦ *Did.*16.4; of pagan gods υἱ. θεοῦ καλεῖ τοὺς θεούς, ὡς υἱ. ἀνθρώπων τοὺς ἀνθρώπους. καλεῖ δὲ θεούς, οὐχ ὡς ὄντας, ἀλλ' ὡς παρὰ τοῖς ἀπίστοις νομιζομένους Thdt.*Ps.*88:7(1.1232); **4.** ref. Gen.6:2 (reading υἱοὶ θεοῦ instead of ἄγγελοι θεοῦ); interpreted of men, ‡Ath.*Ar.*4.22(p.69.2; M.26.501A); ἔξωθέν γε...αὐτὸς [sc. Julian] προσεγράφθαι διϊσχυρίσατο, οἱ ἄγγελοι τοῦ θεοῦ, καίτοι τῆς...ἀληθεστέρας γραφῆς ἐχούσης, οἱ υἱ. τοῦ θεοῦ, ἱστέον δὲ ὅτι μετά γε τὴν τῶν ἑβδομήκοντα τῆς ἑρμηνείας ἀπόδοσιν, αὐτὸ δὴ τοῦτο διερμηνεύοντες οἱ ἕτεροι, φασὶν ἀντὶ τοῦ, υἱ. τοῦ θεοῦ, οἱ υἱ. τῶν δυναστευόντων ...οἱ υἱ. τοῦ θεοῦ, τοῦτ' ἔστιν οἱ ἐξ αἵματος τοῦ Ἐνώς Cyr.*Juln.*9(6^{2}. 296C); contrast Juln.*ib.*(290D); some maintain allusion is to angels, but angels are never designated sons of God, Chrys.*hom.22.2 in Gen.*(4.195C); interpreted of heavenly beings, †Bas.Anc.*virg.*35(M. 30.740C); v. ἄγγελος; **5.** of second Person of Trin.; **a.** in rel. to Godhead in gen. οὗτος δὲ ὁ υἱ. τοῦ θεοῦ...ὁμολογεῖται ἐν πνεύματι ἁγίῳ ἀπ' οὐρανοῦ καταβάς Arist.*apol.*15.1; δόξαν τῷ πατρὶ τῶν ὅλων διὰ τοῦ ὀνόματος τοῦ υἱ. καὶ τοῦ πνεύματος τοῦ ἁγίου Just.*Iapol.*65.3(M. 6.428A); cf. *per manus ejus...hoc est per filium et spiritum sanctum,* Iren.*haer.*4 proem.4(M.7.975B); υἱ. ἐν πατρί, καὶ πατὴρ ἐν υἱῷ Clem. *paed.*1.5(p.104.14; M.8.277C); υἱὲ καὶ πατήρ, ἓν ἄμφω, κύριε *ib.*3.12 (p.291.1; 680B); οὐ μὴν οὐδὲ ὁ πατὴρ ἄνευ υἱ. ἅμα γὰρ τῷ πατὴρ υἱοῦ πατήρ, υἱὸς δὲ περὶ πατρὸς ἀληθὴς διδάσκαλος. καὶ ἵνα τις πιστεύσῃ τῷ υἱ., γνῶναι δεῖ τὸν πατέρα πρὸς ὃν καὶ ὁ υἱ. αὖθίς τε ἵνα τὸν πατέρα ἐπιγνῶμεν, πιστεῦσαι δεῖ τῷ υἱ., ὅτι ὁ τοῦ θεοῦ υἱ. διδάσκει· ἐκ πίστεως γὰρ εἰς γνῶσιν, διὰ υἱοῦ πατήρ· γνῶσις δὲ υἱοῦ καὶ πατρὸς ἡ...διάληψίς ἐστιν ἀληθείας διὰ τῆς ἀληθείας id.*str.*5.1(p.326.10; M.9.9A); τρίτον μὲν γὰρ εἶναι τὸ ἅγιον πνεῦμα, τὸν υἱ. δὲ δεύτερον *ib.*5.14(p.395.16; 156B); *ib.*7.2(p.7.22; M.9.412B) cit. s. ἐνέργεια; πρόσωπον δὲ πατρὸς ὁ υἱ., δι' οὗ γνωρίζεται ὁ πατήρ id.*exc.Thdot.*10(p.110.5; M.9.661A); Sabellian οὐκ ἄλλο εἶναι πατέρα, ἄλλο δὲ υἱ., ἓν δὲ καὶ τὸ αὐτὸ ὑπάρχειν Hipp. *haer.*9.12(p.248.27; M.16.3383C); ἐλαττόνως δὲ παρὰ τὸν πατέρα ὁ υἱ. φθάνων ἐπὶ μόνα τὰ λογικὰ (δεύτερος γάρ ἐστι τοῦ πατρός)...ὥστε κατὰ τοῦτο μείζων ἡ δύναμις τοῦ πατρὸς παρὰ τὸν υἱ. καὶ τὸ πνεῦμα τὸ ἅγιον, πλείων δὲ ἡ τοῦ υἱ. παρὰ τὸ πνεῦμα Or.*princ.*1.3.5(p.56.3; M.11. 150B); οὗτος δὴ ὁ υἱ. ἐκ θελήματος τοῦ πατρὸς ἐγενήθη...κτίσμα, σοφία *ib.*4.4.1(p.349.11); ὁ μὲν δημιουργὸς τοῦδε τοῦ παντὸς υἱ. ἐστι τοῦ θεοῦ, ὁ δὲ πρῶτος καὶ ἐπὶ πᾶσι θεὸς πατήρ ἐστιν αὐτοῦ id.*Cels.*6.47(p.119.2; M.11.1372C); φαμὲν τὸν υἱ. οὐκ ἰσχυρότερον τοῦ πατρὸς ἀλλ' ὑποδεέστερον *ib.*8.15(p.233.7; 1537D); Sabellian doctrine τὸν υἱ. εἶναι τὸν πατέρα Dion.R.ap.Ath.*decr.*26(p.22.7; M.25.464A); ἀεὶ ὁ θεὸς πατὴρ ἦν καὶ ὁ υἱ. οὐχ ἁπλῶς ἀΐδιός ἐστιν, ἀλλὰ τοῦ πατρὸς ἀϊδίου ὄντος, ἀΐδιος ἂν εἴη καὶ ὁ υἱ. Dion.Al.ap.Ath.*Dion.*16(p.58.4; M.25.504B); πατέρα εἶπον, καὶ πρὶν εἰσάγω τὸν υἱ. ἐσήμανα καὶ τοῦτον ἐν τῷ πατρί Dion. Al.*ib.*17(p.58.16; 504C); ὁ δὲ ἄγγελος τοῦ πατρὸς ὁ υἱ. ἐστιν, αὐτὸς κύριος καὶ θεὸς ὤν Hymen.*ep.*5(p.326.24); ἔστι δὲ ὁ υἱ., ἡ πανταδύναμος καὶ κραταιὰ χεὶρ τοῦ πατρός Meth.*creat.*9(p.498.28; M.18.341A); ἄλλο μέν τι...τὸν υἱ. εἶναι, ἄλλο δὲ τὴν εἰκόνα αὐτοῦ· ὁ μὲν γὰρ υἱ., τὰ θεῖα τῆς πατρῴας ἀρετῆς γνωρίσματα φέρων, εἰκὼν ἐστι τοῦ πατρός, ἐπειδὴ καὶ ὅμοιοι ἐξ ὁμοίων γεννώμενοι, εἰκόνες οἱ τικτόμενοι φαίνονται τῶν γεννητόρων ἀληθεῖς. ὁ δὲ ἄνθρωπος, ὃν ἐφόρησεν, εἰκὼν ἐστι τοῦ υἱ. Eust.*fr.in Pr.8:22*(M.18.677D); ἡ πρὸ τῶν γενητῶν θεία καὶ παν-άρετος οὐσία, ἡ νοερὰ καὶ πρωτότοκος τῆς ἀγενήτου φύσεως εἰκών, ὁ γνήσιος καὶ μονογενὴς τοῦ τῶν ὅλων θεοῦ υἱ. Eus.*d.e.*5.1(p.210.32; M. 22.349C); in Marcellus' theology πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέν με, δηλονότι τὴν σάρκα, διὰ τὴν πρὸς τὸν ἀληθῶς υἱ. αὐτοῦ τὸν λόγον κοινωνίαν Marcell.*fr.*17 ap.Eus.*Marcell.*2.3(p.47.3; M.24.804A); εἰ τοίνυν τὸν πατέρα χωρίζοντα ἑαυτὸν τοῦ υἱ. πρὸς τὸν Μωσέα ταῦτ' εἰρηκέναι φήσει, οὐκ εἶναι τὸν υἱ. θεὸν ὁμολογήσει. πῶς γὰρ ἐγχωρεῖ τὸν λέγοντα, ἐγώ εἰμι ὁ ὤν, μὴ συνομολογεῖν ὅτι κατὰ ἀντιδιαστολὴν τοῦ μὴ ὄντος ὁ ὢν ἑαυτὸν εἶναί φησιν; εἰ δὲ τὸν υἱ. ὑποστάσει διῃρημένον τοῦτο φάσκοι λέγειν τό, ἐγώ εἰμι ὁ ὤν, ταὐτὸν αὖθις περὶ τοῦ πατρὸς λέγειν νομισθήσεται *ib.*58 ap.eund.*e.th.*2.19(p.123.14; M.24.944A); εἷς θεὸς καὶ ὁ τούτου μονογενὴς υἱ. λόγος, ὁ ἀεὶ συνυπάρχων τῷ πατρὶ...οὗτος υἱ., οὗτος δύναμις, οὗτος σοφία...ἀδιαίρετον εἶναι τὴν θεότητα τοῦ πατρὸς καὶ τοῦ υἱ. παρὰ τῶν θείων μεμαθήκαμεν γραφῶν. εἰ γάρ τις χωρίζει τὸν υἱ., τουτέστι τὸν λόγον, τοῦ παντοκράτορος θεοῦ, ἀνάγκη αὐτὸν ἢ δύο θεοὺς εἶναι νομίζειν...ἢ τὸν λόγον μὴ εἶναι θεὸν ὁμολογεῖν...ἐγὼ δὲ ...μεμάθηκα ὅτι ἀδιαίρετος καὶ ἀχώριστός ἐστιν, ᾗ δύναμις, τοῦ πατρὸς ὁ υἱ. Marcell.*ep.*ap.Epiph.*haer.*72.2-3(p.257.21ff.; M.42.385Bff.); Sabellian view ascribed by Eus. to Marcell. τὴν ὑπόστασιν ἀναιρεῖν τοῦ υἱ., ἕνα δὲ θεὸν ὁρίζεσθαι, καὶ τοῦτον ἑαυτοῦ πατέρα καὶ αὖ πάλιν υἱ. ἀποκαλεῖν ἑαυτοῦ...τόν τε λόγον υἱ. εἶναι αὐτοῦ, οὐκ ἀληθῶς ὄντα υἱ. ἐν οὐσίας ὑποστάσει, κυρίως δὲ...ὄντα λόγον Eus.*e.th.*1.1(p.63.1; 829C); τὸν αὐτὸν εἶναι πατέρα καὶ υἱ. *ib.*1.3(p.64.1; 832D); Σαβέλλιος...τὸν πατέρα...υἱ. λέγειν ἐτόλμα *ib.*1.14(p.74.23; 853B); in Eusebius' view θεὸν πατέρα εἰδέναι μονογενοῦς υἱ. ... ἀληθῶς υἱ. ὄντος καὶ ζῶντος καὶ ὑφεστῶτος id.*Marcell.*1.1(p.4.7; 717B); τί οὖν ἐκώλυεν καὶ πρὸ τῆς τοῦ κόσμου συστάσεως υἱ. θεοῦ ζῶντα αὐτὸν ὁμολογεῖν; *ib.*2.4(p.57.11; 821A); εἷς δὲ καὶ μονογενὴς τοῦ θεοῦ υἱ., εἰκὼν τῆς πατρικῆς θεότητος, καὶ διὰ τοῦτο θεός id.*e.th.*1.2(p.63.29; 832C); ἐξ αὐτῆς τῆς προσηγορίας ὁ υἱ. τὴν πρὸς τὸν πατέρα φυσικὴν σχέσιν παρίστησιν *ib.*1.10(p.68.31; 841C); ὁ δὲ μονογενὴς υἱ. ὁρατὸς γενόμενος...ἕτερος ὢν δηλαδὴ παρὰ τὸν ἀόρατον θεόν *ib.*1.20(p.83.25; 869C); υἱόν, ὡς ἂν εἰκόνα τοῦ πατρὸς ἐξ αὐτοῦ φύντα πάντῃ τε καὶ κατὰ πάντα ὁμοιότατον ὄντα τῷ γεγεννηκότι *ib.*2.14(p.115.20; 928D); ὁ υἱ. ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι λέγεται καὶ τὸ ἅγιον πνεῦμα ὁμοίως *ib.*3.4(p.159.4; 1005A); ἓν εἶσιν ὁ πατὴρ καὶ ὁ υἱ. κατὰ τὴν κοινωνίαν τῆς δόξης *ib.*3.19(p.180.30; 1044C); in Arian doctrine ξένος τοῦ υἱ. κατ' οὐσίαν ὁ πατήρ, ὅτι ἄναρχος ὑπάρχει... αὐτίκα γοῦν υἱ. μὴ ὄντος ὁ πατὴρ θεός ἐστι Ar.*Thal.fr.*2 ap.Ath.*syn.*15 (p.242.27; M.26.708A); οὐκ ἀεὶ ὁ θεὸς πατὴρ ἦν, ἀλλ' ὕστερον γέγονεν· οὐκ ἀεὶ ἦν ὁ υἱ., οὐ γὰρ ἦν πρὶν γεννηθῇ...οὐκ οἶδε τὸν πατέρα ἀκριβῶς ὁ υἱ. ... χάριτι λέγεται υἱ. καὶ δύναμις id.*fr.*3 ap.Ath.*Ar.*1.9(M.26. 29B); ἦν ποτε ὅτε οὐκ ἦν ὁ υἱ. καὶ...ἐκ τοῦ μὴ ὄντος ὁ υἱ. ἐστι id.ap. Ursac.et Valent.ap.Ath.*apol.sec.*58(p.138.15; M.25.353C); οὐκ ἦν ὁ υἱ. πρὶν γεννηθῆναι id.ap.Ath.*decr.*3(p.3.19; M.25.'429'(421)A); id.*ib.* 15(p.13.13; '449'(441)C); ἄλλην εἶναι τὴν τοῦ λόγου οὐσίαν, καὶ ἄλλο τὸ ἐκ τοῦ πατρὸς ἐν αὐτῷ φῶς, ἵν' ᾖ τὸ μὲν ἐν τῷ υἱ. φῶς ἓν πρὸς τὸν πατέρα, αὐτὸς δὲ ξένος κατ' οὐσίαν ὡς κτίσμα id.*ib.*24(p.20.19; 460A); ἐκ μέρους καὶ οὐ πλήρης γινώσκει ὁ υἱ. τὸν πατέρα id.ap.eund.*ep.Aeg. Lib.*16(M.25.576B); ἀμέτοχον κατὰ πάντα τοῦ πατρὸς τὸν υἱ. id.ap. eund.*Ar.*1.6(24B); τί μέμφεσθε Ἀλεξάνδρῳ...λέγοντι ἐκ τοῦ πατρὸς τὸν υἱ.;...λεχθείη ἂν καὶ ὁ υἱ. ἐκ τοῦ θεοῦ, οὕτως ὥσπερ καὶ τὰ πάντα λέγεται ἐκ τοῦ θεοῦ Geo.Laod.ap.Ath.*syn.*17(p.245.10; M.26.712C); κἂν πατέρα μόνον ὀνομάζωμεν, ἔχομεν τῷ ὀνόματι τοῦ πατρὸς συνυπακουομένην τὴν ἔννοιαν τοῦ υἱ. (πατὴρ γὰρ υἱοῦ λέγεται), κἂν τε υἱ. μόνον ὀνομάσωμεν, ἔχομεν τὴν ἔννοιαν τοῦ πατρός, ὅτι υἱ. πατρὸς λέγεται id.*ep. dogm.*ap.Epiph.*haer.*73.19(p.292.7; M.42.437C); in teaching of Ath. τὸν λόγον...ἀθάνατον ὄντα καὶ τοῦ πατρὸς υἱ. Ath.*inc.*9.1(M.25.112A); μήτε κτίσμα, ἢ ποίημα, μήτε τῶν γενητῶν ἐστιν ὁ...υἱ., ἀλλὰ γέννημα ἐκ τῆς οὐσίας τοῦ πατρός id.*decr.*3(p.3.11; '428'(420)D); εἰ τοίνυν υἱ., οὐ κτίσμα, εἰ δὲ κτίσμα, οὐχ υἱ. ... καὶ οὐκ ἂν εἴη αὐτὸς υἱ. καὶ κτίσμα, ἵνα μὴ καὶ ἐκ τοῦ θεοῦ καὶ ἔξωθεν τοῦ θεοῦ ἡ οὐσία αὐτοῦ νομίζηται *ib.*13(p.12.1; '448'(440)A); ἐκ τοῦ θεοῦ τὰ πάντα...ἀλλ' ἄλλως ἢ ὡς ἔστιν ὁ υἱ. *ib.*19(p.16.9; 449A); κτίσματα...οὐχ ὡς ὁ υἱ. εἶσιν ἐκ τοῦ θεοῦ· οὐ γὰρ γεννήματα, ἀλλὰ ποιήματά εἰσι τὴν φύσιν id.*syn.*35(p.262. 20; M.26.756A); ἐκ τῆς οὐσίας τὸν υἱ. ἐκ μὲν γὰρ τούτου τὸ γνήσιον ἀληθῶς υἱοῦ πρὸς τὸν πατέρα γνωρίζεται *ib.*36(p.263.3; 756C); τοῦ υἱοῦ μετέχει τὰ πάντα κατὰ τὴν...χάριν· καὶ φανερὸν...γίνεται, ὅτι αὐτὸς μὲν ὁ υἱ. οὐδενὸς μετέχει, τὸ δὲ ἐκ τοῦ πατρὸς μετεχόμενον, τοῦτό ἐστιν ὁ υἱ. id.*Ar.*1.16(M.26.45A); ἀπαθῶς καὶ ἀμερίστως τοῦ υἱοῦ πατήρ ἐστι *ib.*1.28(69A); οὐδὲν γὰρ πλέον ἡμῖν κέρδος...ἦν, εἰ μήτε ἀληθινὸς καὶ φύσει υἱ. τοῦ θεοῦ ὁ λόγος, μήτε ἀληθινὴ σὰρξ ἦν, ἣν προσελάβετο *ib.*2.70(296C); ὁ μὲν υἱ. ἐν τῷ πατρί ἐστιν, ὡς λόγος ἴδιος καὶ ἀπαύγασμα αὐτοῦ *ib.*3.24(373B); ὁ...υἱ. ... προκόπτειν οὐκ εἶχε, τέλειος ὢν ἐν τῷ πατρί *ib.*3.52(432C); ἐπεὶ φύσει καὶ μὴ ἐκ βουλήσεώς ἐστιν ὁ υἱ., ἦδη καὶ ἀθέλητός ἐστι τῷ πατρί, καὶ μὴ βουλομένου τοῦ πατρός ἐστιν ὁ υἱ.; οὐμενοῦν· ἀλλὰ καὶ θελόμενός ἐστιν ὁ υἱ. παρὰ τοῦ πατρός *ib.*3.66(461C); τὸ πατὴρ ἀεὶ πατήρ, καὶ τὸ υἱὸς ἀεὶ υἱός id.*ep.Serap.*1.16(M.26.569B); μὴ κτίστην εἶναι τὴν οὐσίαν τοῦ υἱ., ἀλλ' ὁμοούσιον τῷ πατρί *ib.*2.5(616C); μένων οὖν ἐν τῷ εἶναι υἱ., πάντα ἐστὶν ὅσα ἐστὶν ὁ πατήρ. ... ἐκ τῆς κατὰ φύσιν κοινωνίας ἔχοντος τοῦ υἱ. τῆς πατρικῆς θεότητος τὸ ἀξίωμα...ἐξ αὐτῆς τοίνυν τῆς υἱοῦ προσηγορίας διδασκόμεθα, ὅτι τῆς φύσεώς ἐστι κοινωνὸς...ἐκ τῆς οὐσίας ἐκλάμψας ἀδιαστάτως Bas.*hom.*15.2(2.132A; M.31.468A); ἀληθῶς εἶναι τὸν μονογενῆ υἱ., οὐ κατὰ θέσιν εἰσποιηθέντα ψευδωνύμῳ πατρί, ἀλλὰ κατὰ φύσιν γεννητῶς ἐκ τοῦ ὄντος ὄντα Gr.Nyss.*Eun.*4(2 p.79.14; M. 45.653B); οὐκ ἄν τις...μίαν ἐνέργειαν...διδαχθεὶς τοῦ υἱοῦ καὶ τοῦ πνεύματος διαφοράν τινα φύσεως ὑπονοεῖ id.*or.dom.*3(p.62.11; M.44. 1160A); κύριος...τῶν ὅλων ἐστὶ κατὰ φύσιν ὁ υἱ.· καὶ συγκατάρχει παντὸς γενητοῦ τῷ...πατρί Cyr.*Is.*1.5(2.145A); υἱ. καλεῖ τοῦ πατρὸς μονογενῆ, τὸ ὁμοούσιον τῇ δόξῃ παραστῆσαι θελήσασα [sc. ἡ γραφή]... βουλόμενος ὁ λόγος μίαν οὐσίαν δεῖξαι πατρὸς καὶ υἱ., λέγει υἱ. τοῦ πατρὸς τὸν ἐξ αὐτοῦ γεννηθέντα μονογενῆ· εἶτα ἐπειδὴ γέννησις καὶ υἱὸς ἐφ' ἡμῖν ἔμφασιν παρέχει τοῦ...πάθους, τοῦτον τὸν υἱ. προσαγορεύει καὶ λόγον, τὸ ἀπαθὲς τῆς γεννήσεως...δηλῶν Thdot.Anc.*hom.*2.6(p.76. 32; M.77.1376C); υἱ. δὲ κυρίως εἴρηται, ὡς ἂν εἴποις οἷος. οἷος γὰρ ὁ πατὴρ τὴν οὐσίαν, τοιοῦτος ὁ μονογενὴς Anast.S.*hod.*2(M.89.56A);

μετὰ σὲ οὐκ ἔσται ἄλλος υἱ. τῷ πατρὶ ὁμοούσιος καὶ ὁμότιμος ‡Meth. *Sym.et Ann.*6(M.18.361B); **b.** title applied in virtue of eternal sonship, not of Inc. τῷ υἱ. ἀνθρώπου καὶ υἱ. θεοῦ Ign.*Eph.*20.2; οὐχὶ υἱ. ἀνθρώπου ἀλλὰ υἱ. τοῦ θεοῦ, τύπῳ δὲ ἐν σαρκὶ φανερωθείς *Barn.*12.10; ὡς βασιλεὺς πέμπων υἱὸν βασιλέα ἔπεμψεν *Diogn.*7.4; ὁ...κυρίως υἱ., ὁ λόγος πρὸ τῶν ποιημάτων...γεννώμενος,...Χριστὸς μὲν κατὰ τὸ κεχρῖσθαι Just.*2apol.*6.3(M.6.453A); υἱ. γεννητόν, μονογενῆ υἱ. ... σοφίαν καὶ λόγον καὶ δύναμιν θεοῦ, πρὸ αἰώνων ὄντα οὐ προγνώσει ἀλλ' οὐσίᾳ καὶ ὑποστάσει θεόν, θεοῦ υἱόν Hymen.*ep.*2(p.324.21); ἦν οὐχ ὡς ψιλὸς θεοῦ λόγος, ἀνυπόστατος...ἀλλ' ἦν καὶ προῆν ὡς μονογενὴς υἱ. Eus.*Marcell.*1.1(p.7.34; M.24.728A); ὁ δὲ μονογενὴς υἱ. ... προϋπάρχων ἦν οὐκ ἐν τῇ διανοίᾳ τοῦ πατρός...ἀλλ' ἐν τοῖς κόλποις αὐτοῦ id. *e.th.*1.20(p.83.25; M.24.869C); *ib.*(p.84.19; 872B); εἰ, ὅτε γέγονεν ἄνθρωπος, τότε υἱ. ... ἐλέχθη, πρὸ δὲ τοῦ γένηται ἄνθρωπος, υἱοὺς ἔλεγε τοὺς πάλαι λαοὺς ὁ θεός...δῆλόν ἐστιν, ὡς μετ' αὐτοὺς καὶ υἱ. ... ἐλέχθη. πῶς οὖν πάντα δι' αὐτοῦ; Ath.*Ar.*1.39(M.26.92C); ‡Ath.*Ar.* 4.23(p.69.20ff.; M.26.501C); ὁ ἄνω υἱ., κάτω παιδίον Acac.Mel.*hom.* (p.91.8; M.77.1469B); but ἦν αὐτὸς ὁ λόγος, ἐκ πνεύματος ἁγίου καὶ παρθένου ἕνα ⟨τέλειον⟩ υἱ. θεοῦ ἀπεργασάμενος...ὁ ἐκ πνεύματος καὶ παρθένου τέλειος υἱ. θεοῦ ἀποδεδειγμένος Hipp.*Noët.*4(p.241.27ff.; M. 10.809A); Sabellian doctrine ascribed to Callistus τὸν λόγον, ὃν υἱ. προσηγόρευε διὰ τὸ μέλλειν ἄνθρωπον γενέσθαι· καὶ τὸ καινὸν [MS κοινὸν] ὄνομα τῆς εἰς ἀνθρώπους φιλοσοφίας ἀνελάμβανεν υἱ. καλούμενος· οὔτε γὰρ ἄσαρκος καὶ καθ' ἑαυτὸν ὁ λόγος τέλειος ἦν υἱ., καίτοι τέλειος ⟨λόγος⟩ ὢν μονογενής, οὔθ' ἡ σὰρξ καθ' ἑαυτὴν δίχα τοῦ λόγου ὑποστᾶναι ἠδύνατο...οὕτως εἷς υἱ. τέλειος θεοῦ ἐφανερώθη *ib.*15(p.259. 16; 824B); τὸ μὲν γὰρ βλεπόμενον, ὅπερ ἐστὶν ἄνθρωπος, τοῦτο εἶναι τὸν υἱ., τὸ δὲ ἐν τῷ υἱ. χωρηθὲν πνεῦμα τοῦτο εἶναι τὸν πατέρα id.*haer.*9. 12(p.249.3; M.16.3383C); in teaching of Paul. Sam.: τὸν μὲν υἱ. εἶναι Χριστόν, τὸν δὲ λόγον ἄλλον εἶναι Paul.Sam.*fr.*E 1(p.338.10); φησὶν μὴ δύο ὑφίστασθαι υἱ.· εἰ δὲ υἱ. ὁ...Χριστὸς τοῦ θεοῦ, υἱ. δὲ καὶ ἡ σοφία, καὶ ἄλλο μὲν ἡ σοφία, ἄλλο δὲ...Χριστός, δύο ὑφίστανται υἱ. id.*fr.*B 10 (p.333.1ff.); οὐ δίδως οὐσιῶσθαι ἐν τῷ ὅλῳ σωτῆρι τὸν υἱ. τὸν μονογενῆ, τὸν...ἀιδίως ὑπάρχοντα Malch.*fr.*(p.337.10); ὁ Σαμοσατεὺς ἐφρόνει μὴ εἶναι πρὸ Μαρίας τὸν υἱ. Ath.*syn.*45(p.270.20; M.26.773B); in Marcellus' teaching οὐκ ἄν τις εἴποι υἱ. εἶναι τὸν σημαντικὸν καὶ ἐνεργητικὸν λόγον...τὸν μὴ ὑφεστῶτα λόγον τὴν σάρκα ἀνειληφέναι... φησιν καὶ τότε...γενέσθαι...υἱ. δεδοξασμένον...μὴ ὄντα πρότερον Eus. *Marcell.*2.1(p.32.3; M.24.777A); τὸ γὰρ μὴ λόγον εἶναι φῆσαι τὸν ἐξ αὐτοῦ προελθόντα καὶ τοῦτον εἶναι τὸν τῆς γεννήσεως ἀληθῆ τρόπον, ἀλλ' ἁπλῶς υἱ. μόνον, ἔμφασίν τινα τοῖς ἀκούουσιν ἀνθρωπίνης ὄψεως παρέχειν εἰωθεν Marcell.*fr.*31 *ib.*2.2(p.36.7; 785A); οὕτω δὴ τὸν υἱ. τοῦ θεοῦ ἀρνούμενος, τὸν ἐν τῷ θεῷ λόγον ποτὲ μὲν ἔνδον εἶναι ἐν τῷ θεῷ ἔφασκεν, ποτὲ δὲ προϊέναι τοῦ θεοῦ, καὶ ἄλλοτε πάλιν ἀναδραμεῖσθαι εἰς τὸν θεὸν καὶ ἔσεσθαι ἐν αὐτῷ Eus.*ib.*(p.107.8; 913C); **c.** inapplicable to H. Ghost, sonship being a peculiar relationship, not generic, hence Pneumatomachan argument refuted εἰ...ἐκ τοῦ πατρὸς ἐκπορεύεται, οὐκοῦν υἱ. ἐστι καὶ αὐτό, καὶ δύο ἀδελφοί εἰσιν αὐτό τε καὶ ὁ λόγος· καὶ εἰ ἀδελφός ἐστι, πῶς μονογενὴς ὁ λόγος; Ath.*ep. Serap.*1.15(M.26.568A); μανία...λέγειν ἐπὶ μὲν υἱοῦ ἀδελφόν, ἐπὶ δὲ πατρὸς τὸ πάππου ὄνομα *ib.*1.16(569B); *ib.*1.25(588C); *ib.*4.3(641A); ὡς γὰρ οὐκ ἔξεστιν ἄλλως εἰπεῖν περὶ αὐτοῦ, ἢ ὅτι πατήρ, οὕτως ἀσεβὲς ἐρωτᾶν, εἰ υἱ. ἐστι τὸ πνεῦμα, ἢ τὸ πνεῦμα υἱ. διὰ τοῦτο Σαβέλλιος ἀλλότριος τῆς ἐκκλησίας ἐκρίθη, τολμήσας εἰπεῖν ἐπὶ τοῦ πατρὸς τὸ υἱός, καὶ ἐπὶ τοῦ υἱοῦ τὸ τοῦ πατρὸς ὄνομα *ib.*4.5(647C); μήτε υἱὸν τὸ πνεῦμα, εἷς γὰρ ὁ μονογενής...κοινὸν γὰρ πατρὶ μὲν καὶ υἱ. καὶ ἁγίῳ πνεύματι, τὸ μὴ γεγονέναι, καὶ ἡ θεότης· υἱ. δὲ καὶ ἁγίῳ πνεύματι, τὸ ἐκ τοῦ πατρός. ἴδιον δὲ πατρὸς μέν, ἀγεννησία· υἱοῦ δέ, ἡ γέννησις· πνεύματος δέ, ἡ ἔκπεμψις Gr.Naz.*or.*25.16(M.35.1221B); Didym.(‡Bas.) *Eun.*5(1.305B; M.29.732C).

D. υἱὸς ἀνθρώπου; **1.** in Gnost. usage, v. ἄνθρωπος; **2.** of Christ; **a.** as Son of Man coming in judgement (cf. Dan.7:12ff., etc.) ὡς υἱ. γὰρ ἀνθρώπου ἐπάνω νεφελῶν ἐλεύσεται Just.*dial.*31.1(M.6.540B); υἱ. ἀνθρώπου καλεῖται, οὐχ ὡς ἕκαστος ἡμῶν ἐκ γῆς τὴν γέννησιν ἐσχηκώς, ἀλλ' ἐρχόμενος ἐπὶ τῶν νεφελῶν κρῖναι ζῶντας καὶ νεκρούς Cyr.H. *catech.*10.4; **b.** usu. of Christ as man or Christ's humanity; **i.** in gen. Χριστῷ...τῷ υἱ. ἀνθρώπου καὶ υἱ. θεοῦ Ign.*Eph.*20.2; *Barn.*12.10; τὸ γὰρ ὡς υἱὸν ἀνθρώπου εἰπεῖν, φαινόμενον μὲν καὶ γενόμενον ἄνθρωπον μηνύει, οὐκ ἐξ ἀνθρωπίνου δὲ σπέρματος ὑπάρχοντα δηλοῖ Just.*dial.*76.1(M.6.652C); cf. *propterhoc et dominus semetipsum filium hominis confitetur, principalem hominem illum, ex quo ea quae secundum mulierem est plasmatio facta est, in semetipsum recapitulans,* Iren.*haer.*5.21.1(M.7.1179B); λόγος γὰρ ἦν, πνεῦμα ἦν, δύναμις ἦν· ὃς τὸ καινὸν ὄνομα καὶ παρὰ ἀνθρώποις χωρητὸν ἀνελάμβανεν εἰς ἑαυτόν ,οὕτω καλούμενος ἀπ' ἀρχῆς υἱ. ἀνθρώπου διὰ τὸ μέλλον καίτοι μήπω ὢν ἄνθρωπος Hipp.*Noët.*4(p.243.10; M.10.809B); λόγον... υἱ. ἀνθρώπου διὰ τὴν ὑστάτην ἐνανθρώπησιν Eus.*h.e.*1.2.26(M.20. 68A); ref. Marcellan doctrine of end of Christ's kingdom τῆς δὲ σαρκὸς...ἐρήμου καταλειφθησομένης ὑπὸ τοῦ λόγου, ὡς μήτε τὸν υἱ. τοῦ θεοῦ τότε ὑφεστάναι, μήτε τὸν υἱ. τοῦ ἀνθρώπου ὃν ἀνείληφεν id. *Marcell.*2.1(p.32.14; M.24.777B); οὐ τὴν οὐσίαν τῶν ἀνθρώπων δηλοῖ τὸ υἱός, ἀλλὰ τὴν ἐξ ἀνθρώπων γέννησιν Adam.*dial.*5.4(p.182.10; M.11. 1837B); λέγω, υἱ. ἀνθρώπου, τὸ κατὰ σάρκα καὶ ἀνθρώπινον αὐτοῦ δείκνυσιν Ath.*ep.Serap.*4.20(M.26.669A); ἡ δὲ κένωσις οὐκ ἄνθρωπον, ἀλλὰ υἱ. ἀνθρώπου τὸν κενώσαντα ἑαυτὸν ἀπέφηνε κατὰ τὴν περιβολήν, οὐ κατὰ μεταβολήν Apoll.*fr.*124(p.237.31) ap.Thdt.*eran.*1(4.70); υἱ. δὲ ἀνθρώπου, καὶ διὰ τὸν Ἀδάμ, καὶ διὰ τὴν παρθένον, ἐξ ὧν ἐγένετο Gr.Naz.*or.*30.21(p.142.10; M.36.132B); υἱ. δὲ ἀνθρώπου ἐνταῦθα οὐ τὴν σάρκα ἐκάλεσεν, ἀλλ' ἀπὸ τῆς ἐλάττονος οὐσίας ὅλον ἑαυτὸν...ὠνόμασε Chrys.*hom.27.1 in Jo.*(8.154D); **ii.** υἱ. ἀνθρώπου or ἄνθρωπος said to be 'son by grace' (v. ἄνθρωπος), cf. οὐχ υἱὸν θεοῦ ἑαυτὸν ὀνομάζει, ἀλλὰ πανταχοῦ υἱ. ἀνθρώπου ἑαυτὸν λέγει, ἵνα διὰ τῆς τοιαύτης ὁμολογίας θέσει τὸν ἄνθρωπον διὰ τὴν πρὸς αὐτὸν κοινωνίαν υἱὸν θεοῦ γενέσθαι παρασκευάσῃ καὶ μετὰ τὸ τέλος τῆς πράξεως αὖθις, ὡς λόγος, ἑνωθῇ τῷ θεῷ Marcell.*fr.*34 ap.Eus.*Marcell.*2.2(p.42.33; M.24.796B); ταύτην [sc. τὴν σάρκα] γὰρ δούλου μορφὴν καὶ υἱ. ἀνθρώπου καλεῖν δεδίδακται Eus.*e.th.*1.2(p.63.19; M.24.832B); εἷς θεὸς ὁ πατήρ,...καὶ εἷς κύριος... Χριστός,...ὁ προὼν τοῦ θεοῦ μονογενὴς υἱ., καὶ τρίτος ὁ κατὰ σάρκα υἱ. ἀνθρώπου, ὃν δι' ἡμᾶς ἀνείληφεν ὁ υἱ. τοῦ θεοῦ *ib.*1.6(p.65.6; 836A); χάριτι υἱ. ὁ ἐκ Μαρίας ἄνθρωπος, φύσει δὲ ὁ θεὸς λόγος· τὸ μὲν χάριτι καὶ οὐ φύσει, τὸ δὲ φύσει καὶ οὐ χάριτι· ἀρκέσει τῷ ἐξ ἡμῶν σώματι, τὸ τῆς κατὰ χάριν υἱότητος...οὐδὲ αὐτὸς ὁ θεὸς λόγος βούλεται ἑαυτὸν τοῦ Δαβὶδ εἶναι υἱ., ἀλλὰ κύριον· τὸ δὲ σῶμα καλεῖσθαι τοῦ Δαβὶδ υἱ. ... οὐκ ἐφθόνησεν Diod.*synous.*1(M.33.1560C); cf.Thdr.Mops. *fr.inc.*12.1 (p.303.3; M.66.984D); *ib.*12.2(p.303.17; 985B); *ib.*12.8(p.306.2; 988A); ὁ μὲν γὰρ μονογενὴς...καθ' ἑαυτὸν υἱ. τοῦ θεοῦ ἐστι...ὃν δὲ ἔλαβεν ἄνθρωπον, οὐ φύσει θεὸς ὢν διὰ τὸν ἀναλαβόντα αὐτὸν ἀληθῶς θεοῦ υἱ. ὁμωνύμως αὐτῷ χρηματίζει Nest.*fr.*B 5(p.217.21)ap.Cyr.*Thds.*6(p.46. 4; 5^2.5D); cf.id.*fr.*C 10(p.269.17); *ib.*(p.275.6); doctrine attacked οὔτε γὰρ οἷόν τε ἦν τὸ ὅλον υἱ. ἀνθρώπου καλεῖσθαι καταβεβηκότα ἐξ οὐρανοῦ καὶ υἱ. θεοῦ γεννηθέντα ἐκ γυναικός, εἰ δύο φύσεων διαίρεσιν ἐπιδέχεται· ἀλλὰ τὸ μὲν καταβεβηκὸς...ἐκαλεῖτο ἂν υἱ. θεοῦ καὶ οὐχ υἱ. ἀνθρώπου, τὸ δὲ γεννηθὲν ἐκ γυναικὸς ἐκαλεῖτο ἂν υἱ. ἀνθρώπου καὶ οὐχ υἱ. θεοῦ· καὶ τοῦτο ἔπεται τῇ Παυλιανικῇ διαιρέσει Apoll.*ep.Dion.*4 (p.258.5; M.*PL.*8.929C); οὐδὲ δύο υἱ., ἄλλον μὲν υἱ. θεοῦ ἀληθινὸν καὶ προσκυνούμενον, ἄλλον δὲ ἐκ Μαρίας ἄνθρωπον μὴ προσκυνούμενον, κατὰ χάριν υἱ. θεοῦ γενόμενον,...ἀλλὰ τὸν ἐκ θεοῦ...ἕνα υἱὸν θεοῦ, καὶ τὸν αὐτὸν καὶ οὐκ ἄλλον καὶ ἐκ Μαρίας γεγεννῆσθαι κατὰ σάρκα id.*ep. Jov.*1(p.251.3; M.28.28A); Cyr.*ep.*4.6(p.28.6; 5^2.24C); *ib.*17.4(p.35.27; 5^2.70C); ὡς ἑνὶ Χριστῷ καὶ υἱ. τὰς ὑπὲρ ἀνθρώπου φύσιν προσνεμοῦμεν φωνάς· οἱ δὲ διϊστάντες εἰς δύο πρόσωπα δύο που πάντως ἐπινοοῦσιν υἱούς id.*expl.xii cap.*14(p.20.7; 6^1.150E); συνκοφαντεῖς τοῦ λόγου τὴν κατὰ σάρκα γέννησιν, δύο πρεσβεύων υἱ. id.*Nest.*1.1(p.18.22; 6^1.10A); *ib.*2.8(p.46.27; 51C); id.*ep.*39.5(p.17.14; 5^2.106B); cf. *Symb.Chalc.* (p.129.16; H.2.456B); cf.Justn.*conf.anath.*3; but charge of teaching two sons rejected by Antiochenes οὐκ ἤδη δύο φαμὲν τοὺς υἱ., εἷς δὲ υἱ. ὁμολογεῖται δικαίως· ἐπείπερ ἡ τῶν φύσεων διαίρεσις ἀναγκαίως ὀφείλει διαμένειν, καὶ ἡ τοῦ προσώπου ἕνωσις ἀδιασπάστως φυλάττεσθαι Thdr.Mops. *fr.inc.*12.2(p.304.1; M.66.985B); Nest.*fr.*C 10(p.275.5)ap. Cyr.*Nest.*2.7(p.44.11; 6^1.47E); ὑπείληφα δυσσεβεῖς...τοὺς τὸν...υἱ. τοῦ θεοῦ...τὸν ἐνανθρωπήσαντα θεὸν λόγον, εἰς δύο μερίζειν ἐπιχειροῦντας υἱ. εἴπερ ἄρα τινές εἰσιν· ἐγὼ γὰρ οὐκ οἶμαι· ἀλλὰ ταύτην ἀεὶ τὴν συκοφαντίαν...οἱ τῆς Ἀρείου καὶ Εὐνομίου, καὶ μέντοι καὶ Ἀπολιναρίου συμμορίας ἀναίδην ἐξύφηναν Thdt.*ep.*143(4.1238).

E. υἱ. μονογενής as Valent. aeon, Iren.*haer.*1.8.5(M.7.532B).

F. (Manich.) of son of ἀγαθός (or ζῶν) πατήρ: τὸν υἱ. αὐτοῦ ἀπέστειλεν...ἐκ τῶν κόλπων εἰς τὴν καρδίαν τῆς γῆς Hegem.*Arch.*8 (p.11.12; M.10.1437C); ἔπεμψε τὸν υἱ. αὐτοῦ τὸν ἠγαπημένον εἰς σωτηρίαν τῆς ψυχῆς *ib.*(p.12.9; 1440A).

***υἱότης**, ἡ, *sonship*; **1.** of Son τὴν υἱ. τοῦ σωτῆρος ἡμῶν, οὐδεμίαν ἔχουσαν κοινωνίαν πρὸς τὴν τῶν λοιπῶν υἱ. Alex.Al.*ep.Alex.*7(p.24.7; M.18.557C); φωνὴ πατρικὴ...ἐμαρτύρει...τὴν υἱ. Eus.*fr.Lc.*9:34(M.24. 549C); id.*e.th.*1.10(p.69.3; M.24.841D); κοινὴ μὲν ἡ θεότης· ἰδιώματα δέ τινα πατρότης καὶ υἱ. Bas.*Eun.*2.28(1.265C; M.29.637B); ἵνα καὶ τοῦτο θεῖκὸν ἔχωσι, τὸ μοναδικόν, ὁ μὲν [sc. υἱός] τῆς υἱ., τὸ δὲ [sc. πνεῦμα] τῆς προόδου, καὶ οὐχ υἱότητος Gr.Naz.*or.*25.16(M.35.1221A); ὅταν οὖν ὅπερ ὁμολόγηται εἶναι θεοῦ, τοῦτο υἱοῦ φαίνεται ὄν, κοινωνία τῆς φύσεως δείκνυται, καὶ ἀληθὴς υἱ. Apoll.*Rom.*2:1(p.60.11); τεσσάρων δὲ ὄντων τῶν τῆς θεότητος ἡγεμονικῶν ὀνομάτων...κυριότητος καὶ θεότητος, υἱ. καὶ βασιλείας αἰωνίου ‡Chrys.*pasch.*6.4(p.167.18; 8. 270D); as Son in both natures ἵνα ἐν ἑνὶ καὶ τῷ αὐτῷ προσώπῳ ἀμφοῖν τῶν φύσεων συνελθουσῶν, ὧν εἰσιν αἱ υἱότητες, μὴ ἔχοι τις

θατέραν τελείαν υἱ., ἄνευ τῆς συνθεωρίας τῆς ἑτέρας φύσεως εἰδέναι· ὡς καὶ δύο υἱοὺς ἐκ τοῦδε ὁρᾶν ὑποκειμένους, ἀλλ' ἕνα τὸν ἐν δύο φύσεσι καὶ υἱ. Χριστόν· τοῦτο γὰρ τὸ τῆς ἑνώσεως...δώρημα πραγματωδῶς ἐστιν Leont.H.*Nest.*3.1(M.86.1604B); εἰ οὖν ὁ υἱὸς τῆς παρθένου ἐγένετο υἱὸς τοῦ θεοῦ χάριτι, δύο υἱ., ἄλλη τοῦ φύσει καὶ ἄλλη τοῦ χάριτι, καὶ οὐχ εἷς υἱός, ἀλλὰ δύο Jo.D.*fid.Nest.*11(p.564); *ib.*53 (p.583); **2.** as relationship of men to God εἰκὼν οὖν εἰκόνος οἱ ἅγιοι τυγχάνοντες, τῆς εἰκόνος οὔσης υἱοῦ, ἀπομάττονται υἱότητα Or.*or.*22.4 (p.348.24; M.11.485B); through Christ ὅμοιοι...τῇ υἱ., ἧς μεταλαμβάνομεν παρ' αὐτοῦ Ath.*syn.*53(p.276.33; M.26.788C); by baptism, Chrys.*hom.2.7 in 2Cor.*(10.439B); in gen. εἰς υἱ. κεκλημένους διὰ τῆς χάριτος Cyr.*Os.*10(3.31C); **3.** as human relationship, ‡Just.*qu.et resp.*133(M.6.1385B); Jo.D.*inst.el.*3(M.95.101C); **4.** name given by Basilides to a cosmic principle ἣν...ἐν αὐτῷ τῷ σπέρματι υἱ. τριμερής, κατὰ πάντα τῷ οὐκ ὄντι θεῷ ὁμοούσιος, γεννητὴ ἐξ οὐκ ὄντων. ταύτης τῆς υἱ. τῆς τριχῇ διηρημένης τὸ μέν τι ἦν λεπτομερές, τὸ δὲ ⟨παχυμερές, τὸ δὲ⟩ ἀποκαθάρσεως δεόμενον. τὸ μὲν οὖν λεπτομερὲς εὐθέως...τὴν πρώτην καταβολὴν ὑπὸ τοῦ ⟨οὐκ⟩ ὄντος διέσφυξε καὶ ἀνῆλθε...ἡ δὲ παχυμερεστέρα ἔτι μένουσα ἐν τῷ σπέρματι, μιμητική τις οὖσα, ἀναδραμεῖν μὲν οὐκ ἠδυνήθη· πολὺ γὰρ ἐνδεεστέρα τῆς λεπτομερείας, ἧς εἶχεν ἡ δι' αὐτῆς υἱ. ἀναδραμοῦσα, ἀπελείπετο. ἐπτέρωσεν οὖν αὐτὴν ἡ υἱ. ἡ παχυμερεστέρα τοιούτῳ τινὶ πτερῷ, ὁποίῳ διδάσκαλος ὢν Πλάτων Ἀριστοτέλους ἐν Φαίδρῳ τὴν ψυχὴν πτεροῖ, καὶ καλεῖ τὸ τοιοῦτο Βασιλείδης οὐ πτερόν, ἀλλὰ πνεῦμα ἅγιον, ὃ εὐεργετεῖ ἡ υἱ. ἐνδυσαμένη καὶ εὐεργετεῖται. εὐεργετεῖ μὲν...ἀναφερομένη γὰρ ὑπὸ τοῦ πνεύματος ἡ υἱ. ὡς ὑπὸ πτεροῦ ἀναφέρει τὸ πτερόν, τουτέστι τὸ πνεῦμα κτλ. Hipp.*haer.*7.22(p.198.25ff.; M.16.3306C); μέχρις οὗ πᾶσα ἡ υἱ. ἡ καταλελειμμένη εἰς τὸ εὐεργετεῖν τὰς ψυχὰς ἐν ἀμορφίᾳ καὶ εὐεργετεῖσθαι διαμορφουμένη κατακολουθήσῃ τῷ Ἰησοῦ καὶ...ἀποκαθαρισθεῖσα *ib.*7.26(p.205.21; 3318A); *ib.*10.14(p.274.24; 3430A).

***υἱοτικός,** *belonging to the Son,* Cyr.*resp.*(6²).385E); *ib.*(387A).

υἱόω, *make into a son,* Leont.H.*monoph.*testimonia(M.86.1876C).

υἴωσις, ἡ, *making into a son,* Leont.H.*monoph.*testimonia(M.86.1876C).

ὑλάκτης, ὁ, *barker,* Gr.Nar.*carm.*2.1.11.1031(M.37.1100A).

ὑλακτικός, *disposed to bark, barking,* met. οἱ γὰρ ὑ., οἱ κυνώδεις Or.*dial.*12(p.148.7).

***ὑλάρχιος,** *controlling matter*; of Zeus, Synes.*insomn.*8(p.161.5; M.66.1296D).

***ὑλεῖται,** prob. for ὀλεῖται (ὄλλυμι) *destroy,* Gr.Naz.*carm.*2.2 (epigr.)62.4(M.38.115A).

ὕλη, ἡ, A. *material*; **1.** in gen.; lit., Clem.*paed.*2.12(p.228.14; M.8.541A); Gr.Nyss.*hom.opif.*2.1(M.44.133A); τῇ...πρώτῃ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὰς ὑ. τῶν κτισμάτων· ταῖς δὲ ἄλλαις ἡμέραις τὴν μόρφωσιν ...τῶν κτισμάτων Sever.*creat.*1.4(M.56.433); Thdt.*qu.24 in 3Reg.*(1.470); met. Παῦλος εἶχε τὴν ὑ. τοῦ ἐπαίρεσθαι αὐτὸν διὰ τὰς ὀπτασίας, διὰ τὰ ὁράματα Or.*hom.12.8 in Jer.*(p.95.8; M.13.389C); καθάπερ ὕ. τινά, καὶ ἀφορμὴν βλασφημίας Gr.Nyss.*Eun.*1(1 p.97.24; M.45.329D); ὑ. οἴκου, σκεύη καὶ βρώματα· ὑ. δὲ νοός, κενοδοξία καὶ ἡδονή Marc. Er.*opusc.*2.106(M.65.945B); ὑ. παθῶν φιλαργυρία Thal.*cent.*1.34(M.91.1432A); **2.** of human body, *1Clem.*38.3; νόσοι καὶ στάσεις τῆς ἐν ἡμῖν ὕ. Tat.*orat.*16(p.18.7; M.6.841B); *ib.*6(p.6.31; 820A); ref. creation of primal man (Valent.) οὐκ ἀπὸ ταύτης δὲ τῆς ξηρᾶς γῆς, ἀλλ' ἀπὸ τῆς ἀοράτου οὐσίας, ἀπὸ τοῦ κεχυμένου καὶ ῥευστοῦ τῆς ὕλης Iren.*haer.*1.5.5(M.7.500A); τὴν μὲν ψυχὴν ἀπὸ τοῦ δημιουργοῦ, τὸ δὲ σῶμα ἀπὸ τοῦ χοός, καὶ τὸ σαρκικὸν ἀπὸ τῆς ὕ., τὸ πνευματικὸν ἄνθρωπον ἀπὸ τῆς μητρὸς τῆς Ἀχαμώθ *ib.*1.5.6(501B); πρότερον μὲν ἐκτίσθη ὁ κατ' εἰκόνα, οὗ ὕλη οὐχ εὑρίσκεται· οὐδὲ γὰρ ἐξ ὕλης ὁ κατ' εἰκόνα Or.*dial.*15(p.154.10); μηδὲ τοῦ Ἀδάμ, ὡς θεοπλάστου, καὶ ἡμῶν, ὡς ἀνθρωπογεννήτων, ἓν ὑπέρκειται γένος...μήτε ὕ. κοινὴ αὐτοῦ τε καὶ ἡμῶν †Apoll.*ep.Bas.*1(M.32.1104A); παρὰ μὲν τῆς ὕ. λαβὼν τὸ σῶμα ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ πνοὴν ἐνθείς Gr.Naz.*or.*38.11(M.36.321C); of Christ's body (Valent.) ὑλικὸν δὲ οὐδ' ὁτιοῦν εἰληφέναι αὐτόν· μὴ γὰρ εἶναι τὴν ὕ. δεκτικὴν σωτηρίας Iren.*haer.*1.6.1(505A); τὸ...γεγεννημένον ἀπὸ τῆς παρθένου σῶμα ἦν ἀπὸ τῆς ἀνθρωπίνης ὕ. συνεστηκός, δεκτικὸν τῶν ἀνθρωπίνων τραυμάτων Or.*Cels.*3.25(p.222.5; M.11.952A); ἡ...παρθενία...τὴν...τῆς σαρκὸς ἐχορήγησεν ὕ. Leo Mag.*ep.*28.4(p.14.20; M.*PL.*54.768A); **3.** ref. eucharistic elements οὐχ ἡ ὕ. τοῦ ἄρτου ἀλλ' ὁ ἐπ' αὐτῷ εἰρημένος λόγος ἐστὶν ὁ ὠφελῶν τὸν μὴ ἀναξίως τοῦ κυρίου ἐσθίοντα αὐτόν Or.*comm.in Mt.*10.14(p.58.6; M.13.952A); Jo.D.*imag.*2.14(M.94.1300C); **4.** of material of an image τὴν εἰκόνα τῆς Χριστοῦ σταυρώσεως ἰδόντες...προσκυνοῦμεν οὐ τῇ ὕλῃ ἀλλὰ τῷ εἰκονιζομένῳ Jo.D.*f.o.*4.16(M.94.1172B); σεβῶ τὴν ὕ. ... καὶ προσκυνῶ, δι' ἧς ἡ σωτηρία μου γέγονε. σεβῶ δέ, οὐχ ὡς θεόν, ἀλλ' ὡς θείας ἐνεργείας καὶ χάριτος ἔμπλεων. ἢ οὐχ ὕ. τὸ τοῦ σταυροῦ ξύλον; id. *imag.*2.14(M.94.1300B); αἱ ὕ. ... καθ' ἑαυτὰς ἀπροσκύνητοι, ἂν δὲ χάριτος εἴη πλήρης ὁ εἰκονιζόμενος, μέτοχοι χάριτος γίνονται *Schol.* in Bas.*Spir.*18 ap.eund.*imag.*1(1264B); οὐδὲ γὰρ ἡ ὕ. ἐστὶν ἡ προσκυνουμένη, ἀλλὰ τὸ πρωτότυπον Thdr.Stud.*antirr.*3.1(M.99.421A).

B. *the material sphere, world of matter*; **1.** in gen. τὸν τοῦ θεοῦ θέλοντα εἶναι κόσμῳ μὴ χαρίσησθε, μηδὲ ὕλῃ κολακεύσητε Ign.*Rom.*6.2; opp. spiritual things, Tat.*orat.*13(p.14.22; M.6.833B); Athenag. *leg.*25.3(M.6.949C); πᾶσαν τὴν περισπῶσαν αὐτὸν [sc. the 'gnostic'] ὕ. ὑπερηφανήσας τέμνει διὰ τῆς ἐπιστήμης τὸν οὐρανόν Clem.*str.*7.13(p.59.2; M.9.516A); αἱ ἐκείνου [sc. διαβόλου] ἐπιθυμίαι φρόνημα ὕλης εἰσὶ καὶ φθορᾶς Or.*Jo.*22.22(20; p.354.9; M.14.620B); χρὴ...τοὺς τῇ ἀσκητικῇ προσερχομένους ζωῇ πάσης ὕ. βιωτικῆς γυμνωθέντας ἐντὸς τοῦ κατὰ φιλοσοφίαν γενέσθαι βίου Bas.*ascet.*2.1(2.323E; M.31.881B); τῆς κοσμικῆς ὕ. τι πνέων Gr.Naz.*or.*43.3(M.36.541A); ἡ περὶ τὴν ὕ. φιλοτιμία τὰς σωτηρίας ἐνίκησε παραινέσεις Nil.*exerc.*6(M.79.725A); γίνεται ἔρημος ἡ ψυχὴ διὰ τὸ...ἀγαπῆσαι τὴν ὕ. Esaias *or.*7.1(p.47); ref. material possessions διαθήκην ὕλης οὐ γράφει, ζῶν καὶ φρονῶν αὐτὴν κατεπάλαισεν Pall.*v.Chrys.*20(p.138.13; M.47.77); **2.** as realm of Devil and demons ἐναντίον ἐστὶ [sc. τῷ ἀγαθῷ] τὸ περὶ τὴν ὕ. ἔχον πνεῦμα...γενόμενον...ὑπὸ τοῦ θεοῦ...καὶ τὴν ἐπὶ τῇ ὕ. καὶ τοῖς τῆς ὕ. εἴδεσι πεπιστευμένον διοίκησιν Athenag.*leg.*24.3(M.6.945Cf.); ὁ...τῆς ὕ. ἄρχων *ib.*25.1(949A); cf.Tat.*orat.*4(p.5.10; M.6.813B); ἡ τῶν δαιμόνων ὑπόστασις οὐκ ἔχει μετανοίας τόπον, τῆς γὰρ ὕ. καὶ πονηρίας εἰσὶν ἀπαυγάσματα, ὕ. δὲ τῆς ψυχῆς κατεξουσιάζειν ἠθέλησεν *ib.*15(p.17.2; 840A); ἀποπεσὼν [sc. Satan] τῆς καθαρᾶς ζωῆς, πρὸ πάντων ἐνδεθῆναι ὕλῃ καὶ σώματι Or.*Jo.*1.17(p.21.15; M.14.52B); δαίμων ὕλας Synes.*hymn.*3.90(p.9; M.66.1595).

C. *matter*; **1.** ref. Creation; **a.** theories of eternity of matter (Platonist) ἄλλοι δέ, ἐν οἷς ἐστὶ καὶ ὁ...Πλάτων, ἐκ προϋποκειμένης καὶ ἀγενήτου ὕ. πεποιηκέναι τὸν θεὸν τὰ ὅλα διηγοῦνται· μὴ ἂν γὰρ δύνασθαί τι ποιῆσαι τὸν θεὸν εἰ μὴ προϋπέκειτο ἡ ὕ. Ath.*inc.*2.3(M.25.100A); ἀρχὴν ἁπάντων τὸν θεὸν καὶ τὴν ὕ. εἶναι βούλεται [sc. Plato]... ἀγέννητον τὴν ὕ. ἔφησεν εἶναι, ἵνα μὴ δόξῃ τὸν θεὸν τοῦ κακοῦ ποιητὴν εἶναι λέγειν ‡Just.*coh.Gr.*20(M.6.276C); Marcionite οἱ μὲν ἀπὸ Μαρκίωνος φύσιν κακὴν ἔκ τε ὕ. κακῆς καὶ ἐκ δικαίου γενομένην δημιουργοῦ Clem.*str.*3.3(p.200.31; M.8.1113B); τρεῖς τὰς τοῦ παντὸς ἀρχάς, ἀγαθόν, δίκαιον, ὕ. Hipp.*haer.*10.19(p.280.1; M.16.3435C); Gnost. ἐκ τοῦ φοβηθῆναι τῶν κακῶν ποιητὴν εἰπεῖν τὸν θεὸν σύγχρονον αὐτῷ δοῦναι τὴν ὕ. ἔδοξαν Meth.*arbitr.*4(p.155.12; M.18.248C); Manich. ἀρχὰς ἐτίθετο, θεὸν καὶ ὕ., εἶναι δὲ τὸν μὲν θεὸν ἀγαθόν, τὴν δὲ ὕ. κακόν Alex.Lyc.*Man.*2(p.5.1; M.18.413B); **b.** orthodox reply οὔτε γὰρ ἄναρχος ἡ ὕ. καθάπερ καὶ ὁ θεός, οὔτε διὰ τὸ ἄναρχον [καὶ αὐτὴ] ἰσοδύναμος τῷ θεῷ, γενητὴ δὲ καὶ οὐχ ὑπὸ ἄλλου γεγονυῖα, μόνον δὲ ὑπὸ τοῦ πάντων δημιουργοῦ προβεβλημένη Tat.*orat.*5(p.6.12; M.6.817A); πᾶσαν ἔστιν ἰδεῖν τοῦ κόσμου τὴν κατασκευὴν σύμπασάν τε τὴν ποίησιν γεγονυῖαν ἐξ ὕ. καὶ τὴν ὕ. δὲ αὐτὴν ὑπὸ τοῦ θεοῦ προβεβλημένην *ib.*12(p.12.23; 829C); τὸ μὲν...θεῖον ἀγένητον εἶναι καὶ ἀΐδιον, νῷ μόνῳ...θεωρούμενον, τὴν δὲ ὕ. γενητήν Athenag.*leg.*4.2(M.6.897B); *ib.*15.2(920B); Thphl.Ant.*Autol.*2.4(M.6.1032B); Dion.Al.ap.Eus. *p.e.*7.19(333C; M.21.564A); εἰ γὰρ οὐκ ἔστι τῆς ὕ. αὐτὸς αἴτιος, ἀλλ' ὅλως ἐξ ὑποκειμένης ὕ. ποιεῖ τὰ ὄντα, ἀσθενὴς εὑρίσκεται, μὴ δυνάμενος ἄνευ τῆς ὕ. ἐργάσασθαί τι τῶν γενομένων...καὶ πῶς ἔτι ποιητὴς καὶ δημιουργὸς ἂν λεχθείη ἐξ ἑτέρου τὸ ποιεῖν ἐσχηκώς, λέγω δὴ ἐκ τῆς ὕ.; Ath.*inc.*2.4(M.25.100B); εἰς νοῦν βαλόμενος καὶ ὁρμήσας ἀγαγεῖν εἰς γένεσιν τὰ μὴ ὄντα, ὁμοῦ τε ἐνώησεν ὁποῖόν τινα χρὴ τὸν κόσμον εἶναι, καὶ τῷ εἴδει αὐτοῦ τὴν ἁρμόζουσαν ὕ. συναπεγέννησε Bas.*hex.*2.2(1.14B; M.29.33A); Gr.Naz.*or.*29.9(p.85.5; M.36.85A); τὰ ὄντα πάντα οὐκ ἔκ τινος ὑποκειμένης ὕ. πρὸς τὸ φαινόμενον μετεσκευάσθη, ἀλλὰ τὸ θεῖον θέλημα ὕλη καὶ οὐσία τῶν δημιουργημάτων ἐγένετο Gr.Nyss.*hom. in 1Cor.*15:28(M.44.1312A); οὐκ ἀλλαχόθεν τὴν ὕ. λαβών, ἀλλ' ἅμα τοῖς εἴδεσι καὶ τὴν ὑποκειμένην ὕ. εἰς τὸ εἶναι παρήγαγεν Proc.G.*Gen.* 1:1(M.87.37B); τὰ μὲν οὐκ ἐκ προϋποκειμένης ὕ. οἷον οὐρανόν, γῆν, ἀέρα, πῦρ, ὕδωρ· τὰ δέ, ἐκ τούτων τῶν ὑπ' αὐτοῦ γεγονότων· οἷον ζῷα, φυτά, σπέρματα Jo.D.*f.o.*2.5(M.94.880A); Manich. argument refuted, id.*Man.*1.2(M.94.1508C); **c.** ref. days of Creation πρώτη... ἡμέρα, ἐν ᾗ ὁ θεὸς τὸ σκότος καὶ τὴν ὕ. τρέψας κόσμον ἐποίησε Just. *1apol.*67.7(M.6.432A); **2.** ref. resurrection διέλυσεν [sc. θεὸς τὸν ἄνθρωπον] εἰς ὕ. πάλιν ἵνα διὰ τῆς ἀναπλάσεως ἐκτακῶσι καὶ ἐξαφανισθῶσι πάντα τὰ ἐν αὐτῷ μωμήματα...τὸ δὲ ἐκεῖ ἀναμορφοποιηθῆναι τὴν ὕ. ἢ ἀνακοσμηθῆναι, τοῦτο ἐνταῦθα τὸ ἀναστῆναι Meth.*res.*1.43(p.291.6; M.41.1113B); οὔτε γὰρ εἰς ὕ. ἀργὴν καὶ τοιαύτην ἔτι κατάστασιν, οἷα καὶ πρὸ τῆς διακοσμήσεως ἦν, διαλυθὲν ἀναστοιχειωθήσεται τὸ πᾶν *ib.* 1.47(p.300.2; M.41.1120C); εἴ τις λέγει ὅτι...οὐδὲν ἐν τῷ μέλλοντι τῶν τῆς ὕ. ὑπάρξει ἀλλὰ γυμνὸς ὁ νοῦς, ἀνάθεμα ἔστω CCP(543)*anath.* 11; **3.** evil character of matter denied τὸ δὲ τὴν ὕ. τοῖς θνητοῖς ἐμπολιτευομένην αἰτίαν εἶναι τῶν κακῶν καθ' ἡμᾶς οὐκ ἀληθές Or. *Cels.*4.66(p.336.27; M.11.1133D); Meth.*arbitr.*11(p.174.6; M.18.260B);

Dion.Ar.*d.n.*4.28(M.3.729B); *θεοῦ ποίημα τὴν ὕ. καὶ καλὴν ταύτην ὁμολογῶ* Jo.D.*imag.*2.13(M.94.1297C); **4.** opp. form, ref. Christ's body *θεὸν μὲν κατὰ τὸ εἶδος· ἄνθρωπον δὲ κατὰ τὴν ὕ.* ‡Ath.*dial.Trin.* 4.9(M.28.1264C); **5.** ref. qualities *τὰ πάντα δι' ὧν ἡ ὕ. συνίσταται...τὸ κοῦφον, τὸ βαρύ, τὸ ναστόν, τὸ ἀραιόν...τὴν περιγραφήν, τὸ διάστημα· ἃ πάντα μὲν καθ' ἑαυτὰ ἔννοιαί εἰσι ψιλαὶ...· οὐ γάρ τι τούτων ἐφ' ἑαυτοῦ ὕ. ἐστίν, ἀλλὰ συνδραμόντα πρὸς ἄλληλα, ὕ. γίνεται* Gr.Nyss. *hex.*7(M.44.69C); **6.** met., *matter, substance,* ref. 1Cor.12:4–6 *οἶμαι δὲ τὸ ἅγιον πνεῦμα τήν, ἵν' οὕτως εἴπω, ὕ. τῶν ἀπὸ θεοῦ χαρισμάτων παρέχειν τοῖς δι' αὐτοῦ καὶ τὴν μετοχὴν αὐτοῦ χρηματίζουσιν ἁγίοις, τῆς εἰρημένης ὕ. τῶν χαρισμάτων ἐνεργουμένης μὲν ἀπὸ τοῦ θεοῦ, διακονουμένης δὲ ὑπὸ τοῦ Χριστοῦ, ὑφεστώσης δὲ κατὰ τὸ ἅγιον πνεῦμα* Or.*Jo.* 2.10(6; p.65.27; M.14.129A).

***ὑληγενής,** *born of the material world, worldly,* Synes.*hymn.*3.4 (p.7; M.66.1593).

ὑλικός, *of* or *pertaining to matter, material*;

A. in gen.; **1.** lit. *οὐ δέεσθαι τῆς παρὰ ἀνθρώπων ὕ. προσφορᾶς...τὸν θεόν* Just.*1apol.*10.1(M.6.340C); id.*dial.*134.5(M.6.788B); of disease, Tat.*orat.*18(p.19.29; M.6.845A); *τὰς τοῦ σώματος ἡδονάς, καὶ τούτων γε τὰς ὑλικωτάτας, ὅσας ἁφή τε καὶ γεῦσις πορίζουσι* Synes.*regn.*14 (p.30.4; M.66.1077A); ref. eucharist *τὸ ἁγιαζόμενον βρῶμα...κατ' αὐτὸ μὲν τὸ ὕ. 'εἰς τὴν κοιλίαν χωρεῖ καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται'* Or. *comm.in Mt.*10.14(p.58.3; M.13.952A); **2.** fig. *ὁ τέταρτος ἀριθμὸς ὕ. τις καὶ σωματικὸς ὢν κακωτικός ἐστιν, ἐπεὶ τὰ γενικὰ σώματα τέσσαρά ἐστιν* id.*fr.79 in Jo.*(p.546.24); **3.** of persons; **a.** *materially minded,* ‡Ath.*inst.mon.*2(M.28.848B); Gr.Naz.*or.*29.11(p.90.5; M.36. 89A); Gr.Nyss.*Eun.*8(2 p.191.7; M.45.785C); **b.** Gnost. (cf. *ψυχικός*), of the lowest of the three divisions of men, which is incapable of salvation *τριῶν οὖν ὄντων, τὸ μὲν ὑ., ὃ καὶ ἀριστερὸν καλοῦσι...τὸ δὲ ψυχικόν, ὃ καὶ δεξιὸν προσαγορεύουσιν...τὸ δὲ πνευματικόν* Iren.*haer.* 1.5.6(M.7.504A); *κατ' εἰκόνα μὲν τὸν ὑ. ὑπάρχειν παραπλήσιον μέν, ἀλλ' οὐχ ὁμοούσιον τῷ θεῷ, καθ' ὁμοίωσιν δὲ τὸν ψυχικόν ib.*1.5.5(500B); *πολλοὶ μὲν οὖν οἱ ὑ., οὐ πολλοὶ δὲ οἱ ψυχικοί, σπάνιοι δὲ οἱ πνευματικοί. τὸ μὲν οὖν πνευματικὸν φύσει σωζόμενον, τὸ δὲ ψυχικὸν αὐτεξούσιον ὄν...τὸ δὲ ὑ. φύσει ἀπόλλυται* Clem.*exc.Thdot.*56(p.125.17f.; M.9. 685C); *ἐκ τῆς ὑ. οὐσίας οὖν καὶ διαβολικῆς ἐποίησεν ὁ δημιουργὸς ταῖς ψυχαῖς τὰ σώματα...ὃ ἔσω ἄνθρωπος, ὁ ψυχικός, ἐν τῷ σώματι κατοικῶν τῷ ὑ., ὅ ἐστιν ὑ., φθαρτός, τέλειος ἐκ τῆς διαβολικῆς οὐσίας πεπλασμένος* Hipp.*haer.*6.34(p.163.7,12; M.16.3246C); *τοὺς δὲ ὑ. ... παντάπασιν ἀπόλλυσθαι καὶ μηδ' ὅλως σώζεσθαι* Epiph.*haer.*31.7 (p.397.4; M.41.488B); therefore Christ had no material body *ἀπὸ μὲν τῆς Ἀχαμὼθ τὸ πνευματικόν, ἀπὸ δὲ τοῦ Δημιουργοῦ ἐνδεδύσθαι τὸν ψυχικὸν Χριστόν...καὶ ὑλικὸν δὲ οὐδ' ὁτιοῦν εἰληφέναι λέγουσιν αὐτόν· μὴ γὰρ εἶναι τὴν ὕλην δεκτικὴν σωτηρίας* Iren.*haer.*1.6.1(505A); **4.** of spirits *ὁ κόσμος...τὰ μέν τινα φαιδρότερα, τὰ δὲ [τινα] τούτοις ἀνόμοια κεκτημένος θελήματι τοῦ δημιουργήσαντος πνεύματος μετείληφεν ὑλικοῦ* Tat.*orat.*12(p.13.11; M.6.832B); *πνεῦμα ὁ θεός, οὐ διήκων διὰ τῆς ὕλης, πνευμάτων δὲ ὑ. καὶ τῶν ἐν αὐτῇ σχημάτων κατασκευαστής ib.*4(p.5.3; 813A); *ψυχὴ...τοῦ ὑ. προσλαβοῦσα καὶ ἐπισυγκραθεῖσα πνεύματος* Athenag.*leg.*27.1(M.6.952D); Or.*Jo.*10.18(13; p.189.5; M. 14.337B); *διισσὰ μὲν ἐν ἡμῖν λογισμῶν γένη, τὸ μὲν ἀπὸ τῆς ἐπιθυμίας τῆς ἐνθωπευούσης ἐν τῷ σώματι συνιστάμενον, ἥτις ἐξ ἐπιπνοίας... ἐγενήθη τοῦ ὑ. πνεύματος, τὸ δὲ ἀπὸ τοῦ νόμου τοῦ κατὰ τὴν ἐντολήν* Meth.*res.*2.7(p.340.7; M.18.304C); *θεοῦ κάθοδος ἐπ' ἄνθρωπον, τρόπαιον κατὰ τῶν ὑ. πνευμάτων* id.*Porph.*1(p.504.22; M.18.400C).

ψήν, ὁ, *fruit of the male palm,* Bas.*hex.*5.7(1.47C; M.29.112A).

ψηφάς, ὁ, *juggler,* ‡Ath.*qu.Ant.*125(M.28.677B); Leont.N.*v.Sym.*10.56(M.93.1740B).

ψηφίζ-ω, A. act.; **1.** *take into account, consider ψ. καὶ τὸν κατ' αὐτῆς* [sc. *τῆς ἀρετῆς*] *ἐπιόντα πόλεμον* Nil.*Eulog.*3(M.79.1097B); **2.** *reckon upon θάνατος εὗρεν ἄνδρα ἁμαρτωλὸν καὶ πλούσιον, ~οντα τὰ ἔτη πολλά* Ephr.2.296B; **3.** *give consideration to, attach importance to ἡ ταπείνωσίς ἐστι, τὸ μὴ ~ειν ἑαυτὸν ἔν τινι πράγματι ὅλως* Dor.*doct.*21.5(M.88.1817A); *ib.*21.6(1820A); Bars.*resp.*(M.86.900D).

B. med.; **1.** *vote with,* met. *agree with οὐ τὸ ἐμὲ παθεῖν ἀπρεπές ἀλλὰ σὺ σαρκικῇ γνώμῃ τούτοις ~η* Chrys.*hom.54.4 in Mt.*(7.550D); *τὰ ἐξῆς ἐπελθόντες ἴδωμεν τίσι ~εται ὁ Χριστός* id.*hom.38.4 in Jo.* (8.222B); *ib.39.3*(230D); **2.** *pass a judgement, declare τὸ αὐτὸ πάλιν ψ. ib.76.1*(446B); id.*comm.in Gal.*4:26(10.710E); *ψ. τὸ πικρὸν γλυκὺ εἶναι* Nil.*epp.*2.21(M.79.209B).

C. pass., *be reckoned* among *ὁ Ἰσκαριώτης, εἰ καὶ πρώην ἐν τοῖς δώδεκα ἐψηφίζετο* Epiph.*haer.*20.4(p.232.2; M.41.277D).

ψήφινος, ? *made of marble ψ. εἴδωλον A.Andr.et Mt.*14(p.80.16).

ψηφίς, ἡ, 1. *pebble*; of tesserae in mosaic-work, Gr.Nyss.*Thdr.* (M.46.740A); ‡Jo.D.*ep.Thphl.*3(M.95.630C); **2.** *mosaic work,* Gr.Naz. *or.*14.16(M.35.877A); Taras.*ep.*1(M.98.1429B); **3.** *calculation, reckoning διὰ τῆς ψ. τῶν δακτύλων* ‡Bas.*h.myst.*45(p.389.15).

ψήφισμα, τό, *number,* Iren.*haer.*5.30.1(M.7.1203C).

ψηφισμός, ὁ, *reckoning,* Ephr.1.296B.

ψηφιστής, ὁ, *calculator,* Hipp.*haer.*4.17(p.51.2; M.16.3086A); Sever.*creat.*3.2(M.56.449); Soz.*h.e.*4.27.4(M.67.1200C).

***ψηφιστικός,** *making calculations,* Just.*dial.*85.4(M.6.677A).

***ψηφιστρία**, ἡ, *calculator*, met. *ἀφορίας ψ.* ‡Chrys.*fil.vid.*(10.849A).

ψηφιωτής, ὁ, *mosaic-worker*, *IGC As.Min.*226[5] (Miletus saec. vi–vii).

***ψηφόβολον**, τό, *dice-box*, Jo.Mal.*chron.*5 p.103(M.97.192B).

ψηφοθέτης, ὁ, *mosaic-worker*, ‡Just.*fr.res.*6(M.6.1584A); Bas.*hom.* 7.4(2.55E; M.31.289C).

ψηφολογέω, intrans., *be made of mosaic work*, Nil.ap.Proc.G. *Cant.*3.10(M.87.1632D).

ψηφολογία, ἡ, *calculation*, Leont.H.*Nest.*7.4(M.86.1768[A]A).

ψηφολογικός, *of calculations*, Gr.Naz.*ep.*103(M.37.200B); met., *rifling*, id.*or.*5.40(M.35.717A).

ψηφοπαίκτης, ὁ, *one who juggles*, Eust.*engast.*9(p.28.15; M.18. 629B); Eust.Mon.*ep.*(M.86.920C).

***ψηφοπαικτικός**, *juggling*, met. *ψ. ... φυσιολογίαν* Eust.Mon.*ep.* (M.86.920C).

ψῆφος, ἡ, **1.** *number, cipher*, corresponding to a person's name (i.e. sum of numerical values of letters), *IGC As.Min.*321; **2.** *decree, sentence ἀπαραλόγιστος γὰρ ἡ τοῦ θεοῦ ψ. εἰς τὸ δικαιότατον κρῖμα* Clem.*str.*7.3(p.15.3; M.9.425A); Or.*hom.13.1 in Jer.*(p.162.15; M.13. 400B); Chrys.*David* 2.4(4.766E); **3.** *resolve*, of a vow or pledge *τῆς ἑαυτοῦ πτωχείας τὴν ψ. στερεᾷ φυλακῇ ἐκράτει* Gr.Mag.*dial.*(tr.Zach.) 3.14(M.*PL.*77.246B); **4.** *election*, Thphn.*chron.*p.64(M.108.212C); **5.** also masc; **a.** *calculation, reckoning, ib.*p.117(332A); **b.** *numerical symbol, cipher, ib.*p.362(868B).

ψήφωσις, ἡ, *mosaic work*, inscr. (saec. vi) at Caesarea, Palestine, (*BZ* 5 p.160).

***ψιαθίδιον**, τό, *little mat τὰ παλαιὰ ψ., ἅπερ ἑαυτοῖς ὑπεστρώννυον* Jo.Eleem.*v.Tych.*33(p.143).

ψιάθιον, τό, *rush-mat*; for sleeping on, Ath.*v.Anion.*7(M.26.853A); *Apophth.Patr.*(M.65.185C); Anast.S.*relat.*12(p.67).

ψιθυριστής, ὁ, *whisperer*, hence *slanderer, Contrad.*1(p.5).

ψιθυρός, *whispering*, hence *slandering, slanderous*, Clem.*str.*5.5 (p.342.23; M.9.45C); Cyr.*ador.*11(1.397A); id.*Juln.*7(6[2].227A).

***ψιλάνθρωπος**, *merely human οὐ ψ. εἶχε τὰ ἀνθρώπινα, ἀλλὰ θεανδρικῶς...τυγχάνοντα* Anast.S.*hod.*13(M.89.216C).

***ψιλέθειρον**, τό, *depilatory*, Gr.Nyss.*Eun.*12(1 p.330.28; M.45. 1048D).

[*]**ψίλοθρον**, τό, (= *ψίλωθρον*), *depilatory*, Leont.H.*Nest.*7.2(M. 86.1764A).

ψιλός, **1.** *bare, unprotected*; of a city, *unfortified*, Cyr.*glaph.Num.* (1.388C); **2.** *mere, simple*; **a.** in gen.; of a statement, *literal* opp. spiritual or allegorical, Or.*princ.*3.1.15(p.222.7; M.11.280A); *ib.*4.2.2 (p.308.10; 360B); *'λουτροῦ παλιγγενεσίας', ὃ καὶ βάπτισμα θεῖον ὀνομάζεται, οὐκέτι μὲν ψ. ὕδωρ* id.*fr.36 in Jo.*(p.512.13,21); *οἱ ἐν ψ. ὀνόματι τοῦ ἁγίου πνεύματος, καὶ οὐχ ὡς ἐν ὀνόματι θεοῦ καὶ πνεύματος θεοῦ...βαπτιζόμενοι, ὡς ὕδατι ψ. λουόμενοι, ἀνόνητον ἔχουσι τὴν ἐλπίδα* Didym.*Trin.*2.12(M.39.677D–680A); *ὁ Χριστὸς...ἐν πνεύματι ἁγίῳ βαπτίζων, ὡς ψ. ὄντος ὕδατος τοῦ βαπτίσματος 'Ιωάννου* Ammon. *Jo.*1:30(M.85.1401C); of eucharistic bread and wine before consecration, 'Ath.'ap.Eutych.*pasch.*8(M.86.2401B); Cyr.H.*catech.*17.6; *μὴ ὡς ψ. ἄρτῳ προσερχώμεθα τῷ ἄρτῳ τῷ μυστικῷ· σὰρξ γὰρ ὑπάρχει θεοῦ* Nil.*epp.*3.39(M.79.405B); Anast.S.*hod.*23(M.89.297B) cit. s. *ἀντίτυπος*; of chrism *μὴ ὑπονοήσῃς ἐκεῖνο τὸ μύρον ψ. εἶναι... ἀλλὰ Χριστοῦ χάρισμα* Cyr.H.*catech.*21.3; of Barnabas and Paul *ὧδε δὲ ψ. ἦσαν ἄνθρωποι, διὰ πνεύματος θείου τερατουργοῦντες* Ammon.*Ac.*14:10,11(M.85.1545B); ref. miracles of Christ *τῶν τῆς φύσεως ἀρρωστημάτων διόρθωσιν ἀπραγμάτευτόν τινα καὶ ψιλήν* Gr. Nyss.*or.catech.*23(p.87.3; M.45.61C); *ordinary, unimportant ἐν ψ. πράγμασι* opp. *ἐν πολέμῳ καὶ κινδύνοις*, Chrys.*hom.9.2 in Phil.*(11. 265D); *μηδὲ ψ. τι πρᾶγμα εἶναι νομίσῃς, τὸ τὴν ἐξ ἡμῶν σάρκα αὐτὸν ἀναλαβεῖν* id.*hom.5.1 in Heb.*(12.51B); *ψ. ἄνθρωπος* opp. *βασιλεύς*, Eus.*Lc.*14:16(M.24.576A); *common* soldier, Chrys.*hom.58.4 in Mt.* (7.589D); **b.** Christol. *ψ. ἄνθρωπος: 'Ιησοῦς οὐ ψ. ἄνθρωπος ὤν, ἀλλὰ θεὸς γενόμενος ἄνθρωπος* Or.*fr.33 in Jo.*(p.508.24); *οἱ μὲν...τὸν... ἄνθρωπον, ὃν ἀνείληφεν ἀρνησάμενοι· οἱ δὲ ψ. ἄνθρωπον ὑποθέμενοι, τὸν δ' ἐν αὐτῷ θεὸν ἀγνοήσαντες* Eus.*e.th.*1.3(p.63.33; M.24.832C); Amph.*hom.*5.2(M.39.92B); *Const.App.*6.11.10; Gr.Ant.*bapt.*2.6(M. 88.1877B) cit. s. *γυμνός*; asserted by Jews, Ath.*exp.Ps.*88(M.27. 392C); id.*Ar.*2.15(M.26.177B); *ib.*2.16(180C); ‡Gr.Nyss.*comm.in Jo.* 7.150(p.278.10); ‡Anast.S.*Jud.disp.*(M.89.1217C); by Ebionites, Eus.*h.e.*6.17.1(M.20.560A); Epiph.*haer.*30.18(p.358.8; M.41.436B); Tim.CP *haer.*(M.86.28B); by Paul of Samosata, Eus.*h.e.*5.28.2(512B); Tim.CP *haer.*(29C); by Photinus, Thdot.Anc.*hom.*2.3(p.75.9; M.77. 1372C); by Nestorius, Thphn.*chron.*p.76(M.108.236B); **c.** Trin. *ἡ θεότης οὐχ ἓν πρόσωπόν ἐστι κατὰ τὴν 'Ιουδαίων ὑπόληψιν, ἀλλὰ τρία πρόσωπα καθ' ὑπόστασιν ἀληθινήν, οὐκ ὀνόματι ψ.* Gel.Cyz.*h.e.*2.12.1 (M.85.1249B); **3.** of a river, *shallow*; comp., Chrys.*hom.8.4 in 2Tim.* (11.711B); **4.** *subtle ψ. δὲ δὴ σφόδρα καὶ σὺν ἱδρωτὶ ληπτὸς τῶν τεθεσπεσμένων ὁ νοῦς* Cyr.*glaph.Dt.*(1.416D); **5.** fem. as subst.; **a.** *carpet* or *tapestry ἐν τῇ προνομῇ ψ. ποικίλην* id.*ador.*5(1.146D); **b.** *cloak*, Gr.Naz.*carm.*1.2.6.63(M.37.648A); *τὴν δὲ ψ. ὁ Ἀκύλας στολὴν ἡρμήνευσεν· ὁ δὲ 'Ιώσηπος χλανίδα* Thdt.*qu.10 in Jos.*(1.310).

ψιλότης, ἡ, *the spiritus lenis*, Or.*mart.*46(p.42.15; M.11.628A).

ψιλωτέον, *one must shave off*, Clem.*paed.*3.11(p.270.22; M.8.636A).

***ψιμυθισμός**, ὁ, *painting* the complexion *with white lead*, Clem. *paed.*2.10(p.219.23; M.8.521B).

ψίμυθος, ὁ, *white lead*, used as a pigment to whiten the face, Gr. Naz.*carm.*1.2.29.99(M.37.891A).

[*]**ψίφαρος**, ὁ, for *σιφάρος*, *top-sail*; plur., Hipp.*antichr.*59(p.40. 7; *ψήθαροι* M.10.780A).

[*]**ψιχία**, ἡ, = *ψιχίον*, *crumb*, *V.Dan.*(p.255.17).

ψιχίον, τό, *crumb*, ref. Mt.15:27, *Hom.Clem.*2.19; Bas.Sel.*or.*20 (M.85.253A); ref. Lc.16:21, †Jo.D.*BJ* 9(M.96.933B); *βρέξας ὀλίγα ψ. ἐκ τοῦ κοινοῦ ἄρτου Apopth.Patr.*(M.65.433C); met. *ὧν ἔλαβον ψ. μεταδοῦναι τοῖς ὁμοπίστοις* Thdt.*Is.*proem.(p.1.8).

ψιχολογ-έω, *pick up crumbs*; met., ref. Mt.15:27 *ἡμεῖς τὰ λείψανα...λεληθότα ~οῦμεν* Leont.N.*v.Jo.Eleem.*proem.suppl.(p.4).

ψογίζω, *blame*, Epiph.*haer.*66.52(p.89.13; M.42.108C).

ψοφέω, *perish, die*, Jo.Mal.*chron.*10 p.555(M.97.388B); Leont.N. *v.Sym.*10.56(M.93.1740B); *Didasc.Jac.*7(p.746.17); of an animal *ἐψόφησεν* Ephr.3.xxiiiB (for *ἐψόφησεν*).

ψόφημα, τό, *noise*, Epiph.*haer.*35.2(p.41.9; M.41.628D); Gr.Naz. *carm.*2.1.12.619(M.37.1211A).

ψοφοδέεια, ἡ, *fear at* every *noise*, Cyr.*Nah.*39(3.513E).

***ψυγέω**, s.v.l., = *ψύχω* (*ψύγω*), *grow cold ἀγάπη...ἡ πρὸς θεὸν ψυγήσασα* Hesych.H.*fr.Ps.*35:9(M.93.1189D).

ψυγμός, ὁ, *cooling*, met. *ὁ ψ. τῆς ἀγάπης* Chrys.*hom.9.4 in Eph.* (11.73F).

ψύδραξ, ἡ, *pimple, blister*, Epiph.*gemm.*5(M.43.297B).

***ψυλλίτης**, ὁ, a pest which damages crops, prob. = *ψαλίτης* (q.v.), *Euchol.*(p.555).

***ψυχαγελάρχης**, ὁ, *shepherd of souls*, *Hymn.*58.1.2(*AS* 1 p.610).

ψυχαγωγ-έω, **1.** *beguile, delude ἐψυχαγωγῆσθαι ὑπὸ τοῦ 'Ιησοῦ* Cels.ap.Or.*Cels.*2.1(p.126.14; M.11.793A); *ib.*(p.128.5; 798A); **2.** *encourage, console ~ῶν τε ἅμα καὶ νουθετῶν* Clem.*paed.*3.8(p.261.23; M. 8.613C); Gr.Naz.*ep.*7(M.37.33A); *ψαλμὸς...~εῖ τοὺς ἐν ὀδύναις* Procl. CP *or.*2.1(M.65.692C); **3.** *refresh*, Thdt.*Ps.*65:12(1.1048); Thphn. *chron.*p.257(M.108.641C).

ψυχαγωγία, ἡ, **1.** *relief, refreshment*, Hipp.*haer.*5.23(p.125.11; M. 16.3191B); Gr.Naz.*or.*5.13(M.35.680B); **2.** *consolation, comfort*, ‡Gr. Nyss.*hom.5.89 in Jo.*(p.201.34); Synes.*ep.*70(M.66.1433C); Nil.*epp.* 3.33(M.79.389A); **3.** *entertainment, amusement*, Eus.*m.P.*6(p.920.14; M.20.1480C); **4.** *indulgence, pleasure τέλος ὑπάρχειν διδάσκει Ἀπολλόδοτος ὁ Κυζικηνὸς τὴν ψ.* Clem.*str.*2.21(p.184.15; M.8.1077A); **5.** *captivation, delusion*, Bas.*leg.lib.gent.*3(2.176A; M.31.569B); Chrys. *hom.14.1 in Hebr.*(12.140A).

***ψυχαγωγικῶς**, *persuasively*, Ammon.*Jo.*20:11(M.85.1516D).

ψυχαγωγός, **1.** *leading departed souls to the nether world*, of Hermes, Hipp.*haer.*5.7(p.85.23; M.16.3136A); **2.** *charming, captivating*, of children *οἱ ψ. μαργαρῖται τοῦ βίου* Geo.Pis.*carm.*4.117; **3.** as subst., *necromancer, deceiver*, Clem.*str.*1.8(p.27.3; M.8.737A).

ψυχάζω, *cool*, ‡Paul.Sil.*therm.Pyth.*153(M.86.2266).

***ψυχανδρικῶς**, *with the soul of a man*, Anast.S.*serm.imag.*3(M. 89.1161C) cit. s. *εἰκών*.

***ψυχαπώλεια**, ἡ, *ruin of souls*, Jo.Carp.*cap.*5(M.85.1839).

***ψυχάρπαξ**, ὁ, *robber of souls*, Geo.Pis.*van.*129(M.92.1590).

ψυχή, ἡ, *soul*, i.e. *vital principle* in creatures;

I. philosophical and theological; **A.** problems to be discussed, cf. *animae quaedam etiam sui agnitio, per quam scire debet, quae sit ejus substantia, utrum corporea an incorporea et utrum simplex an ex duobus vel tribus an vero ex pluribus composita. sed et juxta quorundam quaestiones utrum facta an omnino a nullo sit facta; et, si facta sit, quomodo facta sit, utrum, ut putant aliqui, in semine corporali etiam ipsius substantia continetur et origo ejus pariter cum origine corporis traducitur, an perfecta extrinsecus veniens ...formato intra viscera muliebria corpore induitur. et si ita sit, utrum nuper creata veniat et tunc primum facta, cum corpus videtur esse formatum...an prius et clim facta ob aliquam causam ad corpus sumendum venire aestimetur;...sed et illud requiritur, utrum semel tantum corpore induatur et id postmodum depositum ultra non quaerat, an cum semel susceptum deposuerit, iterum assumat; et si secundo, sumptum semper habeat an aliquando iterum abiciat...et*

adhuc in cognitione sui anima requirat, si est aliquis ordo aut sunt aliqui spiritus ejusdem cum ipsa substantiae...et hoc adhuc in cognoscenda semet ipsa anima requirat, si virtus animi ejus accedere potest et decedere, Or.*comm.in Cant.*2(pp.146.17–148.4; M.13.126B–127A).

B. definitions and properties; **1.** of its essence; Aristotle's definition reproduced *ἔστι γάρ, φησί, ψ. φυσικοῦ σώματος ὀργανικοῦ ἐντελέχεια* Hipp.*haer.*7.19(p.194.23; M.16.3299D); *ib.*7.24(p.201.21; 3311A); cf. *definitur namque anima hoc modo, quia sit substantia φανταστικὴ et ὁρμητική,* Or.*princ.*2.8.1(p.152.20; M.11.219A); *substantia rationabiliter sensibilis et mobilis anima, ib.*2.8.2(p.154.15; 220B); *τὴν δὲ ψ., ἁπλῆν εἶναι φαμὲν καὶ λογικὴν καὶ ἀθάνατον, οὐ μὴν προϋπάρχειν τοῦ σώματος* Thdt.*haer.*5.9(4.412); *ψ. ἐστιν οὐσία νοερά, ἀσώματος, ἀπαθής, ἀθάνατος* ‡Ath.*qu.Ant.*16(M.28.608A); a purely natural definition as breath *ψ. μέν, ἣν καὶ πνεῦμά φαμεν, ἔτι δὲ καὶ τὸ διὰ τοῦ στόματος ἀναπνεόμενον ἀνύπαρκτον πνεῦμα, ὃ καὶ ἄσθμα καλοῦμεν, πᾶς ἄνθρωπος ἔχει* Didym.*Trin.*2.20(M.39.736A); for identification with blood v. *αἷμα*; **2.** discussion of a purely intellectual definition *ψ. ἐστιν οὐσία γεν[ν]ητή, οὐσία ζῶσα, νοερά, σώματι ὀργανικῷ καὶ αἰσθητικῷ, δύναμιν ζωτικὴν καὶ τῶν αἰσθητῶν ἀντιληπτικὴν δι' ἑαυτῆς ἐνιεῖσα, ἕως ἂν ἡ δεκτικὴ τούτων συνέστηκε φύσις* Gr. Nyss.*anim.et res.*(M.46.29B); this challenged *ἀναλαβὼν τῇ διανοίᾳ τὸν ὁρισμόν, ὃν ἐν τοῖς πρὸ τούτου λόγοις περὶ ψ. ἐποιήσατο, οὐχ ἱκανῶς ἐνδεδεῖχθαί μοι τὸν λόγον ἐκεῖνον τὰς ἐνθεωρουμένας τῇ ψ. δυνάμεις...πολλὰ μὲν γὰρ ἔστιν ἰδεῖν, ὧν τὸ ἐπιθυμητικὸν καθηγεῖται· πολλά γε πάλιν ἃ τῆς θυμοειδοῦς αἰτίας ἐκφύεται, καὶ οὐδὲν τοῦτο σῶμά ἐστι...νοερὸν δέ τι τὴν ψ. ὁ ὁρισμὸς ἀπεφήνατο, ὥστε δυοῖν ἀτόποιν τὸ ἕτερον ἐκ τῆς ἀκολουθίας ἀνακύπτειν τοῦ λόγου, ἢ καὶ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν ἄλλας ἐν ἡμῖν εἶναι ψ., καὶ πλῆθος ψυχῶν ἀντὶ μιᾶς καθορᾶσθαι, ἢ μηδὲ τὸ διανοητικὸν τὸ ἐν ἡμῖν ψ. οἴεσθαι. τὸ γὰρ νοερὸν ἐπίσης πᾶσιν ἐφαρμοζόμενον, ἢ πάντα ψ. ἀποδείξει ταῦτα, ἢ ἕκαστον τούτων ἐκ τοῦ ἴσου τοῦ ἰδιώματος τῆς ψ. ἐξαιρήσει ib.*(48C–49A); challenge refuted *ὁμοίωμα θεοῦ τὴν ψ. εἶναι φήσας, πᾶν ὃ ἀλλότριόν ἐστι θεοῦ, ἐκτὸς εἶναι τοῦ ὅρου τῆς ψ. ἀπεφήνατο ib.* (52A); *φαμὲν γὰρ τῆς ψ. τὴν μὲν θεωρητικήν τε καὶ διακριτικὴν...δύναμιν οἰκείαν εἶναι καὶ κατὰ φύσιν αὐτήν,...διὰ τοῦτο σώζειν ἐν αὐτῇ τὴν εἰκόνα. ἐπεὶ καὶ τὸ θεῖον, ὅ τί ποτε κατὰ τὴν φύσιν ἐστίν, ἐν τούτοις ὁ λογισμὸς εἶναι στοχάζεται· ἐν τῷ...διακρίνειν τὸ καλὸν ἀπὸ τοῦ χείρονος. ὅσα δὲ τῆς ψ. ἐν μεθορίῳ κεῖται πρὸς ἑκάτερον τῶν ἐναντίων ἐπιρρεπῶς κατὰ τὴν ἰδίαν φύσιν ἔχοντα· ὧν ἡ ποία χρῆσις, ἢ πρὸς τὸ καλὸν ἢ πρὸς τὸ ἐναντίον ἄγει τὴν ἔκβασιν, οἷον τὸν θυμόν, ἢ τὸν φόβον, ἢ εἴ τι τὸ τοιοῦτον τῶν ἐν τῇ ψ. κινημάτων ἐστίν, ὧν ἄνευ οὐκ ἔστιν ἀνθρωπίνην θεωρηθῆναι φύσιν· ταῦτα ἔξωθεν ἐπιγενέσθαι αὐτῇ λογιζόμεθα, διὰ τὸ τῷ ἀρχετύπῳ κάλλει μηδένα τοιοῦτον ἐνθεωρηθῆναι χαρακτῆρα ib.*(57B,C); **3.** in definition of man, v. *ἄνθρωπος*; **4.** divisions of soul; **a.** twofold division *ἄμφω γὰρ δυνάμεις τῆς ψ., γνῶσίς τε καὶ ὁρμή* Clem.*str.*6.8(p.466.13; M.9.289C); *τὸ μὲν λογικόν ἐστι καὶ νοερὸν τῆς ψ., τὸ δέ, παθητικόν,τε καὶ ἄλογον. καὶ τῷ μὲν φύσει τὸ κρατεῖν ὑπάρχει, τοῖς δέ, τὸ ὑπακούειν τῷ λόγῳ* Bas.*hom.*3.7(2.23B; M.31.213C); *διττὴν γὰρ εἶναι τῆς ψ. ἔγωγε οἶμαι τὴν δύναμιν, μιᾶς καὶ τῆς αὐτῆς ὑπαρχούσης· τὴν μέν τινα τοῦ σώματος ζωτικήν, τὴν δὲ ἑτέραν τῶν ὄντων θεωρητικήν, ἣν δὴ καὶ λογιστικὴν ὀνομάζομεν* ‡Bas.*const. mon.*2.2(2.541E; M.31.1340D); *ἴδιον τοῦ λογιστικοῦ τῆς ψ., σχολάζειν γνώσει θεοῦ· τοῦ δὲ παθητικοῦ αὐτῆς, ἀγάπη καὶ ἐγκράτεια* Thal.*cent.* 2.52(M.91.1441D); *τῆς ψ., τὸ μὲν...εἶναι θεωρητικόν...τὸ δὲ πρακτικόν· καὶ τὸ μὲν θεωρητικὸν ἐκάλει νοῦν· τὸ δὲ πρακτικόν, λόγον· ὡς πρώτας ...δυνάμεις τῆς ψ. ... διεξοδικῶς...τῆς ψ. ἔφασκεν εἶναι, κατὰ μὲν τὸ νοερόν, τὸν νοῦν, τὴν σοφίαν...τὴν ἄληστον γνῶσιν· τούτων δὲ τέλος εἶναι τὴν ἀλήθειαν· κατὰ δὲ τὸ λογικόν, τὸν λόγον, τὴν φρόνησιν...τὴν πίστιν· τούτων δὲ τέλος εἶναι τὸ ἀγαθόν* Max.*myst.*5(M.91.673C); **b.** threefold *τριγενοῦς οὖν ὑπαρχούσης τῆς ψ. τὸ νοερόν, ὃ δὴ λογιστικὸν καλεῖται, ὁ ἄνθρωπός ἐστιν ὁ ἔνδον...τὸ δὲ θυμικόν, θηριῶδες ὄν, πλησίον μανίας οἰκεῖ· πολύμορφον δὲ τὸ ἐπιθυμητικὸν καὶ τρίτον, ὑπὲρ τὸν Πρωτέα...ποικίλον* Clem.*paed.*3.1(p.236.4; M.8.556A); *τὸ τριμερὲς τῆς ψ. ... τὸν θυμὸν...τὸ ἐπιθυμητικὸν...τὸ δὲ λογιστικόν* Hesych.S. *temp.*2.24(M.93.1520A); Theodore of Edessa ap.Jo.Clim.*scal.*26 schol.14(M.88.1077D); cf.Or.*Cels.*5.47(p.51.21f.; M.11.1256A); **c.** fourfold, ref. Ezech.1:5 *τύπον δὲ ἔφερον τὰ τέσσαρα ζῷα τὰ φέροντα τὸ ἅρμα, αὐτῶν τῶν ἡγεμονικῶν λογισμῶν τῆς ψ. ὥσπερ γὰρ ὁ ἀετὸς βασιλεύει τῶν ὀρνέων, καὶ ὁ λέων τῶν ἀγρίων θηρίων, καὶ ὁ ταῦρος τῶν ἡμέρων ζῴων, καὶ ὁ ἄνθρωπος τῶν κτισμάτων· οὕτως εἰσὶ καὶ οἱ βασιλικώτεροι λογισμοὶ τῆς ψ.· λέγω δέ, τὸ θέλημα, ἡ συνείδησις, ὁ νοῦς, ἡ ἀγαπητικὴ δύναμις· δι' αὐτῶν γὰρ τὸ ἅρμα τῆς ψ. κυβερνᾶται, καὶ εἰς τούτους ἐπαναπαύεται ὁ θεός* Mac.Aeg.*hom.*1.3(M.34.452C); **d.** manifold *ψ. ... ἡ τῶν ἀνθρώπων πολυμερής ἐστι καὶ οὐ μονομερής. συνθετὴ γάρ ἐστιν ὡς εἶναι φανερὰν αὐτὴν διὰ σώματος· οὔτε γὰρ ἂν αὐτὴ φανείη ποτὲ χωρὶς σώματος οὔτε ἀνίσταται ἡ σὰρξ χωρὶς ψ.* Tat.*orat.*15(p.16.6; M.6.837A); *μέλη ψ. εἰσι πολλά, νοῦς, συνείδησις, θέλημα, λογισμοὶ κατηγοροῦντες καὶ ἀπολογούμενοι, ἀλλὰ ταῦτα πάντα εἰς ἕνα λογισμὸν εἰσιν ἀποδεδεμένα, καὶ μέλη ἐστὶ ψ., ὁ ἔσω ἄνθρωπος* Mac.Aeg.*hom.*7.8(M.34.528B); **5.** immortality *ὅτι μένουσιν αἱ ψ. ἀπέδειξα ὑμῖν ἐκ τοῦ καὶ τὴν Σαμουὴλ ψ. κληθῆναι ὑπὸ τῆς ἐγγαστριμύθου* Just.*dial.*105.4(M.6.721B); †Just.*fr.res.*8(M.6.1588A) cit. s. *ἐμφύσημα*; Iren.*haer.*5.7.1(M.7.1140B); Clem.*str.*5.14(p.386.8; M.9.133A); Or.*princ.*3.1.23(21; p.242.19; M.11.302A); Meth.*res.*1.51 (p.307.3; M.18.281D); hence no resurrection of souls, *ib.*1.52(p.308. 1ff.; M.41.1128A); *ἀθάνατος...ἡ ψ.* Cyr.H.*catech.*4.20; *ὁ Χριστὸς προφανῶς ἡμᾶς διδάσκει...τὸ ἀθάνατον τῆς ἡμετέρας ψ.* ‡Ath.*qu.Ant.*17 (M.28.608B); *ἡ ψ. ἁπλῆ οὖσα, καὶ μὴ ἐκ διαφόρων συγκειμένη μερῶν ...διὰ τοῦτο ἄφθαρτος καὶ ἀθάνατος ἔσται* Max.*anim.*(M.91.357C); derived from divine life, Dion.Ar.*d.n.*6.1(M.3.856B); v. *ἀθάνατος, ἀθανασία*; **6.** immateriality; **a.** view that soul consists of very subtle matter, as in Stoic theory (cf.Clem.*str.*5.14(p.384.19; M.9. 129B)); cf. *ipsae animae corporis habeant figuram,* Iren.*haer.*2.19.6 (M.7.774B); *animas...habere hominis figuram, ut etiam cognoscantur, ib.*2.34.1(835A); *incorporales animae, quantum ad comparationem mortalium corporum, ib.*5.7.1(1140A); *τὸ λεπτομερέστερον, ἡ ψ.* Clem. *str.*6.6(p.458.6; M.9.273C); *αἱ δὲ ψ. ... σώματα νοερὰ ὑπάρχουσαι* Meth. *res.*3.18(p.415.13; M.18.328A); *οἱ ὀφθαλμοὶ...οἱ φωτισθέντες βλέπουσι τὴν εἰκόνα τῆς ψ., ἀλλὰ ταύτην ὀλίγοι ὁρῶσι Χριστιανοί* Mac.Aeg. *hom.*7.6(M.34.528A); *εἰ ἔχει μορφὴν ἡ ψ.; ἔχει εἰκόνα καὶ μορφὴν ὁμοιάζουσαν τῷ ἀγγέλῳ ib.*7.7(M.l.c.); perh. in definition as *πνεῦμα λεπτομερές* Ammon.*Ac.*17:30(M.85.1568A); **b.** immateriality affirmed *τὴν ψ. ἔχων ἄϋλον* †Clem.*fr.*(p.220.1); cf. *omnes animae atque omnes rationabiles naturae...secundum propriam naturam incorporeae sunt,* Or.*princ.*1.7.1(p.86.5; M.11.171A); *si qui autem sunt qui mentem ipsam animamque corpus esse arbitrantur, velim mihi responderent, quomodo tantarum rerum, tam difficilium tamque subtilium, rationes assertionesque recipiat. unde ei virtus memoriae, unde rerum invisibilium...corpori inest? ib.*1.1.7(p.23.15; 126C); but cf. *τὸ τῇ φύσει λεπτὸν καὶ εὐκίνητον, ὅπερ ἐστὶν ἡ ψ. ib.*1.8.4(p.103.7); and conception of wings *δι' ἀρετῆς* [sc. *ψ.*] *πτεροφυήσασαι μετεωροποροῦσιν, ἐκεῖθεν δὲ διὰ κακίας τῶν πτερῶν ἐκπιπτόντων χαμαιπετεῖς πρόσγειοι γίνονται ib.*(p.103.17); id. *fr.53 in Lc.*(p.259.29); *ἀσώματον νόει τὸν θεὸν ἐκ τῆς ἐνυπαρχούσης σοι ψ. ἀσωμάτου* Bas.*hom.*3.7(2. 23D; M.31.216A); *ἡ διδάσκαλος τῶν περὶ ψ. ὑπολήψεων αὐτὴ ἡ ψ., ὅτι ἄϋλός τις καὶ ἀσώματος* Gr.Nyss.*anim.et res.*(M.46.29A); full discussion, Nemes.*nat.hom.*2(M.40.537Bff.); *πᾶν σῶμα ἤτοι ἔξωθεν κινεῖται ἢ ἔνδοθεν· ἀλλ' εἰ μὲν ἔξωθεν, ἄψυχον ἔσται· εἰ δὲ ἔνδοθεν, ἔμψυχον. εἰ δὲ σῶμα ἡ ψ., εἰ μὲν ἔξωθεν κινοῖτο, ἄψυχός ἐστιν· εἰ δὲ ἔνδοθεν, ἔμψυχος ἄτοπον δέ, καὶ τὸ ἄψυχον, καὶ τὸ ἔμψυχον, λέγειν τὴν ψ.· οὐκ ἄρα σῶμα ἡ ψ. ib.*(541A); *ἡ δὲ ψ., ἀσώματος οὖσα καὶ μὴ περιγραφομένη τόπῳ ib.*3(597B); arguments for immateriality, Chrys.*incomprehens.*5.4(1. 485B); id.*serm.7.4 in Gen.*(4.681A); id.*hom.5.3 in Col.*(11.3624A,B); summary of arguments *εἰ πάσης τῆς σωματικῆς οὐσίας, εἴς τε τὸ ἔμψυχον καὶ τὸ ἄψυχον διῃρημένης· σῶμα δὲ καὶ ἡ ψ., ἢ ἔμψυχον, ἢ ἄψυχον ἔσται πάντως. ἀλλ' εἰ μὲν ἔμψυχον, διὰ ψυχούσης...ἡ οὐσίας, ἢ δυνάμεως, ἤτοι συμβεβηκότος ψυχωθήσεται. ψ. δὲ ψυχοῦσθαι λέγειν, ὥσπερ καὶ φῶς φωτίζεσθαι...καταγέλαστον. καὶ εἰ μὲν οὐσίαν ψυχοῦν τὴν ψ. εἴπωμεν, ἢ σῶμα ἢ ἀσώματον αὐτὴν πάλιν λέξομεν. καὶ εἰ μὲν σῶμα, τὰς αὐτὰς ἀεὶ τῶν λογισμῶν ἀτόπους ἐξ ἀτόπων ἐφόδους... μέχρις οὗ ἀσώματον τὴν ψ. εἶναι συνδιομολογηθῇ. εἰ δὲ δύναμιν, ἤτοι ποιότητα ψυχοῦν τὴν ψ. εἴπωμεν, τῆς οὐσίας ζωοποιητικόν τε καὶ κινητικόν, τὸ ἀκούσιον ἔσται καὶ ἀνυπόστατον...εἴπερ σώματος ἄρχειν κατὰ φύσιν δημιουργηθεῖσα ἡ ψ., ὡς ἀσώματος οὐσία, ὡς σῶμα κατ' αὐτοὺς ὑπὸ τοῦ μὴ κατ' οὐσίαν ὄντος· τῆς κατὰ τὸ ποιὸν λέγω δυνάμεως, ἀρχθήσεται· ἡ κατ' οὐσίαν οὖσα...καὶ τὴν κοινὴν πάντων πρόληψιν. εἰ δὲ ἄψυχον αὐτὴν εἴπωμεν...ἄλογον...ἔσται. ἀλλὰ μὴν ταῦτα πάντα περὶ τὴν ψ., καὶ ἐν τῇ ψ., καὶ ἔστι καὶ ὁρᾶται· οὐκ ἄρα σῶμα ἡ ψ.* Max.*ep.*6(M.91.428A–C); *ib.*(428C–429A); **7.** self-moving *φύσις ψ., ἐξ ἑαυτῆς ὁρμῶν* Clem.*str.*6.12(p.480.13; M.9.317B); id.*ecl.*22 (p.142.26; M.9.708C); cf. *neque motus ullius corporis sine anima effici potest,* Or.*princ.*1.7.3(p.89.1; M.11.173A); *ib.*2.8.5(p.163.3; 224C); *ἡ ψ. ... καταλλήλως τῇ ἰδίᾳ φύσει ἐνεργοῦσά τε καὶ κινουμένη, καὶ διὰ τῶν σωματικῶν ὀργάνων τὰς ἰδίας κινήσεις ἐνδεικνυμένη* Gr.Nyss.*anim.et res.*(M.46.29A); *ἡ ψ. αὐτοκινητός* Max.*anim.*(M.91. 357D); **8.** endowed with free will *τὸ αὐθαίρετον τῆς ἀνθρωπίνης ψ. καὶ ἀδούλωτον πρὸς ἐκλογὴν βίου* Clem.*str.*7.3(p.11.22; M.9.420A); *ἡγοῦμαι δὴ τὸν θεὸν ἑκάστην λογικὴν οἰκονομεῖν ψ., ἀφορῶντα εἰς τὴν ἀΐδιον αὐτῆς ζωήν, ἀεὶ ἔχουσαν τὸ αὐτεξούσιον καὶ παρὰ τὴν ἰδίαν αἰτίαν ἤτοι ἐν τοῖς κρείττοσι κατ' ἐπανάβασιν ἕως τῆς ἀκρότητος τῶν ἀγαθῶν γινομένην ⟨ἢ⟩ καταβαίνουσαν διαφόρως ἐξ ἀπροσεξίας ἐπὶ τὴν...τῆς κακίας χύσιν* Or.*or.*29.13(p.387.26; M.11.540A); cf. *liberi*

namque arbitrii semper est anima, etiam cum in corpore hoc, etiam cum extra corpus est; et libertas arbitrii vel ad bona semper vel ad mala movetur, nec umquam rationabilis sensus, id est mens vel anima, sine motu aliquo esse vel bono vel malo potest, id.*princ.*3.3.5 (p.262.9ff.; M.11.318C); αὐτεξούσιός ἐστιν ἡ ψ.· καὶ ὁ διάβολος τὸ μὲν ὑποβάλλειν δύναται, τὸ δὲ ἀναγκάσαι παρὰ προαίρεσιν, οὐκ ἔχει τὴν ἐξουσίαν Cyr.H.*catech.*4.21; ἔστιν εἰπεῖν, καὶ τῇ ψ. θεόθεν μὲν εἶναι τὴν σύστασιν, μηδεμιᾶς δὲ νοουμένης περὶ τὸ θεῖον κακίας, ἐξ ὧν κατ' αὐτὴν ἀνάγκης εἶναι· γενομένην δὲ οὕτως τῇ ἰδίᾳ γνώμῃ πρὸς τὸ δοκοῦν ἄγεσθαι, ἢ ἐκ προαιρέσεως πρὸς τὸ καλὸν ἐπιμύουσαν, ἢ ἐξ ἐπιβουλῆς τοῦ συνοικοῦντος ἡμῶν τῇ ζωῇ πολεμίου τὸν ὀφθαλμὸν βλαπτομένην Gr. Nyss.*anim.et res.*(M.46.120C); **9.** rational ἡ λογικὴ δὲ δύναμις, ἰδία οὖσα τῆς ἀνθρωπείας ψ. Clem.*str.*2.20(p.173.23; M.8.1056A); hence human souls dist. from animal, Anast.Ant.*serm.*3(M.89.1168B); ὅτι δὲ λογικὴ ἡμῶν ἡ ψ., ἐκ πολλῶν ἄν τις δείξειε· καὶ πρῶτον μὲν ἐκ τοῦ τὰς τέχνας...ταύτην αὐτὰς εὑρηκέναι...ἔπειτα ἐκ τοῦ τὰς αἰσθήσεις ἡμῶν ἱκανὰς εἶναι πρὸς τὴν τῶν πραγμάτων κατάληψιν, λογικὴ ἡμῶν ἡ ψ. ἀποδείκνυται Max.*anim.*(M.91.360B); **10.** sexless ἀποστᾶσα γὰρ τοῦδε τοῦ σχήματος, ᾧ διακρίνεται τὸ ἄρρεν καὶ τὸ θῆλυ, ψ. μετατίθεται εἰς ἕνωσιν, οὐθέτερον οὖσα Clem.*str.*3.13(p.239.5; M.8.1193B); ὁμοῖαι πᾶσαι αἱ ψ. εἰσιν ἀνδρῶν τε καὶ γυναικῶν· τὰ γὰρ μέλη τοῦ σώματος διακέκριται μόνον Cyr.H.*catech.*4.20; **11.** essence unknown to men, Cyr.H.*catech.*6.6; Chrys.*incomprehens.*5.4(1.485B); views of pagan philosophers recapitulated and criticized, Nemes.*nat.hom.*2(M.40.536B–581A); **12.** unity, cf. *requirendum si in...hominibus, qui ex anima constamus et corpore ac spiritu vitali, est etiam aliud aliquid, quod incitamentum habeat proprium et commotionem ad malum provocantem; sicut haberi a quibusdam quaestio solet hujusmodi, utrumnam velut duae animae in nobis dicendae sunt, una quaedam divinior et caelestis et alia inferior, an vero ex hoc ipso, quod corporibus inhaeremus...trahimur...ad haec mala, quae corpori grata sunt, an vero tertium, quod quidam Graecorum opinati sunt, quia anima nostra cum una sit per substantiam, ex pluribus tamen constet, id est quod pars ejus rationabilis dicatur, pars vero irrationabilis, et ea quidem pars, quam irrationabilem dicunt, in duos rursum dividatur affectus cupiditatis et iracundiae. has ergo tres quas supra diximus de anima opiniones a nonnullis haberi invenimus. ex quibus illud interim, quod quibusdam Graecorum philosophis visum diximus, quia tripartita sit anima, non valde confirmari ex divinae scripturae auctoritate pervideo; et alia vero duo, quae reliqua sunt, inveniri possunt aliquanta, quae ex divinis litteris aptari posse videantur,* Or.*princ.*3.4.1(pp.263.21–264.14; M.11.319D–320B); discussion adducing biblical arguments, but refraining from giving decision, *ib.*3.4.2–5; **13.** Gnost. and pagan ζητοῦσιν...τίς ἐστιν ἡ ψ. καὶ πόθεν καὶ ποταπὴ τὴν φύσιν, ἵν' ἐλθοῦσα εἰς τὸν ἄνθρωπον καὶ κινήσασα καταδουλώσῃ καὶ κολάσῃ τὸ πλάσμα τοῦ τελείου ἀνθρώπου...εἶναι δέ φασι τὴν ψ. δυσεύρετον...οὐ γὰρ μένει ἐπὶ σχήματος οὐδὲ μορφῆς τῆς αὐτῆς πάντοτε Hipp.*haer.*5.7(p.80.15ff.; M.16.3130A,B); Ἀσσύριοι τὴν ψ. τριμερῆ νομίζουσιν εἶναι καὶ μίαν. ψυχῆς γάρ, φασί, πᾶσα φύσις, ἄλλη δὲ ἄλλως, ὀρέγεται. ἔστι γὰρ ψ. πάντων τῶν γινομένων αἰτία· πάντα γὰρ ὅσα τρέφεται, φασί, καὶ αὔξει, ψ. δεῖται. οὐδὲν γὰρ οὔτε τροφῆς...οὔτε αὐξήσεως...ἐπιτυχεῖν ψ. μὴ παρούσης...πᾶσα οὖν φύσις...ψ. ὀρέγεται, κτλ. *ib.*(p.81.6ff.; 3130B,C); in interprn. of Eden and Elohim Ἐδὲμ μὲν τὴν ψ., Ἐλωεὶμ δὲ τὸ πνεῦμα...ἐν τῇ Εὔᾳ τῇ εἰκόνι ψ. μὲν ἀπὸ τῆς Ἐδέμ, πνεῦμα δὲ ἀπὸ τοῦ Ἐλωείμ *ib.*5.26 (p.128.3,8; 3195B,C); *ib.*(p.130.24f.; 3199C); *ib.*10.15(p.276.27; 3431B).

C. origin; **1.** Origen's theory of pre-existence; **a.** no definite teaching on origin given by Church of his time, Or.*princ.*1 proem.5 (p.13.7; M.11.118C); **b.** theory evolved to reconcile differences among created beings with justice of God πρὸ τῶν αἰώνων νόες ἦσαν πάντες καθαροί, καὶ οἱ δαίμονες καὶ αἱ ψ. καὶ οἱ ἄγγελοι... ὑπελείποντο δὲ αἱ ψ., αἵτινες οὐδὲ τοσαῦτα ἦσαν ἁμαρτήσασαι, ἵνα δαίμονες γένωνται, οὐδὲ πάλιν οὕτω κουφοτέρως, ἵνα ἄγγελοι γένωνται. ἐποίησεν οὖν ⟨ὁ θεὸς⟩ τὸν παρόντα κόσμον, καὶ τὴν ψ. συνέδησε τῷ σώματι πρὸς κόλασιν...δῆλον ὅτι ἕκαστον πρὸς ὃ ἥμαρτε τιμωρούμενος, τὸν μὲν ἐποίησε δαίμονα, τὸν δὲ ψ., τὸν δὲ ἄγγελον. εἰ μὴ γὰρ ἦν τοῦτο, καὶ προϋπῆρχον αἱ ψ., διὰ τί τινὰς μὲν τῶν νεωστὶ τεχθέντων εὑρίσκομεν τυφλούς, μηδὲν ἁμαρτήσαντας, ἄλλους δὲ μηδὲν ἔχοντας κακὸν τικτομένους; ἀλλὰ δῆλον ὅτι προϋπῆρχόν τινες ἁμαρτίαι ταῖς ψ., ἀφ' ὧν ἑκάστη πρὸς τὴν ἀξίαν ἀπολαμβάνει...διόπερ καὶ δέμας κέκληται τὸ σῶμα διὰ τὸ δεδέσθαι τὴν ψ. ἐν τῷ σώματι *ib.*1.8.1(pp.96.1–97.4); theory rejected πρὶν παραγένηται εἰς τόνδε τὸν κόσμον ἡ ψ., οὐδὲν ἥμαρτεν· ἀλλ' ἐλθόντες ἀναμάρτητοι, νῦν ἐκ προαιρέσεως ἁμαρτάνομεν Cyr.H.*catech.*4.19; **c.** scriptural proofs, cf. *si hominis anima, quae utique inferior est, dum hominis est anima, non cum corporibus ficta, sed proprie et extrinsecus probatur inserta, multo magis eorum animantium, quae caelestia designantur. nam quantum ad homines spectat, quomodo cum corpore simul ficta anima videbitur ejus, qui in ventre fratrem suum supplantavit, id est Jacob? aut quomodo simul cum corpore ficta est anima...ejus, qui adhuc ⟨in ventre matris suae positus, repletus est spiritu sancto⟩...? quomodo simul cum corpore ficta est...illius anima, qui antequam in utero formaretur, notus esse dicitur Deo?...ne forte non judicio neque pro meritis replere aliquos videatur Deus spiritu sancto et sanctificare non merito. et quomodo effugiemus illam vocem, qua ait: numquid injustitia est apud Deum? absit. ... hoc enim consequitur eam defensionem, quae animas subsistere simul cum corporibus adseverat,* Or.*princ.*1.7.4(p.90.5ff.; M.11.173C–174A); for case of Jo. Bapt., cf.id.*Jo.*2.30(24; p.87.8ff.; M.14.165C); εἰσίν τινες τῶν ἐνσωματουμένων ψ. πρὶν εἰς γένεσιν ἐλθεῖν μεμαθητευμέναι παρὰ τῷ πατρί *ib.* 20.7(p.335.14; 588C); exeg. Ps.118:67 τὸ γὰρ εἰπεῖν τὸν προφήτην πρὶν ἢ ταπεινωθῆναί με, ἐγὼ ἐπλημμέλησα, ἐξ αὐτῆς φησι τῆς ψ. ὁ λόγος, ὡς ἄνω ἐν οὐρανῷ ἐπλημμέλησε, πρὶν ἢ ἐν τῷ σώματι τεταπεινῶσθαι id. *princ.*2.8.3(p.158.3); **d.** etym. argument from ψυχή–ψυχρός; cf. *sicut ergo deus ignis est...ita e contrario hi, qui deciderunt a dilectione dei, sine dubio refrixisse in caritate ejus ac frigidi effecti esse dicendi sunt...requirendum est ne forte et nomen animae, quod Graece dicitur ψ., a refrigescendo de statu diviniore...dictum sit, ib.*(pp.156.13–157.15; 222A–D); cf. teaching of Docetists μέχρι...τῆς τοῦ σωτῆρος φανερώσεως ὑπὸ τοῦ θεοῦ τοῦ φωτὸς τοῦ πυρώδους...πολλή τις ἦν πλάνη τῶν ψ. ψ. γὰρ αἱ ἰδέαι καλοῦνται, ὅτι ἀποψυγεῖσαι τῶν ἄνω ἐν σκότει διατελοῦσι Hipp.*haer.*8.10(p.229.13; M.16.3354B); ψ. διὰ τοῦτο κληθῆναι, διὰ τὸ ψυγὲν τὸ θερμὸν τοῦ νοῦ ‡Caes.Naz.*dial.*3.149(M.38.1100); **e.** 'fall' of souls from their own 'city' ἔθνη τινὰ τῶν ψ. ἀποτίθεται ἐν ἰδιαζούσῃ τινὶ πολιτείᾳ πρὸς τὴν ἐν σώματι ζωὴν βιοτεύοντα ἐν τῷ λεπτῷ τε καὶ εὐκινήτῳ τῆς φύσεως ἑαυτῶν τῇ τοῦ παντὸς συμπεριπολοῦντος δινήσει. προκεῖσθαι δὲ κἀκεῖ τά τε τῆς κακίας καὶ τῆς ἀρετῆς ὑποδείγματα. καὶ παραμένουσαν μὲν ἐν τῷ καλῷ τὴν ψ. τῆς πρὸς τὸ σῶμα συμπλοκῆς μένειν ἀπείρατον. ῥοπῇ δέ τινι τῇ πρὸς κακίαν πτερορρυούσας τὰς ψ. ἐν σώμασι γίνεσθαι, πρῶτον μὲν ἀνθρωπ⟨ίν⟩οις, εἶθ' οὕτως διὰ τῆς πρὸς τὰ ἄλογα τῶν παθῶν ὁμιλίας...ἀποκτηνοῦσθαι...κἀκεῖθεν μέχρι τῆς φυσικῆς ταύτης καὶ ἀναισθήτου καταπίπτειν ζωῆς Or.*princ.* 1.8.4(pp.102.12–103.3; M.46.112C); passage preserved and refuted by Gr.Nyss. τὸ δὲ τοιοῦτον δόγμα...ἐλέγχεται...εἰ γὰρ ἀπὸ τῆς οὐρανίας ζωῆς διὰ κακίας ἐπὶ τὸν ξυλώδη βίον ἡ ψ. κατασύρεται, ἀπὸ τούτου δὲ πάλιν δι' ἀρετῆς ἐπὶ τὸν οὐράνιον ἀνατρέχει, εὑρίσκεται ὁ λόγος αὐτῶν ἀπορῶν, ὅ τι προτιμότερον οἴεται, εἴτε τὴν ξυλίνην, εἴτε τὴν οὐρανίαν ζωήν. κύκλος γὰρ τίς ἐστι διὰ τῶν ὁμοίων περιχωρῶν, ἀεὶ τῆς ψ., ἐν ᾧπερ ἂν ᾖ, ἀστατούσης...οὔτε γὰρ ἡ οὐρανία διαγωγὴ ἐν τῷ μακαρισμῷ διαμένει, εἴπερ κακία τῶν ἐκεῖ ζώντων καθάπτεται· οὔτε τὰ ξύλα τῆς ἀρετῆς ἀμοιρήσει, εἴπερ ἐντεῦθεν μὲν ἐπὶ τὸ ἀγαθὸν παλινδρομεῖν οἴονται τὴν ψ., ἐκεῖθεν δὲ τοῦ κατὰ κακίαν ἀνάρχεσθαι Gr.Nyss.*anim. et res.*(M.46.113B,C); also refuted on ground that hypothesis would imply that evil existed before creation, *ib.*(116C); **f.** ascent and descent of souls, cf. *quia comparavimus de isto mundo ad inferna pergentes animas his animabus, quae de superiori caelo ad nostra habitacula venientes quodammodo mortuae sunt, prudenti investigatione rimandum est, an hoc ipsum possimus etiam in nativitate dicere singularum; ut quomodo quae in ista terra nostra nascuntur animae vel de inferno rursum meliora cupientes ad superiora veniunt et humanum corpus adsumunt, vel de melioribus locis ad nos usque descendunt: sic et ea loca, quae supra sunt in firmamento, aliae animae possideant, quae de nostris sedibus ad meliora proficiant, aliae, quae de caelestibus ad firmamentum usque delapsae sunt nec tantum fecere peccati, ut ad loca inferiora, quae incolimus, truderentur,* Or.*princ.*4.3.11(p.339.7ff.; M.11.394B); ἐπὶ τῆς νοητῆς καταβάσεως τῆς ψ. διὰ τὴν κακίαν καὶ τὰ μοχθηρὰ δόγματα καὶ νοητῆς ἀναβάσεως αὐτῆς id.*Jo.*19.22(5; p.323.24; M.14.568A); **g.** hypothesis of the mutability of soul into spirit and vice versa ὥσπερ σῶσαι τὸ ἀπολωλὸς ἦλθεν ὁ σωτήρ, ὅτε μέντοι σώζεται τὸ ἀπολωλός, οὐκέτι ἐστὶν ἀπολωλός, οὕτως, εἰ σῶσαι ἦλθε ψ., ὡς σῶσαι τὸ ἀπολωλός, οὐκέτι μένει ψ. ἡ σωθεῖσα ψ. ἔτι βασανιστέον εἰ, ὥσπερ τὸ ἀπολωλὸς ἦν ὅτε οὐκ ἀπολώλει καὶ ἔσται ποτὲ ὅτε ἔσται ἀπολωλός, οὕτω καὶ ἡ ψ. ἦν ὅτε οὐκ ἦν ψ. καὶ ἔσται ὅτε οὐκ ἔσται ψ. ... *fortassis etiam hoc quod salvatur anima dicitur; cum autem jam salva facta fuerit, ex perfectioris partis suae vocabulo nuncupabitur...anima, quae perisse dicitur, videbitur fuisse quid aliquando, cum nondum perisset et propter hoc anima diceretur, quae rursum ex perditione liberata potest iterum illud esse quod fuit, antequam periret et anima diceretur,* id.*princ.*2.8.3(pp.155.14–156.12; M.11.221B–222A); cf.*ib.*(p.159.1; 223C); but *quod diximus mentem in animam verti vel si qua alia quae in hoc videntur aspicere, discutiat apud se qui legit...a nobis*

*tamen non putentur velut dogmata esse prolata, sed tractandi more ac requirendi discussa, ib.*2.8.4(p.162.7; 224A); cf.*ib.*3.1.23(21; p.242.19; 302A); of souls into angels, cf. *tertius vero creaturae rationabilis ordo est eorum spirituum, qui ad humanum genus replendum apti judicantur a deo, id est animae hominum, ex quibus per profectum etiam in illum angelorum ordinem quosdam videmus assumi, ib.*1.8.4 (p.101.29; 180A); cf. *ἀνεστοιχειοῦτο γοῦν αὐτῇ ψ.* [sc. Helena's] *ἐπὶ τὴν ἄφθαρτον καὶ ἀγγελικὴν οὐσίαν* Eus.*v.C.*3.46(p.97.10; M.20.1105D); Epiph.*haer.*64.4(p.411.2; M.41.1107ɓ); **b.** traces of idea of metempsychosis *εἰ γὰρ διά τινος κακίας ἀποσπασθεῖσα τῆς ὑψηλοτέρας ἡ ψ. πολιτείας, μετὰ τὸ ἅπαξ γεύσασθαι τοῦ σωματικοῦ βίου πάλιν ἄνθρωπος γίνεται, ἐμπαθέστερος...ὁ ἐν σαρκὶ βίος ὁμολογεῖται παρὰ τὸν... ἀσώματον, ἀνάγκη πᾶσα τὴν ἐν τῷ τοιούτῳ γινομένην βίῳ ἐν ᾧ πλείους αἱ πρὸς τὸ ἁμαρτάνειν εἰσὶν ἀφορμαί, ἐν πλείονί τε κακίᾳ γενέσθαι... ἀνθρωπίνης δὲ ψ. πάθος ἡ πρὸς τὸ ἄλογόν ἐστιν ὁμοίωσις. τούτῳ δὲ προσοικειωθεῖσαν αὐτήν, εἰς κτηνώδη φύσιν μεταρρυῆναι* Or.*princ.*1.8.4(p.103.17ff.); *ἡ ψ. ἀπορρέουσα τοῦ καλοῦ...εἰ μὴ ὑποστρέφοι, ὑπὸ τῆς ἀνοίας ἀποκτηνοῦται...καὶ αἱρεῖται πρὸς τὸ ἀλογωθῆναι καὶ τὸν ἔνυδρον, ἵν' οὕτως εἴπω, βίον· καὶ τάχα κατ' ἀξίαν τῆς ἐπὶ πλεῖον ἀποπτώσεως τῆς κακίας ἐνδύεται σῶμα ⟨τοι⟩οῦδε ἢ τοιοῦδε ἀλόγου ζῴου ib.*(p.104.8; 180ɓ); **2.** development of creationism; **a.** its roots in account in Gen. of different origin of man's body and soul, cf. *insufflavit enim in faciem hominis deus flatum vitae et factus est homo in animam viventem, flatus autem vitae incorporalis,* Iren.*haer.*5.7.1(M.7.1140A); *πλάσμα ὑμᾶς τοὺς ἀνθρώπους [ἐπι]γεγονότας τοῦ θεοῦ καὶ παρ' αὐτοῦ τὴν ψ. εἰληφότας* Clem.*prot.*10(p.67.33; M.8.205A); *ἐκ γῆς μὲν τὸ σῶμα διαπλάττεσθαι λέγει ὁ Μωυσῆς...ψ. δὲ τὴν λογικὴν ἄνωθεν ἐμπνευσθῆναι ὑπὸ τοῦ θεοῦ εἰς πρόσωπον* id.*str.*5.14(p.388.10; M.9.140A); soul infused before physical conception *εἰσιοῦσαν γὰρ τὴν ψ. εἰς τὴν μήτραν ἀπὸ τῆς καθάρσεως ηὐτρεπισμένην εἰς σύλληψιν ...καταβληθέντος δὲ τοῦ σπέρματος ὡς εἰπεῖν ἐξοικειοῦσθαι τὸ ἐν τῷ σπέρματι πνεῦμα καὶ οὕτως συλλαμβάνεσθαι τῇ πλάσει...καὶ αἱ στεῖραι διὰ τοῦτό εἰσι στεῖραι, ὡς ἂν μὴ εἰσκρινομένης τῆς ψ. τὴν τοῦ σπέρματος καταβολὴν συναγούσης εἰς κατοχὴν συλλήψεως καὶ γεννήσεως* id.*ecl.*50(pp.150.22–151.9; M.9.721A); *παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ πνοὴν ἐνθεὶς (ὃ δὴ νοερὰν ψ. καὶ εἰκόνα θεοῦ οἶδεν ὁ λόγος)* Gr.Naz.*or.*38.11(M.36.321D); *ἐν...τῇ διαπλάσει τοῦ ἀνθρώπου πρότερον τὸ σῶμα παραγίνεται, καὶ τότε ἡ ψ. ἡ τιμιωτέρα...πρὸ τῆς ψ. τὸ σῶμα δημιουργεῖται, ἵνα ἐπειδὰν κατὰ τὴν ἀπόρρητον αὐτοῦ σοφίαν ἡ ψ. παραχθῇ...* Chrys.*hom.13.3 in Gen.*(4.102C); Anast.Ant.*serm.*3(M.89.1165C); **b.** this, however, does not imply that soul is part of the divinity, Chrys.*hom.13.2 in Gen.* (4.101A–D); Thdt.*qu.23 in Gen.*(1.39); **c.** creationist doctrine clearly stated *ἡ δὲ ἐκκλησία, τοῖς θείοις πειθομένη λόγοις...λέγει, τὴν ψ. συνδημιουργεῖσθαι τῷ σώματι, οὐκ ἐκ τῆς ὕλης τοῦ σπέρματος ἔχουσαν τῆς δημιουργίας τὰς ἀφορμάς, ἀλλὰ τῇ βουλήσει τοῦ ποιητοῦ μετὰ τὴν τοῦ σώματος συνισταμένην διάπλασιν* id.*haer.*5.9(4.414); *ἡ δὲ τοῦ ἀνθρώπου ψ. ἰδιάζουσαν ὑπόστασιν ἔχει· ἐνεργεῖ δὲ καὶ τὴν ζωὴν ἐν σαρκί...ὁ σπόρος ἐκ συνουσίας· ἡ δὲ πλάσις ἐκ θείου νεύματος· κτίζεται ἡ ψ. ὅτε καὶ τὸ σῶμα εἰκονίσθη, θεοῦ τὴν πλάσιν παρέχοντος* Proc.G.*Gen.*2:7(M.87.153B); **3.** traducianism (cf. Tertullian); **a.** not always clearly distinguishable from creationism *λείπεται οὖν μίαν καὶ τὴν αὐτὴν ψ. τε καὶ σώματος ἀρχὴν τῆς συστάσεως οἴεσθαι* Gr.Nyss.*anim.et res.*(M.46.125A); *ἐπὶ τῆς τοῦ ἀνδρὸς καὶ γυναικὸς συμπλοκῆς συνίσταται θεοῦ κελεύσει σῶμα καὶ ψ.* ‡Ath.*qu.Ant.*16(M.28.608B); **b.** explicitly taught *Ἀπολιναρίῳ δὲ δοκεῖ τὰς ψ. ἀπὸ τῶν ψ. τίκτεσθαι ὥσπερ ἀπὸ τῶν σωμάτων. προϊέναι γὰρ τὴν ψ. κατὰ διαδοχὴν τοῦ πρώτου ἀνθρώπου εἰς τοὺς ἐξ ἐκείνου πάντας τεχθέντας καθάπερ τὴν σωματικὴν διαδοχήν· μήτε γὰρ ἀποκεῖσθαι ψ. μήτε νῦν κτίζεσθαι* ‡Gr.Nyss.*anim.*(M.45.205C); *ὥσπερ ἐπὶ τῆς πρώτης πλάσεως τὸ μὲν σῶμα ἐκ τῆς γῆς ἔσχεν ὁ ἄνθρωπος, τὴν δὲ ψ. ἐξ αὐτοῦ τοῦ θεοῦ γεννηθεῖσαν· οὕτω καὶ νῦν τὸ μὲν σῶμα ἐκ τῆς γυναικείας γῆς καὶ αἵματος συνίσταται, ἡ δὲ ψ. διὰ τῆς σπορᾶς ὥσπερ διά τινος ἐμφυσήματος ἐκ τοῦ ἀνθρώπου ἀρρήτως μεταδίδοται...τὸ μὲν σῶμα διὰ τῶν οἰκείων... χειρῶν αὐτοῦ ἔπλασεν ὁ θεός, τὴν δὲ ψ. ὡς ἀόρατον ἐκ τῆς παναοράτου αὐτοῦ ψ. διὰ τοῦ ἐμφυσήματος προήγαγε καὶ ἐποίησε παρ' ἑαυτοῦ* Anast.Ant.*serm.*3(M.89.1165B); **4.** Gnost.; **a.** origin of souls from different seed as cause of their difference from each other (Valentinian) *τὰς δὲ ἐσχηκυίας τὸ σπέρμα τῆς Ἀχαμὼθ ψ. ἀμείνους λέγουσι γεγονέναι τῶν λοιπῶν· διὸ καὶ πλεῖον τῶν ἄλλων ἠγαπῆσθαι ὑπὸ τοῦ Δημιουργοῦ, μὴ εἰδότος τὴν αἰτίαν, ἀλλὰ παρ' αὐτοῦ λογιζομένου εἶναι τοιαύτας. διὸ καὶ εἰς προφήτας, φασίν, ἔτασσεν αὐτούς* [l. *αὐτάς*], *καὶ ἱερεῖς, καὶ βασιλεῖς. καὶ πολλὰ ὑπὸ τοῦ σπέρματος τούτου εἰρῆσθαι διὰ τῶν προφητῶν ἐξηγοῦνται, ἅτε ὑψηλοτέρας φύσεως ὑπαρχούσας* [sc. *ψυχὰς τὸ σπέρμα ἐχούσας*]*· πολλὰ δὲ καὶ τὴν μητέρα περὶ τῶν ἀνωτέρω εἰρηκέναι λέγουσιν, ἀλλὰ καὶ διὰ τούτου καὶ τῶν ὑπὸ τούτου γενομένων ψ.* Iren.*haer.*1.7.3(M.7.516A,B); refutation, cf. *sermo arguitur falsus ...in eo quod dicant eas animas quae habuerint a Matre semen, meliores reliquis fieri: quapropter...principes, et reges, et sacerdotes ordinatas esse. si enim erat hoc verum, primus utique Caiaphas... et Annas, et reliqui summi sacerdotes...et principes populi credidissent Domino...et ante hoc etiam Herodes rex. quoniam autem nec hic, nec summi sacerdotes...accurrerunt ei; sed e contrario qui erant in viis mendici sedentes...non itaque erant meliores tales animae, ib.* 2.19.7(775A,B); *οἱ ἀντίμιμοι τοῦ Δημιουργοῦ, οἱ τῇ ἐκ μεσότητος ψ., τῇ σφετέρᾳ εἰκόνι, ἐμφυσῶντες τὴν ζωὴν τὴν ἄνωθεν* Clem.*str.*4.13(p.288.17; M.8.1300A); cf.*ib.*(p.288.2ff.; 1297B); *οἱ δ' ἀπὸ Οὐαλεντίνου πλασθέντος φασὶ τοῦ ψυχικοῦ σώματος τῇ ἐκλεκτῇ ψ. οὔσῃ ἐν ὕπνῳ ἐντεθῆναι ὑπὸ τοῦ λόγου σπέρμα ἀρρενικόν* id.*exc.Thdot.*2(p.105.15; M.9.653A); view rejected, Cyr.H.*catech.*4.20; **b.** soul's embodiment as a punishment (Marcion, Basilides) *οἱ φιλόσοφοι...παρ' ὧν τὴν γένεσιν κακὴν εἶναι ἀσεβῶς ἐκμαθόντες οἱ ἀπὸ Μαρκίωνος...φρυάττονται, οὐ φύσει κακὴν βούλονται ταύτην εἶναι, ἀλλὰ τῇ ψ. τῇ τὸ ἀληθὲς διδούσῃ· κατάγουσι γὰρ ἐνταῦθα τὴν ψ. θείαν οὖσαν καθάπερ εἰς κολαστήριον τὸν κόσμον, ἀποκαθαίρεσθαι δὲ ταῖς ἐνσωματουμέναις ψ. προσήκει κατ' αὐτούς. κἄστιν τὸ δόγμα τοῦτο οὐ τοῖς ἀπὸ Μαρκίωνος ἔτι, τοῖς δὲ ἐνσωματοῦσθαι...τὰς ψ. ἀξιοῦσιν οἰκεῖον* Clem.*str.*3.3(p.201.16ff.; M.8.1116A,B); *τῷ Βασιλείδῃ ἡ ὑπόθεσις προαμαρτήσασάν φησι τὴν ψ. ἐν ἑτέρῳ βίῳ τὴν κόλασιν ὑπομένειν ἐνταῦθα ib.*4.12(p.285.4; 1292C).

D. in rel. to body, cf. *σάρξ, σῶμα, αἴσθησις*; **1.** manner in which soul is in body, diffused through it, *Diogn.*6.1 cit. s. *Χριστιανός*; *ἔστι ψ. ἐν ὅλοις τοῖς μέλεσι, καὶ ἄνω ἐν τῷ ἐγκεφάλῳ ἐνεργεῖ, καὶ κάτω τοὺς πόδας αὐτὴ κινεῖ* Mac.Aeg.*hom.*40.3(M.34.764C); *τὴν μὲν ζωτικὴν δύναμιν, ἐπεὶ συγκέκραται τῷ σώματι ἡ ψ., φυσικῶς διὰ τὴν σύγκρασιν, καὶ οὐκ ἐκ προαιρέσεως χορηγεῖ...ψ. ἀμήχανον μὴ ζωοποιεῖν σῶμα, ᾧ ἂν ἐγγένηται* ‡Bas.*const.*2.2(2.542A; M.31.1341A); denied *τί λέγω, τί τὴν οὐσίαν ἐστὶν ἡ ψ.; ὅπως ἡμῶν ἐστιν ἐν τῷ σώματι, οὐδὲ τοῦτο ἔστιν εἰπεῖν. τί γὰρ ἔχοι τις ἂν εἰπεῖν ὅτι παρεκτείνεται τῷ τοῦ σώματος ὄγκῳ; ἀλλὰ τοῦτο ἄλογον, σωμάτων γὰρ ἴδιον τοῦτο· ὅτι δὲ ἐπὶ ψ. οὐκ ἔστι τοῦτο ἐντεῦθεν δῆλον. πολλάκις καὶ τῶν χειρῶν καὶ τῶν ποδῶν ἐκκεκομμένων, ὁλόκληρος ἐκείνη μένει...ἀλλ' οὐκ ἔστιν ἐν ὅλῳ τῷ σώματι, ἀλλ' ἐν μέρει τινὶ συνείληπται. οὐκοῦν νεκρὰ ἀνάγκη τὰ λοιπὰ εἶναι μέλη· τὸ γὰρ ἄψυχον πάντως νεκρόν. ἀλλ' οὐδὲ τοῦτο ἔστιν εἰπεῖν, ἀλλ' ὅτι μέν ἐστιν ἐν τῷ σώματι τῷ ἡμετέρῳ ἴσμεν, τὸ δὲ πῶς ἐστιν οὐκ ἴσμέν* Chrys.*incomprehens.*5.4(1.485C); discussion, Nemes.*nat.hom.*3(M.40.592Aff.); Max.*anim.*(M.91.356D–357A); **2.** soul superior to body, Clem.*str.*4.26(p.321.16f.; M.8.1373C); Chrys.*hom.21.6 in Gen.*(4.190E); *ib.12.*5(97E–98A); Max.*ep.*12(M.91.488D–489A); hence honour due to body as receptacle of soul, Or.*Cels.*8.30 (pp.245.27–246.5; M.11.1561A,B); **3.** soul as guide of body *τῆς ψ. οὔσης τε καὶ διαμενούσης ὁμαλῶς ἐν ᾗ γέγονεν φύσει καὶ διαπονούσης ἃ πέφυκεν (πέφυκεν δὲ ταῖς τοῦ σώματος ἐπιστατεῖν ὁρμαῖς καὶ τὸ προσπῖπτον ἀεὶ τοῖς προσήκουσι κρίνειν καὶ μετρεῖν κριτηρίοις καὶ μέτροις)* Athenag.*res.*12(p.63.1; M.6.1000A); Iren.*haer.*2.33.3(M.7.832B); *ib.*2.33.4(833A); Dion.Al.*fr.*(p.227.7f.); Cyr.H.*hom.*18(M.33.1152C); *ὅπερ ἐστὶ θεὸς ψυχῇ, τοῦτο ψ. σώματι γένηται παιδαγωγήσασα δι' ἑαυτῆς τὴν ὑπηρέτιν ὕλην, καὶ οἰκειώσασα θεῷ τὸ ὁμόδουλον* Gr.Naz.*or.*2.17(M.35.428A); *ἐὰν...ὁ ἡνίοχος τὰς ὁρμὰς τοῦ ὑποζυγίου δεόντως οἰκονομήσῃ, ἑαυτῷ τε πρὸς τὸ συμφέρον ἐχρήσατο, καὶ τοῦ σκοποῦ τοῦ προκειμένου τετύχηκε, καὶ αὐτὸς δὲ σέσωσται, καὶ τὸ ὑποζύγιον ὤφθη τὴν χρῆσιν ἄριστον,...οὕτω καὶ ἐπὶ τῆς ψ. καὶ τοῦ σώματος ὑπολάμβανε ...ἐὰν μὲν γὰρ αὐτὴ τὰς τοῦ σώματος ὁρμὰς δεόντως οἰκονομῇ, αὐτό τε περιεσώσατο, καὶ αὐτὴ ἔξω κινδύνων διατελεῖ* ‡Bas.*const.*2.3(2.542D; M.31.1341C); *ὅπερ γάρ ἐστιν ἡνίοχος ἅρματι, καὶ κυβερνήτης πλοίῳ, καὶ μουσικὸς ὀργάνῳ, τοῦτο εἶναι τῷ γηΐνῳ τούτῳ σκεύει τὴν ψ. ὁ πλάστης ἐνομοθέτησεν. αὕτη γὰρ κατέχει τὰς ἡνίας, καὶ κινεῖ τὰ πηδάλια, καὶ τὰς χορδὰς ἀνακρούεται* Chrys.*hom.in Mt.*7:14(3.25D); **4.** gives life and movement to body *ὑπὸ ψ. κινεῖται* [sc. *σῶμα*], *τῆς καὶ τὸ ζῆν αὐτῷ παρεχούσης. εἰ τοίνυν τῷ σώματι ἡμῶν ψ. δείκνυται τὸ ζῆν παρέχουσα, ἔσται καὶ καθ' ἑαυτὴν ἡ ψ. ἐκ τῶν ἐναντίων γνωριζομένη* Max.*anim.*(M.91.356B); id.*ep.*6(M.91.425B); which is its instrument, Iren.*haer.*2.33.4(M.7.833A); Cyr.H.*catech.*4.23; ‡Bas. *struct.hom.*1.7(1.327D; M.30.17C); Chrys.*hom.14.5 in Gen.*(4.113C); but limits its capacities, cf. *anima...tantum autem impeditur a sua velocitate, quantum corpus participat de ejus motione; sed non amittit suam scientiam...anima participans suo corpori, modum quidem impeditur, admixta velocitate ejus in corporis tarditate,* Iren. *haer.*2.33.4(M.7.833A); Clem.*paed.*2.9(p.207.20ff.; M.8.496C); *ψυχῆς οὐσία, τὴν φύσιν οὖσα νοερὰ καὶ λογική, ἐν νηπιάζοντι κατὰ φύσιν σώματι παρὰ φύσιν αὐτὴ χώραν ἀλόγου μετείληφε* Eus.*p.e.*6.6(247A; M.21.720D); *ὅμως...ἐξακολουθεῖ...τῷ σώματι ἡ ψ. ὁμοῦ γὰρ εἶναι δεῖ τὸ σύνθετον. ἀλλὰ προηγουμένως μέν, τοῦ σώματος ὁ τόπος, ἡ ψ. δὲ*

κατ' ἐπακολούθησιν περικλείεται τόπῳ, διὰ τῆς πρὸς τὸ σῶμα σχέσεως †Bas.*parad.*7(1.349F–350A; M.30.68B); cf. Jo.Clim.*scal.*26(M.88.1072C); **5.** interaction of both, cf. δεσμὸς δὲ τῆς σαρκὸς ψ., σχετικὴ δὲ τῆς ψ. ἡ σάρξ Tat.*orat.*15(p.16.21; M.6.837B); idea that both grow together, resulting from a material conception of soul ὅτι μὲν οὐκ εἰσὶν ἀγέννητοι αἱ ψ., τοῦτο δείκνυσι σαφέστερον ἡ τῶν ἀρτιγόνων ἡλικία βρεφῶν. εἰ...ἅμα τῷ τεχθῆναι τὰ παιδία, τελείας ἐξῆπτο φρονήσεως, ἐξῆν ἴσως ὑποκρίνεσθαί τινας ἄνοιαν· εἰ δὲ λείπεται νοῦ...οὐκ ἄρα καθέστηκαν ἀγέννητοι τὴν φύσιν αἱ ψ. σύμπαντες οὖν ἴσμεν ὅτι τοῖς τῶν σωμάτων ὄγκοις ἡ ψ. συνεκτέταται διαρκῶς, οὐ μεγέθει μόνον...μελῶν, ἀλλὰ καὶ ταῖς ἄλλαις τῆς γνώμης ἀναλογίαις...εἰ δὲ ταῦτα ἴδια μέν ἐστι ψυχῆς, ἐκ περιουσίας δὲ τὰς κρείττους ἐπιδέχονται προσθήκας ...δῆλον ὅτι συναυξάνει μὲν τῷ σώματι Eust.*fr.*4(Spanneut p.96.2) ap.Leont.et Jo.*sacr.*2(M.86.2040B,C); orthodox conception of a progressive revelation of its functions ἐπὶ τῆς ἀνθρωπίνης συστάσεως, πρὸς λόγον τῆς σωματικῆς ποσότητος, καὶ ἡ τῆς ψ. διαφαίνεται δύναμις· πρῶτον μὲν διὰ τοῦ θρεπτικοῦ καὶ αὐξητικοῦ τοῖς ἔνδοθεν πλασσομένοις ἐγγινομένη. μετὰ ταῦτα δὲ τὴν αἰσθητικὴν χάριν τοῖς εἰς φῶς προελθοῦσιν ἐπάγουσα, εἶθ' οὕτω...τὴν λογικὴν ἐμφαίνουσα δύναμιν Gr.Nyss.*anim.et res.*(M.46.128A); without idea of growth θαύμαζε τὸν τεχνίτην, πῶς τῆς ψ. σου τὴν δύναμιν πρὸς τὸ σῶμα συνέδησεν, ὡς μέχρι τῶν περάτων αὐτοῦ διϊκνουμένην, τὰ πλεῖστον διεστῶτα μέλη πρὸς μίαν σύμπνοιαν...ἄγειν. σκόπει τίς ἡ ἀπὸ σαρκὸς πρὸς ψ. ἐπανιοῦσα συμπάθεια· πῶς δέχεται μὲν τὴν ζωὴν ἐκ τῆς ψ. τὸ σῶμα, δέχεται δὲ ἀλγηδόνας ἀπὸ τοῦ σώματος ἡ ψ. Bas.*hom.*3.7(2.23E; M.31.216A,B); πῶς τρέφεται διὰ ψ. σῶμα, καὶ πῶς ψ. διὰ σώματος κοινωνεῖ πάθους; Gr.Naz.*or.*32.27(M.36.205A); soul reflected in face, ‡Nil.*perist.*9.2 (M.79.865B); **6.** heret. views; **a.** that soul is imprisoned in body τὴν ψ. συνέδησε [sc. ὁ θεός] τῷ σώματι πρὸς κόλασιν Or.*princ.*1.8.1 (p.96.11); ἡ ὕλη...κατεσκεύασε τὸν ἄνθρωπον τὸν κατὰ τὴν ἰδέαν τοῦ πρώτου ἀνθρώπου ἐκείνου καὶ ἔδησε τὴν ψ. ἐν αὐτῷ Hegem.*Arch.*8(7; p.12.6; M.10.1440A); rejected εἰ γὰρ πρὸ τῆς παραβάσεως...σῶμα ἐκέκτητο αἱ ψ., πῶς ⟨ὡς⟩ εἰς παγίδα ὕστερον, μετὰ τὴν παράβασιν, εἰς ⟨τὸ⟩ σῶμα ἐμβιβάζονται, οὐκ ὄντος χρόνου, ἐν ᾧ πρὶν αὐτὰς τὸ σῶμα λαβεῖν ἐξημάρτησαν; Meth.*res.*1.54(p.310.18; M.41.1145A); ἦν ἄρα ἡ ψ. μετὰ σώματος καὶ πρὸ τῆς ἁμαρτίας *ib.*(p.311.19; 1145C); on ground that soul could not sin without body χρὴ γὰρ πρὸ τῆς ἁμαρτίας τὴν ψ. ὑπάρχειν μετὰ σώματος. ἐπεὶ εἰ ἄληπτος ἡ ψ. καθ' ἑαυτὴν τῇ ἁμαρτίᾳ, οὐκ ἂν ἥμαρτεν ὅλως πρὸ τοῦ σώματος *ib.*1.57 (p.318.18; 1152Dff.); εἰ πρὸ τοῦ ἐνδεθῆναι τὴν ψ. φῆς ἡμαρτηκέναι, περισσὸν τὸ λέγειν αἴτιον τῶν κακῶν τὸ σῶμα. εἰ γὰρ πρὸ τοῦ σώματος ἥμαρτε, καὶ ἀπαλλαγεῖσα νῦν ἐκ τοῦ σώματος ἀῤθις ἁμαρτήσει διὰ τὸ καὶ πρὸ τούτου ἡμαρτηκέναι, καὶ οὐκ αἴτιον τὸ σῶμα, ἀλλ' ἡ ψ. εἰ δεσμὸν ψ. τὸ σῶμα ὑπέθετο, ὁ δὲ δεσμὸς ἐπέχειν πέφυκε τὸν ἁμαρτάνοντα...τὸ σῶμα οὐ δεσμός ἐστι ψ., ἀλλὰ συνεργόν. πῶς; ὁ δεσμὸς οὐ συνεργεῖ τῷ δεδεμένῳ πρὸς ἁμαρτίαν ἀλλ' ἐπέχει...τὸ δὲ σῶμα συνεργεῖ τῇ ψ. εἰς φόνους καὶ μοιχείας. δείκνυται οὖν ὁ θεὸς οὐ δεσμὸν δοὺς τῇ ψ. τὸ σῶμα, ἀλλὰ συνεργόν Adam.*dial.*5.21(p.218.4ff.; M.11.1861A,B); οὐ γὰρ κατ' οὐρανὸν ἁμαρτοῦσαι ψ. ἐν σώματι κατεκρίθησαν τιμωρεῖσθαι, μηκέτι δυνάμεναι συμπεριπολεῖν τῇ ὑπερκοσμίῳ τελευτῇ. εἰ γὰρ πρὸς διόρθωσιν ...τοῖς σώμασι τούτοις κατεκλείσθησαν, πῶς ἐν τούτῳ βαρυτέρως ἁμαρτάνουσιν; ‡Caes.Naz.*dial.*3.149(M.38.1100); **b.** that body is cause of sin to soul οὐχὶ τὸ σῶμά ἐστι τὸ τυφλοῦν τὴν ψ., ἅπαγε...ἀλλ' ἡ τρυφὴ ...οὐδὲ γὰρ ψ. μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ σώματι...πολέμιον ἡ τρυφὴ Chrys.*hom.*39.9 *in 1Cor.*(10.376B); ὅτι δὲ οὐδὲ κακίας αἴτιον τῇ ψ. τὸ σῶμα, δῆλον ἐκ τοῦ δυνατὸν εἶναι καὶ ἄνευ σώματος παρυφίστασθαι κακίαν, ὥσπερ ἐν δαίμοσι· τοῦτο γάρ ἐστι καὶ νοῦς, καὶ ψ., καὶ σώμασι κακόν, ἡ τῆς ἕξεως τῶν οἰκείων ἀγαθῶν ἀσθένεια καὶ ἀπόπτωσις Dion. Ar.*d.n.*4.27(M.3.728D); **c.** that God is cause of the soul, but not of body; discussed and refuted, Or.*Cels.*4.54–61(pp.326.24–333.3; M. 11.1117A–1128C); **7.** relation of Christians to world analogous to that of soul to body, *Diogn.*6.1–9.

τὴν σωτηρίαν Cyr.H.*procatech.*9; ἀναγέννησιν δὲ οὐ σωμάτων λέγω, ἀλλὰ ψυχῆς τὴν πνευματικὴν ἀναγέννησιν. τὰ μὲν γὰρ σώματα διὰ τῶν φαινομένων γονέων γεννῶνται, αἱ δὲ ψ. διὰ τῆς πίστεως ἀναγεννῶνται id.*catech.*1.2; **b.** repentance εἴ τίς γε ἱκανός ἐστι κινῆσαι ψ. ἀκροατοῦ μάλιστα ἡμαρτηκότος, τοιούτους εὔχεται λόγους λέγειν, οἵτινες ἀπὸ δυνάμεως...ἀπαγγελλόμενοι ἱερῶν σείσουσι τὴν ψ. τοῦ ἀκούοντος καὶ κινήσουσιν ἐπὶ πένθος Or.*hom.20.6 in Jer.*(p.186.6ff.; M.13.513B); ὁ τὰ τοιαῦτα δάκρυα [sc. of repentance] σταλάζων, οὐδὲν ἡγεῖται τὰ ἐπὶ τῆς γῆς, ἀλλὰ πάσης πολιορκίας ἀπαλλάττει τὴν ψ., τοῦ ἡλίου λαμπροτέραν καθίστησι τὴν διάνοιαν Chrys.*exp.in Ps.*6(5.46C); **c.** through Passion and example of Christ τοῦ πάθους, οὗ ἔπαθεν ὑπὲρ τῶν καθαιρομένων τὰς ψ. ἀπὸ πάσης πονηρίας ἀνθρώπων Just. *dial.*41.1(M.6.564B); τὰς ᾠδοὺ διαρρήξας [sc. Christ] πύλας ἐπὶ τὴν πεπλανημένην εἰσῆλθε ψ., ἑαυτὸν ὑπόδειγμα ταύτῃ θέμενος, δι' οὗ δυνατὸν αὐτῇ ἔσται πρὸς μέτρον ἡλικίας πρὸς τὴν τελειότητα τοῦ πνεύματος καταντῆσαι Mac.Aeg.*pat.*18(M.34.880B); τὴν ἡμετέραν ψ. προσερχομένην τῷ ἀληθινῷ ἀρχιερεῖ Χριστῷ, δεῖ τυθῆναι ὑπ' αὐτοῦ, καὶ τῷ φρονήματι ἀποθανεῖν, καὶ...τῇ ἁμαρτίᾳ id.*hom.*1.6(M.34.456C); **2.** instruments and means of its progress; **a.** help given by God συνεξάπτει δὲ ἡ γραφὴ τὸ ζώπυρον τῆς ψ. καὶ συντείνει τὸ οἰκεῖον ὄμμα πρὸς θεωρίαν Clem.*str.*1.1(p.8.11; M.8.697A); *ib.*2.11(p.139.7; 985A); Mac.Aeg.*hom.*41.2(M.34.768D–769A); ὥσπερ γὰρ ἵππος, ἕως μὲν ἂν ἐν ταῖς ὕλαις τοῖς ἀγρίοις ζώοις συννέμηται, ἀνυπότακτος ἀνθρώποις ἐστίν· ἐπὰν δὲ πρὸς τὸ ἡμερωθῆναι κρατηθῇ, προτιθέασιν αὐτῷ βαρὺν χαλινόν, ἕως οὗ μάθῃ εὐτάκτως...περιπατεῖν· εἶτα γυμνάζεται ὑπὸ ἐμπείρου καθιστοῦ, ἵνα καὶ εἰς πόλεμον εὔχρηστος γένηται... τὸν αὐτὸν τρόπον καὶ ἡ ψ. ἀπὸ τῆς παραβάσεως οὖσα ἀγρία καὶ ἀνυπότακτος, ἐν ἐρημίᾳ τοῦ κόσμου πελάζεται μετὰ θηρίων...ὅταν δὲ ἀκούσῃ λόγον θεοῦ, καὶ πιστεύσῃ, χαλιναγωγουμένη ὑπὸ τοῦ πνεύματος, ἀποτίθεται τὸν ἄγριον ἦθος...ἡνιοχουμένη ὑπὸ τοῦ ἐπιβάτου Χριστοῦ ...οὕτως ἡ ψ. ἐνδυομένη τὸν θώρακα τῆς δικαιοσύνης,...διδάσκεται πολεμεῖν τοῖς ἐχθροῖς αὐτοῖς *ib.*23.2(661A,B); Nil.*epp.*1.132(M.79.140A); λήψῃ θεὸν τὸν τῆς σῆς ψ. κατέχοντα οἴακα, καὶ ἀκινδύνως κυβερνῶντά σε Jo.Clim.*scal.*28(M.88.1133C); divine–human co-operation τῆς ψ. τίς ἐστιν εὐθηνία τῆς πεπληρωμένης παντοδαπῶν ἔργων· ἣν πρῶτον μὲν γεωργηθῆναι δεῖ φιλοπόνως, καὶ τότε ταῖς ἀφθόνοις τῶν οὐρανίων ὑδάτων ἐπιρροίαις πιανθῆναι, ὥστε καρποφορῆσαι Bas.*hom. in Ps.*29(1.128C; M.29.316B); **b.** virtue ψ. δὲ αὔξειν διὰ πίστεως καὶ γνώσεως Clem.*str.*3.4(p.208.9; M.8.1132A); *ib.*5.12(p.379.26; M.9.120B); προκοπὴ γὰρ ψ., προκοπὴ ταπεινώσεως Bas.*renunt.*10(2.211B; M.31.648A); ἐλεημοσύνη καὶ ἡ περὶ τοὺς πένητας δαψίλεια· τοῦτο τὸ μέγιστον τῆς ψ. περιβόλαιον Chrys.*hom.21.6 in Gen.*(4.191D); τέσσαρες ἀρεταί εἰσιν αἱ ἁγνίζουσαι τὴν ψ., ἡ σιωπή, καὶ τὸ φύλαξαι τὰς ἐντολάς, καὶ ἡ στενοχωρία, καὶ ἡ ταπεινοφροσύνη...τέσσαρες ἀρεταὶ περιτειχίζουσι τὴν ψ. ... ὁ ἔλεος, καὶ ἡ ἀοργησία, καὶ ἡ μακροθυμία, καὶ τὸ ἀποτινάξαι πάντα σπόρον ἐπερχόμενον τῆς ἁμαρτίας Esaias *or.*7; exeg. Ex.1:21 διδάσκει ἡμᾶς...ἡ γραφή, ὅτι ὁ φόβος τοῦ θεοῦ παρασκευάζει τὴν ψ. φυλάττειν τὰς ἐντολάς, καὶ διὰ τῶν ἐντολῶν οἰκοδομεῖται ὁ τῆς ψ. οἶκος...πῶς δὲ οἰκοδομεῖται ὁ οἶκος τῆς ψ., ἀπὸ τοῦ αἰσθητοῦ οἴκου δυνάμεθα μαθεῖν...χρῄζει γὰρ ὁ θέλων οἰκοδομῆσαι τὸν οἶκον τοῦτον, πανταχόθεν ἀσφαλίσασθαι αὐτόν...οὕτως ἐστὶ καὶ ἐπὶ τῆς ψ. χρῄζει γὰρ ὁ ἄνθρωπος μηδενὸς μέρους τῆς οἰκοδομίας αὐτοῦ ἀμελεῖν Dor.*doct.*14(M.88.1773A,B); ἀγάπη καὶ ἐγκράτεια ψ. καθαίρουσι Thal. *cent.*1.11(M.91.1429A); ἡ δὲ τῶν ἐντολῶν τήρησις, ψ. ποιεῖ τὴν κάθαρσιν *ib.*2.77(1445A); practice of virtue being natural to soul, Bas.*hex.*9.4 (1.83E; M.29.196C); **c.** asceticism κενοῖ τῆς ὕλης τὴν ψ. ἡ νηστεία καὶ καθαρὰν καὶ κούφην σὺν καὶ τῷ σώματι παρίστησι τοῖς θείοις λόγοις Clem.*ecl.*14(p.140.28; M.9.705A); οὐκ ἀγαθὸν τῇ ψ. αἰσθητὸν βρῶμα ἢ πόμα. ἡ γὰρ σὰρξ προστρεφομένη πολεμεῖ τῇ ψ. Dion.Al.*fr.*(p.224.3); τὴν σεαυτοῦ ψ. ἀσφαλίζου, νηστείαις, προσευχαῖς, ἐλεημοσύναις Cyr.H. *catech.*4.37; κάθαρσις δὲ ψ. ... τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάζειν Bas.*leg.lib.gent.*7(2.181E; M.31.581C); ἡσυχία οὖν ἀρχὴ καθάρσεως τῇ ψ., μήτε γλώττης λαλούσης τὰ τῶν ἀνθρώπων, μήτε ὀφθαλμῶν εὐχροίας σωμάτων καὶ συμμετρίας περισκοπούντων, μήτε ἀκοῆς τὸν τόνον τῆς ψ. ἐκλυούσης ἐν ἀκροάμασι μελῶν πρὸς ἡδονὴν πεποιημένων μήτε ῥήμασιν εὐτραπελῶν καὶ γελοιαστῶν ἀνθρώπων, ὃ μάλιστα λύειν τῆς ψ. τὸν τόνον πέφυκε id.*ep.*2.2(3.72C; M.32.228A); **d.** prayer and γνῶσις: ἡ γνῶσις ἰδίωμα ψ. τυγχάνει λογικῆς εἰς τοῦτο ἀσκουμένης, ἵνα διὰ τῆς γνώσεως εἰς ἀθανασίαν ἐπιγραφῇ Clem.*str.*6.8(p.466.12; M.9.289C); *ib.*7.7(p.29.28; 453C); ἄγονοι...ἐπὶ πολὺ γεγενημέναι ψ., ἠσθημέναι τῆς στειρώσεως τῶν ἰδίων ἡγεμονικῶν καὶ τῆς ἀγονίας τοῦ νοῦ ἑαυτῶν, ἀπὸ τοῦ ἁγίου πνεύματος διὰ ἐπιμόνου εὐχῆς κυήσασαι σωτηρίους λόγους, θεωρημάτων ἀληθείας πεπληρωμένους, γεγεννήκασιν Or.*or.*13.3 (p.327.7; M.11.456A); *ib.*13.5(p.330.4; 459A); ἡ εὐχὴ καλὴ μὲν καὶ καθ' ἑαυτήν· καλλίων δὲ...γίνεται, ὅταν μετὰ...ζεύσης ψ. ἀναφέρηται, ὅταν θυμιατήριον ἡ ψ. γένηται καὶ πῦρ ἀνάπτῃ σφοδρὸν Chrys.*exp.in Ps.*140(5.431A); φέγγος ψυχῆς ἡ γνῶσίς ἐστιν Thal.*cent.*1.51(M.91.1432D); *ib.*2.2(1437B); τέλος γὰρ τῆς κατὰ ψυχὴν λογικῆς ἐνεργείας, ἡ ἀληθὴς γνῶσίς ἐστι Max.*ep.*31(M.91.625A); **e.** temptations εἰς ταῦτα δὲ τὰ μέτρα ψ. ἐλθεῖν, οὔτε ὑφ' ἕν, οὔτε ἀδοκιμάστως ἐστίν, ἀλλὰ διὰ πόνων πολλῶν καὶ ἀγώνων, καὶ χρόνων καὶ σπουδῆς, μετὰ δοκιμασίας καὶ πειρασμῶν ποικίλων τὴν πνευματικὴν αὔξησιν...λαμβάνει Mac.Aeg. *hom.*10.5(M.34.544C); ψ. ζέουσα...οὐχ ὑπό τινων κωλυτικῶν ἐμποδίζεται τὴν οἰκείαν ἀρετὴν ἐπιδείξασθαι, ἀλλὰ καὶ δι' αὐτῶν μάλιστα τῶν κωλυόντων ἐπὶ πλεῖον αἴρεται Chrys.*hom.43.2 in Gen.*(4.437C); πλεῖστα χαρίσματα θεῖα μετὰ τὴν συνοχὴν καὶ τὴν θλῖψιν εὑρίσκομεν ἐν τῇ ψ. κυϊσκόμενα Nil.*epp.*3.182(M.79.469C); id.*Eulog.*19(M.79.1117B); **f.** true doctrine as soul's food ὃ γάρ ἐστιν ἐν σώματι τροφή, τοῦτο ἐν ψ. λόγος Gr.Naz.*or.*17.1(M.35.965A); *ib.*42.8(M.36.468B); ὥσπερ γὰρ τρέφεται τὰ σώματα, οὕτω τρέφεται καὶ ἡ ψ.· ἀλλὰ τὸ μὲν σῶμα ἄρτῳ, ἡ δὲ ψ. λόγῳ Chrys.*hom.4.1 in Is.*6:1(6.121D); ἡ ψ. χρῄζει τῆς πνευματικῆς τροφῆς id.*hom.4.6 in Gen.*(4.29B); καθάπερ ἐφ' ἑκάστης ἡμέρας τῷ σώματι τὴν τροφὴν χορηγεῖς...οὕτω καὶ τὴν ψ. μὴ περιορᾷν λιμῷ φθειρομένην, καὶ παρέχειν αὐτῇ τὴν κατάλληλον τροφὴν τὴν ἐκ τῆς τῶν γραφῶν ἀναγνώσεως *ib.*21.6(191B); ὥσπερ γὰρ τρέφεται σῶμα, οὕτω τρέφεται καὶ ψ. ... ταύτην οὖν λέγει τὴν τροφήν, τὴν διὰ τοῦ λόγου διδασκαλίαν, τὴν παίδευσιν, τὴν φιλοσοφίαν id.*exp.in Ps.*110(5.272B); οὐ δίκαιόν ἐστιν...τὴν τῆς ψ. βρῶσιν καταλιπόντας, τὸ σῶμα πρὸ τῆς ψ. διαναπαῦσαι Leont.N.*v.Jo.Eleem.*1(p.7.10f.); **3.** soul's way from the sensible to the spiritual and from discursive thought to contemplation γυμνάσιον μέν φαμεν εἶναι τῆς ψ. τὴν ἀνθρωπίνην σοφίαν, τέλος δὲ τὴν θείαν Or.*Cels.*6.13(p.83.17; M.11.1309B); οὐ ταὐτόν ἐστι νοσοῦντας τὴν ψ. ἐπὶ θεραπείαν καλεῖν καὶ ὑγιαίνοντας ἐπὶ τὴν τῶν θειοτέρων γνῶσιν καὶ ἐπιστήμην. καὶ ἡμεῖς δὲ ἀμφότερα ταῦτα γινώσκοντες, κατ' ἀρχὰς μὲν προκαλούμενοι ἐπὶ τὸ θεραπευθῆναι τοὺς ἀνθρώπους...ἐπὰν δὲ οἱ προκόπτοντες τῶν προτραπέντων παραστήσωσι τὸ κεκαθάρθαι ὑπὸ τοῦ λόγου καὶ ὅση δύναμις βέλτιον βεβιωκέναι, τὸ τηνικάδε καλοῦμεν αὐτοὺς ἐπὶ τὰς παρ' ἡμῖν τελετάς *ib.*3.59(p.254.4; 997D); ἡ γὰρ ψ. συντραφεῖσα σώματι...ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὰ νοητὰ χειραγωγηθῆναι ἐδεῖτο. ὅθεν καὶ τοῖς προφήταις περὶ θεοῦ διαλεγομένοις ἐγένετο χρεία ἀνθρωπίνων μνησθῆναι μελῶν...ἵνα τὴν αἰσθητοῖς συντραφεῖσαν ψ. ἐκ τῶν ἀνθρωπίνων τὰ ὑπὲρ ἄνθρωπον παιδεύσωσι δόγματα Chrys.*exp.in Ps.*43(5.149A,B); ὅταν ἡμῶν ἡ ψ. ταῖς νοεραῖς ἐνεργείαις ἐπὶ τὰ νοητὰ κινεῖται, περιτταὶ μετὰ τῶν αἰσθητῶν αἱ αἰσθήσεις· ὥσπερ καὶ αἱ νοεραὶ δυνάμεις, ὅταν ἡ ψ. θεοειδὴς γινομένη, δι' ἑνώσεως ἀγνώστου ταῖς τοῦ ἀπροσίτου φωτὸς ἀκτῖσιν ἐπιβάλλῃ Dion.Ar.*d.n.*4.11(M.3.708D); commented ἡνίκα τὸν προφορικὸν λόγον κινοῦμεν, τοῦτον περί τινος τῶν αἰσθητῶν...καὶ γραφῶν δεόμεθα πρὸς δήλωσιν τοῦ λαλουμένου. εἰ δὲ ἀφ' ἑαυτῆς ἡ ψ. πρὸς τὰ νοητὰ κινεῖται διὰ τῶν ὀρθῶν ἐνεργειῶν, περιτταὶ μετὰ τῶν αἰσθητῶν αἱ αἰσθήσεις· ὑψηλὰ γὰρ φαντάζεται· ὅταν δὲ θεοειδὴς γένηται, προκόπτουσα ταῖς κατὰ μικρὸν ἀνατάσεσι, καὶ δι' ἑνώσεως ἀγνώστου πρὸς τὸ ἀπρόσιτον φῶς τὰς ἐπιβολὰς ἔχῃ, τότε καὶ αἱ νοηταὶ ἐνέργειαι περιτταὶ εἰσιν, ὡς καὶ αἰσθήσεις, ἐπειδὴ τὰ ὑψηλότερα τούτων ἡ ψ. διανοεῖται, λοιπὸν ἡνωμένη θεῷ Max.*schol.d.n.*4.11(M.4.261C,D); **4.** threefold way and threefold movement of soul, first adumbrated in a twofold 'perfection' ἡ γνωστικὴ ψ. ἀγιάζεται κατὰ τὴν ἀποχὴν τῶν γεωδῶν πυρώσεων...ὁ δὲ ἐν τῷ σώματι καθαρισμὸς τῆς ψ. πρῶτος οὗτός ἐστιν, ἡ ἀποχὴ τῶν κακῶν, ἣν τινες τελείωσιν ἠγοῦνται, καὶ ἔστιν ἁπλῶς τοῦ κοινοῦ πιστοῦ...ἡ τελείωσις αὕτη· τοῦ δὲ γνωστικοῦ μετὰ τὴν ἄλλοις νομιζομένην τελείωσιν ἡ δικαιοσύνη εἰς ἐνέργειαν εὐποιΐας προβαίνει Clem.*str.*6.7(p.462.6ff.; M.9.281B); fully developed ἐδιδάχθημεν γὰρ πολλαχοῦ τῆς γραφῆς καὶ παιδικὴν κατάστασιν τῆς ψ.· καὶ ἄλλην ἀκμαστικήν· καὶ ἄλλην ἤδη πρεσβύτου. οἷον, ὡς παρὰ Παύλου μεμαθήκαμεν, οἱ ἐν Κορίνθῳ νήπιοι ἦσαν· διόπερ καὶ γάλακτος ἔτι ἐδέοντο...νεανίσκος δὲ κατὰ ψ. ἐστιν ὁ πᾶσι τοῖς μέρεσι τῆς ἀρετῆς κατηρτισμένος πρὸς τὸ τέλειον, ὁ τῷ πνεύματι ζέων...πρεσβύτερος δὲ κατὰ ψ., ὁ τετελειωμένος κατὰ τὴν φρόνησιν Bas.*hom.*12.13(2.108E–109A; M.31.412C–413A); ψ. δὲ κίνησίς ἐστι, κυκλικὴ μὲν ἡ εἰς ἑαυτὴν εἴσοδος ἀπὸ τῶν ἔξω, καὶ τῶν νοερῶν αὐτῆς δυνάμεων ἡ ἐνοειδὴς συνέλιξις...ἑλικοειδῶς δὲ ἡ ψ. κινεῖται καθ' ὅσον οἰκείως ἑαυτῇ τὰς θείας ἐλλάμπεται γνώσεις, οὐ νοερῶς καὶ ἑνιαίως, ἀλλὰ λογικῶς καὶ διεξοδικῶς...τὴν κατ' εὐθεῖαν δέ, ὅταν οὐκ εἰς ἑαυτὴν εἰσιοῦσα καὶ ἑνικῇ νοερότητι κινουμένη...ἀλλὰ πρὸς τὰ περὶ ἑαυτὴν προϊοῦσα, καὶ ἀπὸ τῶν ἔξωθεν Dion.Ar.*d.n.*4.9(M.3.705A); interpreted, Max. *schol.d.n.*4.9(M.4.256–257D); **5.** relation between body and soul in progress to perfection βαπτίσθητε τὴν ψ. ἀπὸ ὀργῆς...καὶ ἰδοὺ τὸ σῶμα καθαρόν ἐστι Just.*dial.*14.2(M.6.504D); ἐπιδεκτικὸν γίνεται τῆς... ψ. τὸ οἰκητήριον τοῦτο καὶ πνεύματος ἁγίου κατὰ τὸν τῆς ψ. τε καὶ σώματος ἁγιασμὸν καταξιοῦται τῷ τοῦ σωτῆρος καταρτισμῷ τελειούμενον Clem.*str.*4.26(p.320.26f.; M.8.1373A); εἰ δὲ ἡ ψ. ... τοῖς θείοις ἐντραφῇ μαθήμασιν, υἱός ἐστι ἐλευθέρων ,καὶ ὁρμὰς ἔχει λογισμῶν...τά τε σώματι

καθήκοντα, καὶ ὅσα τῇ ψ. κατάλληλα Olymp.*Eccl.*10:16f.(M.93.604B)'; διὰ γὰρ τοῦ σώματος τούτου περισπᾶται ἡ ψ. ἀπὸ τῶν παθῶν αὐτῆς Dor. *doct.*12.2(M.88.1752A); ἀρεταὶ ψ. εἰσιν αὗται· ἀγάπη, ταπείνωσις, πραΰτης, μακροθυμία...ἀρεταὶ δὲ σώματος...νηστεία, χαμευνία, ἀγρυπνία Max.*qu.dub.*1(M.90.785C); διῃρημένης γὰρ εἰς ψ. τε καὶ αἴσθησιν τῆς τε λύπης καὶ ἡδονῆς· ὁ τὴν τῆς ψ. περιποιούμενος ἡδονήν, τὴν δὲ τῆς αἰσθήσεως καταδεχόμενος λύπην, δόκιμος γίνεται καὶ τέλειος id. *qu.Thal.*58(M.90.593D); **6.** relation between soul and νοῦς: ἐπειδὴ νεκροῦται ὁ νοῦς, ὅσον ἡ ψ. μεριμνᾷ τὰ ἔξωθεν, καὶ λοιπὸν τὰ ἔνδοθεν πάθη πράττει τὰς ἐνεργείας αὐτῶν ἀδιαφόρως. ἐὰν οὖν ἡ ψ. ἀκούσῃ τοῦ λόγου τοῦ 'Ιησοῦ...τότε ἐγείρεται ὁ νοῦς, καὶ ἵσταται, ἕως οὗ ἀπορρίψῃ αὐτὰ ἐκ τοῦ οἴκου αὐτοῦ, προσέχων τῇ ψ. αὐτοῦ ἀδιαλείπτως, καὶ φυλάττων αὐτὴν μὴ ὑποστρέψαι εἰς τὰ ὀπίσω ἐπὶ τοὺς ἀδικήσαντας αὐτήν. ἡ ψ. γὰρ ὁμοία ἐστὶ γυναικὶ νεάνιδι οὔσῃ μετὰ ἀνδρός, ἥτις ὅταν ἀπέλθῃ ἐπὶ ξένης ὁ ἀνὴρ αὐτῆς, ἄφοβος καὶ ἀναίσχυντος γίνεται... ἐπὰν δὲ ἔλθῃ ὁ ἀνὴρ αὐτῆς εἰς τὸν οἶκον αὐτοῦ, παραχρῆμα φοβουμένη ἀφίσταται ἀπὸ τῶν πραττομένων ὑπ' αὐτῆς, καὶ φροντίζει κατὰ τὸ θέλημα τοῦ ἀνδρός...τοιοῦτός ἐστιν ὁ νοῦς. ἐὰν ἐγερθῇ, φροντίζει τῆς ψ. καὶ φυλάττει αὐτὴν...ἕως γεννήσῃ μετ' αὐτοῦ καὶ ἐκθρέψῃ τὰ τέκνα αὐτῆς, καὶ λοιπὸν οἱ ἀμφότεροι μία καρδία γίνονται, καὶ ὑποτάσσεται ἡ ψ. τῷ νοΐ Esaias *or.*25; τὸ αἰσθητὸν γύναιον σημαίνει ψ. πρακτικήν· ᾗ ὁ νοῦς συγγενόμενος ἀποτίκτει τὰς ἀρετάς Thal.*cent.*2.27(M.91.1440C); ψ. καθαρὰ ἡ τὸν θεὸν ἀγαπῶσα, καὶ νοῦς ἐστιν καθαρὸς ὁ ἀγνοίας χωρισθείς *ib.*2.79(1445A); ἀνάγνωσις καὶ προσευχὴ νοῦν καθαίρουσιν· ἀγάπη δὲ καὶ ἐγκράτεια τὸ παθητικὸν τῆς ψ. *ib.*2.84(1445C).

D. the perfect soul; **1.** possessing various virtues: prudence, Clem.*str.*7.12(p.52.10,14; M.9.500C,D); obedience and purity, id. *q.d.s.*18(p.171.26; M.9.624A); Meth.*symp.*11(p.139.27; M.18.217D); Nil.*epp.*3.185(M.79.469D); humility, Mac.Aeg.*hom.*10.4(M.34.541D); simplicity, Gr.Nyss.*anim.et res.*(M.46.93C–96A); sobriety and vigilance, Chrys.*David* 1.5(4.756E); id.*hom.23.2 in Gen.*(4.207D); ψ. πραεῖα θρόνος ἁπλότητος...ψ. ἠπία χωρήσει λόγους σοφίας...ψ. εὐθὴς σύμβιος ταπεινώσεως...ψ. πραέων πλησθήσονται γνώσεως Jo.Clim. *scal.*26(M.88.981A,B); ψ. δέ ἐστι τελεία, ἡ ταῖς ἀρεταῖς ἀνακραθεῖσα Thal.*cent.*2.54(M.91.1444A); **2.** in its relation to Christ; **a.** in gen. παρόντος αὐτῷ τοῦ πατρὸς καὶ συμβασιλεύοντος τῷ πατρὶ τοῦ Χριστοῦ ἐν τῇ τετελειωμένῃ ψ. Or.*or.*25.1(p.357.7; M.11.496C); id.*mart.*49(p.45.8; M.11.633A); cf. *cum ipse utique qui est dominus et creator animae Christus Jesus indumentum sanctis esse dicatur* [cf.Rom.13:14]... *sicut ergo Christus indumentum est animae, ita...anima indumentum esse dicitur corporis,* id.*princ.*2.3.2(p.115.15ff.; M.11.189B); ἡ ψ. ἡμῶν κατ' αὐτὸν [sc. Χριστόν] μεμορφῶσθαι Bas.*ep.*159(3.247E; M. 32.620B); χρὴ...ἀνενίζειν ἡμᾶς εἰς αὐτὸν [sc. κύριον] πιστεύοντας, καὶ ἀγαπῶντας αὐτὸν...ἵνα γράψας τὴν ἑαυτοῦ εἰκόνα τὴν ἐπουράνιον, ἀποστείλῃ ἐν ταῖς ψ. ἡμῶν Mac.Aeg.*hom.*30.4(M.34.724C); τὴν ψ. μεταπλασθῆναι κατὰ τὴν γνώμην πρὸς τὴν θείαν ὁμοίωσιν, καὶ γενέσθαι ...πνεύματος ἁγίου...οἰκητήριον,...ἵσα θεῷ τῆς ψ. κατὰ τὴν χάριν τῆς κλήσεως ἄσυλον φυλαττούσης ἐν ἑαυτῇ τῶν δωρηθέντων καλῶν τὴν ὑπόστασιν· καθ' ἣν ἀεὶ θέλων Χριστὸς γεννᾶται μυστικῶς, διὰ τῶν σωζομένων σαρκούμενος· καὶ μητέρα παρθένον ἀπεργαζόμενος τὴν γεννῶσαν ψ. Max.*or.dom.*(M.90.889B,C); **b.** as a bride συνεχῶς ἡ ψ. τὸν νυμφίον λόγον ἐπιζητεῖ· καὶ εὑροῦσα πάλιν ἑτέροις ἀποροῦσα ζητεῖ· κἀκεῖνα θεωρήσασα ποθεῖ τὴν ἑτέρων ἀποκάλυψιν· καὶ τυχοῦσα τούτων, ἐπ' ἄλλοις εὐχεται τὸν νυμφίον ἐπιδημεῖν Or.*schol.in Cant.*5:9(M.17. 273C); *ib.*6:7f.(277C,D); φησὶ πρὸς τὴν νύμφην ψ. θεὸς εἶναι ζηλωτής id. *mart.*9(p.10.4; M.11.576B); ψ. ἣν ἂν μνηστεύσηται νύμφην ὁ ἐπουράνιος νυμφίος Χριστός, πρὸς τὴν ἑαυτοῦ μυστικὴν...κοινωνίαν...ἐν πολλῇ σπουδῇ γνησίως ἀρέσκειν ὀφείλει τῷ αὐτῆς μνηστῆρι Χριστῷ...καὶ τὸ πνεῦμα ἐν μηδενὶ λυπεῖν...ἰδοὺ ἡ τοιαύτη ψ. πάντων τῶν τοῦ κυρίου ἀγαθῶν δέσποινα καθίσταται, καὶ αὐτὸ τὸ ἔνδοξον τῆς θεότητος αὐτοῦ, σῶμα αὐτῆς τυγχάνει Mac.Aeg.*hom.*15.2(M.34.576C,D); v. νύμφη, νυμφίος; **3.** in its relation to H. Ghost πνεῦμα δὲ τοῦ θεοῦ...παρὰ δέ τισι τοῖς δικαίως πολιτευομένοις καταγινόμενον καὶ συμπεριπλεκόμενον τῇ ψ. διὰ προαγορεύσεων ταῖς λοιπαῖς ψ. τὸ κεκρυμμένον ἀνήγγειλε Tat. *orat.*13(p.15.2; M.6.836A); χρὴ...ἡμᾶς...ζευγνύναι τε τὴν ψ. τῷ πνεύματι τῷ ἁγίῳ καὶ τὴν κατὰ θεὸν συζυγίαν πραγματεύεσθαι *ib.*15(p.16.5; 837A); τὸ πνεῦμα ᾧκείωται τῇ ὑπ' αὐτοῦ φερομένῃ ψ. Clem.*paed*1.2.2 (p.168.10; M.8.412A); κεκοσμημένη ψ. ἁγίῳ πνεύματι *ib.*3.11(p.272.4; 640A); ἡ ψ. δὲ ἐπαιρομένη καὶ τῷ πνεύματι ἑπομένη τοῦ τε σώματος χωριζομένη καὶ οὐ μόνον ἑπομένη τῷ πνεύματι ἀλλὰ καὶ ἐν αὐτῷ γινομένη,...πῶς οὐχὶ ἤδη ἀποτιθεμένη τὸ εἶναι ψ. πνευματικὴ γίνεται; Or. *or.*9.2(p.319.4ff.; M.11.444D); ἄγγελοι...χαίρουσι τῇ ψ. τῇ ἐκ πνεύματος γεννηθείσῃ, καὶ γενομένῃ πνεῦμα. τοῦτο γὰρ τὸ σῶμα ὁμοίωμα τυγχάνει τῆς ψ., ἡ δὲ ψ. εἰκὼν τοῦ πνεύματος ὑπάρχει· καὶ ὥσπερ τὸ σῶμα χωρὶς τῆς ψ. νεκρόν ἐστι...οὕτως ἄνευ τῆς ἐπουρανίου ψ., χωρὶς τοῦ θείκοῦ πνεύματος, νεκρὰ τυγχάνει ἀπὸ τῆς βασιλείας ἡ ψ. Mac.Aeg.*hom.*30.3 (M.34.724A); ὅταν ἡ ψ. σου κοινωνήσῃ τῷ πνεύματι, καὶ εἰσέλθῃ ψ. ἐπουράνιος εἰς τὴν ψ. σου, τότε εἶ τέλειος ἄνθρωπος *ib.*32.6(737C); *ib.*32. 9(740B); ἐὰν ἀναμφιβόλῳ...κινήσει ἡ ψ. πρὸς τὴν ἀγάπην ἐξάπτηται τοῦ θεοῦ...εἰδέναι δεῖ τοῦ ἁγίου πνεύματος εἶναι τὴν ἐνέργειαν. ἡδυνομένη γὰρ ὅλη ὑπ' ἐκείνης...γλυκύτητος οὐδὲν ἕτερον δύναται τότε ἐννοεῖν, ἐπειδὴ ἀνενδότῳ εὐφραίνεται χαρᾷ Diad.*perf.*33(p.36.18); **4.** attaining perfect contemplation ὅταν γὰρ ψ. γενέσεως ὑπεξαναβᾶσα καθ' ἑαυτήν τε ᾖ καὶ ὁμιλῇ τοῖς εἴδεσιν...οἷον ἄγγελος ἤδη γενόμενος σὺν Χριστῷ τε ἔσται, θεωρητικὸς ὤν Clem.*str.*4.25(p.317.15; M.8.1364C); ἐκείνας φημὶ τὰς γνωστικὰς ψ., τῇ μεγαλοπρεπείᾳ τῆς θεωρίας ὑπερβαινούσας ἑκάστης ἁγίας τάξεως τὴν πολιτείαν...οὐκ ἐν κατόπτροις...ἔτι τὴν θεωρίαν ἀσπαζομένας τὴν θείαν, ἐναργῆ δὲ ὡς ἔνι μάλιστα καὶ ἀκριβῶς εἰλικρινῆ τὴν ἀκόρεστον ὑπερφυῶς ἀγαπώσαις ψ. ἑστιωμένας θέαν *ib.*7.3 (p.10.7ff.; M.9.416C); πύργοι δὲ ἐκλήθησαν, οἱ τὰ ἀρεστὰ τῷ νυμφίῳ ποιοῦντες, σκοπευτήριον ἔχοντες τὴν θεωρητικὴν ψ., ἐκ μετεώρου σκοπεύουσαν ἅπαντα Or.*schol.in Cant.*7:4(M.17.281C); ψ. τὸ λογικὸν ἔχουσι διεξοδικῶς μὲν καὶ κύκλῳ περὶ τὴν τῶν ὄντων ἀλήθειαν περιπορευόμεναι, καὶ τῷ μεριστῷ καὶ τῷ παντοδάπῳ τῆς ποικιλίας ἀπολειπόμεναι τῶν ἐνιαίων νοῶν· τῇ δὲ τῶν πολλῶν εἰς τὸ ἓν συνελίξει, καὶ τῶν ἰσαγγέλων νοήσεων, ἐφ' ὅσον ψυχαῖς οἰκεῖον καὶ ἐφικτόν, ἀξιούμεναι Dion.Ar.*d.n.*7.2(M.3.868B,C); commented, Max.*schol.d.n.*7.2 (M.4.345C); **5.** ref. mystical union; **a.** in gen. φθάνει δὲ ἡ θεία δύναμις, καθάπερ φῶς, ὅλην διΐδεῖν τὴν ψ. ... εἰς τὸ βάθος τῆς ψ. ἀπάσης τὸ φῶς τῆς δυνάμεως ἐκλάμπει Clem.*str.*7.7(p.29.8,12; M.9.453A,B); ἐνταῦθα ...τῆς γνωστικῆς ψ. ἡ τελείωσις, πάσης καθάρσεως τε καὶ λειτουργίας ὑπεκβᾶσαν σὺν τῷ κυρίῳ γίγνεσθαι *ib.*7.10(p.42.1; 481A); ἡ γνωστικὴ ψ. ... καθαρὰ τέλεον γενομένη...πνευματικὴ γὰρ ὅλη γενομένη πρὸς τὸ συγγενὲς χωρήσασα ἐν πνευματικῇ τῇ ἐκκλησίᾳ μένει εἰς τὴν ἀνάπαυσιν τοῦ θεοῦ *ib.*7.11(p.49.16ff.; 496A); ἡ τῷ κυρίῳ προσκολληθεῖσα ψ. εἰς τὸ γενέσθαι πρὸς αὐτὸν ἓν πνεῦμα Gr.Nyss.*virg.*15(p.310.10; M.46. 381C); δεῖ γὰρ τὴν ψ. τὴν ἐν ἀληθείᾳ πιστεύουσαν Χριστῷ, μετατεθῆναι ...εἰς ἑτέραν θείαν φύσιν, καὶ καινὴν αὐτὴν ἀπεργασθῆναι διὰ τῆς δυνάμεως τοῦ ἁγίου πνεύματος Mac.Aeg.*hom.*44.5(M.34.781B); ἐπαναπαύεται ὁ κύριος τῇ ἀγαθῇ τῆς ψ. προαιρέσει, θρόνον δόξης αὐτὴν ἐργαζόμενος, ἐπικαθήμενός τε καὶ ἐπαναπαυόμενος ἐπ' αὐτὴν...ἐστὶν ἡ ψ. ἡ βαστάζουσα τὸν θεόν, μᾶλλον δὲ βασταζομένη ὑπὸ τοῦ θεοῦ *ib.*33.2(741D); αἱ ψ., τοὺς παντοδαποὺς αὐτῶν λόγους ἑνοῦσαι, καὶ πρὸς μίαν νοερὰν συνάγουσαι καθαρότητα, προβαίνουσιν οἰκείως ἑαυταῖς, ὁδῷ καὶ τάξει διὰ τῆς ἀΰλου...νοήσεως ἐπὶ τὴν ὑπὲρ νόησιν ἕνωσιν Dion.Ar. *d.n.*11.2(M.3.949D); ἆρα τὰ θεῖα οὐ πάσχει καὶ πᾶσα ψ., ἡ τὴν θείαν καταξιωθεῖσα κομίσασθαι εἰρήνην; Max.*myst.*5(M.91.680D); cf.id.*carit.*3. 98(M.90.1048A); **b.** through *via negativa* αὐτοὶ [sc. θεόλογοι] τὴν διὰ τῶν ἀποφάσεων ἄνοδον προτετιμήκασιν, ὡς ἐξιστῶσαν τὴν ψ. τῶν ἑαυτῇ συμφύλων, καὶ διὰ πασῶν τῶν θείων νοήσεων ὁδεύουσαν, ὧν ἐξήρηται τὸ ὑπὲρ πᾶν ὄνομα...ἐπ' ἐσχάτων δὲ τῶν ὅλων αὐτῷ συνάπτουσαν Dion. Ar.*d.n.*13.3(981B); **c.** likened to union of iron with fire ἔοικε γὰρ ἡ ψ. σιδήρῳ, ὅτι ἐὰν ἀμεληθῇ ἰοῦται, ἐπειδὰν δὲ πυρωθῇ τὸ πῦρ καθαρίζει αὐτό. καὶ ὅσον ἐστὶν εἰς τὸ πῦρ, ὅμοιον τοῦ πυρός ἐστι, καὶ οὐδεὶς δύναται αὐτὸ κατέχειν, ὅτι πῦρ ἐστι. τοιαύτη ἐστὶν ἡ ψ. ὅσον μένει μετὰ τοῦ θεοῦ καὶ ἀδολεσχεῖ αὐτῷ, πῦρ γίνεται καὶ κατακαίει πάντας τοὺς ἐχθροὺς αὐτῆς...καὶ ἀγνίζει αὐτὴν ἐν καινότητι ὡς τὸ σίδηρον Esaias *or.*25; ὁπόταν ἀπὸ τῶν ἔξωθεν σχολάσασα ᾖ ἡ ψ., τότε οἷά τις φλὸξ περικυκλώσασα ταύτην, ὡς σίδηρον καθάπαξ τῷ πυρὶ πεπυρακτωμένην ὅλην καθίστησι, καὶ ἔστι ψ. μὲν ἡ αὐτή, οὐκέτι δὲ καὶ ἀπτή, ὡς οὐδὲ ὁ πυρακτωθεὶς σίδηρος, ταῖς ἔξωθεν ἐπαφαῖς ‡Max.*cap.al.*103(M.90. 1424B); **d.** effects of union γυμνὴν τῆς ὑλικῆς δορᾶς γενομένην τὴν γνωστικὴν ψ. ἄνευ τῆς σωματικῆς φλυαρίας καὶ τῶν παθῶν πάντων...τῷ φωτὶ καθιερωθῆναι ἀνάγκη Clem.*str.*5.11(p.371.8; 104A); αἱ τῶν ἐναρέτων ἀνθρώπων ἐπίνοιαι κατὰ ἐπίπνοιαν θείαν γίγνονται, διατιθεμένης πως τῆς ψ. καὶ διαδιδομένου τοῦ θείου θελήματος εἰς τὰς ἀνθρωπίνας ψ. *ib.*6.17(p.513.3f.; 389A); exeg. Lam.1:1 'Ιερουσαλὴμ εὐθηνοῦσα...ἡ θεία ἐστὶ ψ. καὶ οὐ θαυμαστόν, εἰ οὐ μόνον οἰκία...ἀλλὰ πασῶν πόλεων διαφέρουσα καὶ παρὰ θεῷ τετιμημένη 'Ιερουσαλὴμ χρηματίζει ἡ τελεία ψ. Or.*fr.8 in Lam.*(pp.237.29,238.3; M.13.609A,B); *ib.*19(p.242.27; 616C); ψυχῆς γὰρ μυστήριον ἐθεώρει [sc. Ezech.], τῆς μελλούσης δέχεσθαι τὸν ἑαυτῆς κύριον, καὶ θρόνος δόξης αὐτῷ γενέσθαι. ψ. γὰρ ἡ καταξιωθεῖσα κοινωνῆσαι τῷ πνεύματι τοῦ φωτὸς αὐτοῦ...ὅλη φῶς γίνεται, καὶ ὅλη πρόσωπον, καὶ ὅλη ὀφθαλμός Mac.Aeg.*hom.*1.2(M.34. 452A); ψ. ἡ ἔχουσα τὸν δεσπότην αὐτῆς πρὸς ἑαυτὴν καὶ ἐν αὐτῇ καταμένοντα, πάσης ὡραιότητος καὶ εὐπρεπείας γέμει *ib.*33.3(744A); τὴν μεγάλην καὶ φιλόσοφον ψ. οὐδὲν τῶν ἐν τῷ παρόντι βίῳ λυπηρῶν δύναται δακεῖν, οὐκ ἔχθραι, οὐ κατηγορίαι...τοιαύτη ἦν ἡ τοῦ Παύλου ψ., πάσης ἀκρωρείας ὑψηλότερον τόπον τὸν τῆς φιλοσοφίας καταλαβοῦσα τῆς πνευματικῆς Chrys.*hom.3.1 in Phil.*(11.211D); cf.id.*hom.9.3 in 1 Thess.* 11.490B,C); ἡ γὰρ τῆς ψ. ἀνδρεία οὐκ ἐν τῇ ἡσυχίᾳ δείκνυται μόνον τοῦ στόματος, ἀλλὰ καὶ ἐν τῇ τῶν λογισμῶν ἀνδραγαθίᾳ, καὶ τῇ τῶν ὕβρεων,

καὶ ἀδικιῶν εὐσταθείᾳ Nil.*Eulog.*18(M.79.1117A); ‡Nil.*perist.*3(M.79.905C); *ἐνοειδῆ γενομένην ψ.*, καὶ *πρὸς ἑαυτὴν καὶ τὸν θεὸν συναχθεῖσαν, οὐκ ἔσται ὁ εἰς πολλὰ κατ' ἐπίνοιαν αὐτὴν ἔτι διαιρῶν λόγος, τῷ...ἑνὶ λόγῳ τε καὶ θεῷ κατεστεμμένην τὴν κεφαλήν· ἐν ᾧ κατὰ μίαν ἀπερινόητον ἁπλότητα πάντες οἱ τῶν ὄντων λόγοι ἑνοειδῶς...ὑφεστήκασιν* Max. *myst.*5(M.91.681B).

E. senses of the soul, v. *αἰσθητήριον*; **1.** definitions *ἡ σύνεσις ὄψις ἐστὶ ψ.* Clem.*paed.*1.9(p.135.9; M.8.341C); *ὀφθαλμὸν...τὸν τῆς ψ. φησι, τὸ διορατικὸν ἐκεῖνο καὶ λογικόν, ὅπερ ἡ ἔννοια τῶν οἰκείων ἁμαρτημάτων ταράττειν εἴωθεν* Chrys.*exp.in Ps.*6(5.46E); **2.** in gen. *ἐμβλέψωμεν τοῖς ὄμμασιν τῆς ψ. εἰς τὸ μακρόθυμον αὐτοῦ βούλημα* 1*Clem.*19.3; *οἱ τῆς ψ. ὀφθαλμοί* Just.*dial.*134.5(M.6.788B); *ὑπεχέτω τὰ ὦτα τῆς ψ.* Clem.*str.*7.16(p.72.36; M.9.541C); *ἀνοίξαντος τοῦ λόγου τοὺς ὀφθαλμοὺς τῆς ψ. ἡμῶν* Or.*Cels.*6.67(p.137.15; M.11.1400C); **3.** needing purification and enlightenment *τό τε ἴδιον τοῦ ἀνθρώπου, τὸ ὄμμα τῆς ψ., ἐκκαθαίρειν* Clem.*paed.*2.1(p.154.7; M.8.377C); *ὁ δὲ λόγος ὁ ὑγιής, ὃς ἐστιν ἥλιος ψ., δι' οὗ μόνου ἔνδον ἀνατείλαντος ἐν τῷ βάθει τοῦ νοῦ αὐτῆς κατανγάζεται τὸ ὄμμα* id.*prot.*6(p.52.15; M.8.173B); *τὸν ὀφθαλμὸν τῆς ψ. ἀποκαθαρθῆναι, ὥστε πᾶσαν τὴν ἀπὸ τῆς ἀγνοίας ἐπισκότησιν, οἱονεί τινα λήμην, ἀφαιρεθέντα, δύνασθαι ἀνατενίζειν τῷ κάλλει τῆς δόξης τοῦ θεοῦ, οὐ μικροῦ ἔργου κρίνω* Bas. *ep.*150.1(3.239E; M.32.601B); *εἴ τις ἀκριβῶς ἐθέλοι τὴν αἰτίαν σκοπεῖν τῶν...μοχθηρῶν ὑπολήψεων, οὐκ ἄν μοι δοκεῖ ἄλλην εὑρεῖν, ἢ τὸ μὴ ἀκριβῶς ἡμῶν γεγυμνάσθαι τὰ τῆς ψ. αἰσθητήρια πρὸς τὴν τοῦ καλοῦ καὶ μὴ τοιούτου διάκρισιν* Gr.Nyss.*virg.*11(p.292.22; M.46.364D); **4.** apprehending the divine *Χριστιανὸς...εὐχόμενος, μύσας τοὺς τῆς αἰσθήσεως ὀφθαλμοὺς καὶ ἐγείρας τοὺς τῆς ψ., ὑπεραναβαίνει τὸν ὅλον κόσμον* Or.*Cels.*7.44(p.196.1; M.11.1485B); ref. Christ *ἐγὼ δέ φημι ὅτι καὶ μετὰ τὴν ἐνανθρώπησιν ἀεὶ εὑρίσκεται τοῖς ἔχουσιν ὀφθαλμοὺς ψ. ὀξυδερκεστάτους θεοπρεπέστατος καὶ ἀληθῶς θεόθεν πρὸς ἡμᾶς κατελθών* *ib.*3.14(p.213.26; 937A); *ὁ δὲ κεκωφωμένος τὴν τῆς ψ. ἀκοὴν ἀναισθητεῖ λέγοντος θεοῦ* *ib.*2.72(p.194.18; 909A); *τὰ τῆς κεκαθαρμένης ψ. ὄμματα ὑπὸ νοεροῦ φωτὸς καταυγαζόμενα* Eus.*Is.*6:1 (M.24.125A); *τοὺς ὀφθαλμοὺς τῆς ψ. διανοίγοντος εἰς κατανόησιν ὧν βούλεται θεαμάτων* †Bas.*Is.*proem.3(1.380B; M.30.124B); *αἰσθητήρια δὲ τάχα μὲν τὰ τῆς ψ. κινήματα καὶ διανοήματα, καὶ τούτων μάλιστα, ὅσα ἐκ τῆς αἰσθήσεως, οἷς ὁ δίκαιος σπαράσσεται, καὶ θερμαίνεται... καὶ οὐδὲ καθεκτός ἐστι διὰ τὴν ζέσιν τοῦ πνεύματος* Gr.Naz.*or.*17.1(M. 35.965A); *μακάριος μὲν μοναχός, ὁ τοῖς τῆς ψ. ὄμμασιν ταῖς νοεραῖς δυνάμεσιν ἐνατενίζειν δυνάμενος* Jo.Clim.*scal.*7(M.88.809A); **5.** relation between physical and spiritual senses, exeg. Gen.3:5ff. *διηνοίχθησαν...αὐτῶν οἱ ὀφθαλμοὶ τῆς αἰσθήσεως, οὓς καλῶς ἦσαν μύσαντες, ἵνα μὴ περισπώμενοι ἐμποδίζωνται βλέπειν τῷ τῆς ψ. ὀφθαλμῷ· οὓς δὲ τέως εἶχον βλέποντας τῆς ψ. ὀφθαλμοὺς καὶ εὐφραινομένους ἐπὶ τῷ θεῷ...τούτους οἶμαι διὰ τὴν ἁμαρτίαν ἔμυσαν* Or.*Cels.*7.39(p.190. 2f.; M.11.1476C); contrasted with Jo.9:39 *μὴ βλέποντας μὲν αἰνιττόμενος τοὺς τῆς ψ. ὀφθαλμούς, οὓς ὁ λόγος ποιεῖ βλέπειν, βλέποντας δὲ τοὺς τῶν αἰσθήσεων· τούτους δὲ ἐτύφλου ὁ λόγος, ἵνα ἀπερισπάστως ἡ ψ. βλέπῃ ἃ δεῖ. παντὸς οὖν τοῦ κατὰ τρόπον Χριστιανίζοντος ὁ τῆς ψ. ἐγήγερται ὀφθαλμὸς καὶ ὁ τῆς αἰσθήσεως μέμυκε· καὶ ἀνάλογον τῇ ἐγέρσει τοῦ κρείττονος ὀφθαλμοῦ καὶ τῇ μύσει τῶν ὄψεων τῆς αἰσθήσεως νοεῖται καὶ θεωρεῖται ὁ ἐπὶ πᾶσι θεὸς καὶ ὁ υἱὸς αὐτοῦ* *ib.* (p.190.9ff.; 1476D–1477A); exeg. Cant.4:9ff. *ἐκαρδίωσας ἡμᾶς...ἑνὶ ἀπὸ ὀφθαλμῶν σου τὸν διορατικὸν τῆς φρονήσεως ὀφθαλμὸν δείκνυσιν... δισσὴν γὰρ ὄψεως δύναμιν εἶναι παντί που καταφανές, μίαν μὲν ψ., θατέραν δὲ σώματος* Meth.*symp.*7.2(p.72.24; M.18.128A).

F. types and symbols of soul; **1.** exeg.; ref. Exodus *ταῦτα... μυστήριόν ἐστι ψ., τῆς ἐν τῇ παρουσίᾳ τοῦ Χριστοῦ λυτρωθείσης* Mac. Aeg.*hom.*47.5(M.34.800B); *ib.*47.9(801C); *ἐξάγει οὖν τὴν ψ. ἐξ Αἰγύπτου καὶ τῆς ἐν αὐτῇ δουλείας...ἀπολαμβάνει γὰρ ἐξιοῦσα τοῦ σκότους ἡ ψ. τὰ ἀργυρᾶ καὶ χρυσᾶ σκεύη, ἤγουν τοὺς ἰδίους ἀγαθοὺς λογισμούς* *ib.*47.10(801D); *ἀπαίρουσιν υἱοὶ Ἰσραὴλ τὸ πάσχα ποιήσαντες· προκόπτει ἡ ψ., λαβοῦσα ζωὴν πνεύματος ἁγίου* *ib.*47.11(804A); ref. Is.1:2 *εἰπὼν...οὐρανὸν τὴν τοῦ γνωστικοῦ ψ.* Clem.*str.*4.26(p.323.14; M.8. 1377B); Is.4:2 *γῆν πολλαχοῦ τὴν ψ. ὁ λόγος λέγει τὴν ὑποδεχομένην τὰ τοῦ λόγου σπέρματα* †Bas.*Is.*1.19(1.391B; M.30.149A); Is.5:1ff. *ἀμπελὼν δὲ ἡ ψ., τὴν καρποφορίαν ἀξίαν τῆς ἐξ ἀρχῆς φυτείας καὶ τῆς τοῦ θεοῦ γεωργίας ἀπαιτουμένη* *ib.*1.21(1.393E; M.156B); Is.6:3 *Χερουβὶμ...σύμβολον δ' ἐστὶ λογικῆς μὲν τὸ πρόσωπον ψ.* Clem.*str.*5.6 (p.351.4; M.9.61C); Jer.4:19 *κοιλίαν μὲν τὴν ἑαυτοῦ ψ. ὀνομάζων, κατὰ τοὺς τῆς τροπῆς νόμους. οὕτω γὰρ εὑρίσκω πολλαχοῦ τῆς γραφῆς, εἴτε ὡς ἀπόκρυφον καὶ ἀόρατον (τὸ γὰρ αὐτὸ καὶ ψ. καὶ γαστρὸς τὸ κρύπτεσθαι)* Gr.Naz.*or.*17.1(M.35.965A); Cant.6.7f. *εἶναι γὰρ νύμφην μὲν τὴν ἐκκλησίαν, βασιλίσσας δὲ τὰς βασιλικὰς ἐκείνας τὰς πρὸ τοῦ κατακλυσμοῦ ψ. εὐαρέστους τῷ θεῷ γεγενημένας...παλλακὰς δὲ τὰς μετὰ τὸν κατακλυσμὸν τῶν προφητῶν, αἷς πρὸ τοῦ τὴν ἐκκλησίαν ἁρμοσθῆναι τῷ κυρίῳ παλλακίδων δίκην συγγινόμενος ἀληθεῖς ὑπέσπειρε λόγους... ἵνα γεννήσωσιν αὐτῷ συλλαβοῦσαι πίστιν...τοιαῦτα γὰρ ἀποβλαστήματα φύουσιν αἱ ψ.* Meth.*symp.*7.4(p.75.11; M.18.129C); Jo.2:14 *Ἰησοῦς...εἰσέρχεται εἰς τὴν Ἱεροσόλυμα καλουμένην ψ. ... τοῦ τ' ἐπὶ τὴν θεραπείαν τῆς ψ. ἀνάγοντος τὰ γεγραμμένα καὶ ἐπ' αὐτὴν αὐτὰ ἀλληγοροῦντος...μόνος δὲ εἰς τὴν Ἱεροσόλυμα ψ. οὐκ ἔρχεται, ἀλλ' οὐδὲ μετὰ ὀλίγων τινῶν* Or.*Jo.*10.28(18; p.201.23ff.; M.14.357B,C); **2.** Church as type of soul *εἰκόνα...εἶναι δύνασθαι τὴν ἁγίαν ἐκκλησίαν ἐδίδασκεν...τῆς ψ. καθ' ἑαυτὴν τῷ λόγῳ θεωρουμένης* Max. *myst.*5(M.91.672D); *κατὰ τὴν θεωρίαν εἰκαζομένη τῇ ψ. ἡ ἁγία... ἐκκλησία...καὶ πάντα συνάγουσα πρὸς τὸ τελούμενον ἐπὶ τοῦ θείου θυσιαστηρίου μυστήριον· ὅπερ διὰ τῶν κατὰ τὴν ἐκκλησίαν ἐπιτελουμένων ὁ δυνηθεὶς...σοφῶς μυηθῆναι, ἐκκλησίαν ὄντως θεοῦ, καὶ θείαν τὴν ἑαυτοῦ ψ. κατεστήσατο* *ib.*(681C,D); **3.** *ψ.* as term for spiritual sense of scripture, v. *γραφή*.

III. soul of Christ; **A.** outside Christol. controversies; **1.** in gen. *Χριστὸν γεγονέναι, καὶ σῶμα, καὶ λόγον, καὶ ψ.* Just.*2apol.*10.1 (M.6.460B); *περὶ δὲ τοῦ Ἰησοῦ εἰποιμεν ἄν, ἐπεὶ συμφέρον ἦν τῷ τῶν ἀνθρώπων γένει παραδέξασθαι αὐτὸν ὡς υἱὸν θεοῦ, θεὸν ἐληλυθότα ἐν ἀνθρωπίνῃ ψ. καὶ σώματι* Or.*Cels.*3.29(p.226.27; M.11.957A); *εἰ... σῶμα θνητὸν καὶ ψ. ἀνθρωπίνην ἀναλαβὼν ὁ ἀθάνατος θεὸς λόγος δοκεῖ τῷ Κέλσῳ ἀλλάττεσθαι καὶ μεταπλάττεσθαι, μανθανέτω ὅτι ὁ λόγος τῇ οὐσίᾳ μένων λόγος, οὐδὲν μὲν πάσχει ὧν πάσχει τὸ σῶμα ἢ ἡ ψ.* *ib.*4.15 (p.285.15,18; 1048A); *ib.*6.47(p.119.5; 1372C); cf. *filius dei...suscepit non solum corpus humanum, ut quidam putant, sed et animam, nostrarum quidem animarum similem per naturam, proposito vero et virtute similem sibi et talem, qualis omnes voluntates...verbi ac sapientiae indeclinabiliter posset implere,* id.*princ.*4.4.4(31; p.353. 11; M.11.405B); *illa anima, quae quasi ferrum in igne sic semper in verbo,...semper in deo, posita est, omne quod agit, quod sentit, quod intelligit, deus est,* *ib.*2.6.6(p.145.18; 214A); exeg. Ps.21:21 *μονογενῆ δὲ τὴν ἰδίαν ψ. εἶπεν, ὡς μόνην ἁμαρτίαν μὴ γνοῦσαν· ἀλλὰ καὶ ὅτι μόνη διὰ παντὸς εἶχε τοῦ θεοῦ λόγου τὴν ἕνωσιν* id.*Ps.*21:21(p.477); *θεὸς σαρκὶ διὰ μέσης ψ. ἀνεκράθη, καὶ συνεδέθη τὰ διεστῶτα τῇ πρὸς ἄμφω τοῦ μεσιτεύοντος οἰκειότητι* Gr.Naz.*or.*2.23(M.35.432B); *πάντα ὑπὲρ πάντων γενόμενος...σῶμα, ψ., νοῦς* *ib.*30.21(M.36.132B); *σάρκα φορεῖ διὰ τὴν σάρκα, καὶ ψ. νοερᾷ διὰ τὴν ἐμὴν ψ. μίγνυται* *ib.*45.9 (633C); *ὁ ἀχώρητος, χωρεῖται, διὰ μέσης ψ. νοερᾶς μεσιτευούσης θεότητι καὶ σαρκὸς παχύτητι* *ib.*(636A); Justn.*conf.*(p.74.27; M.86.997B) cit. s. *ὑπόστασις*; **2.** Origen's doctrine of pre-existence applied to soul of Christ *τάχα γὰρ ἡ μὲν τοῦ Ἰησοῦ ψ. ἐν τῇ ἑαυτῆς τυγχάνουσα τελειότητι ἐν θεῷ καὶ τῷ πληρώματι ἦν, καὶ ἐκεῖθεν ἐξεληλυθυῖα, τῷ ἀπεστάλθαι ἀπὸ τοῦ πατρός, ἀνέλαβεν τὸ ἐκ τῆς Μαρίας σῶμα* Or.*Jo.* 20.19(17; p.351.26; M.14.616A); *ib.*19.22(5; p.324.14; 568C); cf. *haec vero anima, quae in Jesu fuit, priusquam sciret malum, elegit bonum...oleo ergo laetitiae ungitur, cum verbo dei immaculata foederatione conjuncta est et per hoc sola omnium animarum peccati incapax fuit,* id.*princ.*4.4.4(31; p.354.10ff.; M.11.405C); *ὥσπερ ὁ υἱὸς καὶ πατὴρ ἕν εἰσιν, οὕτω καὶ ἦν εἵληφεν ὁ υἱὸς ψ. καὶ αὐτὸς ἕν εἰσιν* *ib.*4.4.4(31; p.354.16; 406A); rejected *εἰκότως καταγνώσονται ἑαυτῶν πάντες οἱ νομίσαντες πρὸ τῆς Μαρίας...τινὰ ἐσχηκέναι ψ. ἀνθρωπίνην τὸν λόγον* Ath.*ep.Epict.*8(p.13.9; M.26.1064B); **3.** soul as mediating between his body and his Godhead, cf. *illa anima...ab initio creaturae et deinceps inseparabiliter ei...inhaerens utpote sapientiae et verbo dei...et tota totum recipiens...facta est cum ipso principaliter unus spiritus...hac ergo substantia animae inter deum carnemque mediante (non enim possibile erat dei naturam corpori sine mediatore misceri) nascitur, ut diximus, deus-homo...sed neque rursum anima illa utpote substantia rationabilis, contra naturam habuit capere deum,* Or.*princ.*2.6.3(p.142.4ff.; M.11.211C,D); **4.** discussion whether his soul, regarded as an independent creature, is subject to change *εἰ δ' ἐπὶ τῆς Ἰησοῦ ψ. λαμβάνει τις τὴν μεταβολήν, αὐτῆς εἰς σῶμα ἐλθούσης, πευσόμεθα, πῶς λέγει μεταβολήν. εἰ μὲν γὰρ τῆς οὐσίας, οὐ δίδοται οὐ μόνον ἐπ' ἐκείνης, ἀλλ' οὐδὲ περὶ ἄλλου λογικῆς ψ.· εἰ δ' ὅτι πάσχει τι ὑπὸ τοῦ σώματος ἀνακεκραμένη αὐτῷ καὶ ἀπὸ τοῦ τόπου, εἰς ὃν ἐλήλυθε, καὶ τί ἄτοπον ἀπαντᾷ τῷ λόγῳ, ἀπὸ πολλῆς φιλανθρωπίας καταβιβάζοντι σωτῆρα τῷ γένει τῶν ἀνθρώπων;* id.*Cels.*4.18(p.288.1; M.11.1049D); **5.** ascent of his soul *ὅρα εἰ μὴ μυστικώτερον καὶ οὐ τοπικῶς περὶ τῆς Ἰησοῦ ψ. ἀκούσει τό· Ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν· ἡ γὰρ νοητὴ ἀνάβασις ἐκείνης τῆς ψ. ὑπερπεπήδηκεν καὶ πάντας τοὺς οὐρανούς καί, ὡς ἔστιν εἰπεῖν, ἤδη ἔφθασεν πρὸς αὐτὸν τὸν θεόν* id.*Jo.*19.22(5; p.323.28ff.; M.14.568B); **6.** symbol of his soul: leaven in eucharist *ἡ γὰρ ζύμη ἀντὶ ψ. τῷ φυράματι γίνεται* ‡Jo.D.*azym.* proem.(M.95.388A); **7.** acc. Carpocrates *τὸν δὲ Ἰησοῦν ἐξ Ἰωσὴφ γεγενῆσθαι...τὴν δὲ ψ. αὐτοῦ εὔτονον καὶ καθαρὰν γεγουνῖαν, διαμνημονεῦσαι τὰ ὁρατὰ μὲν αὐτῇ ἐν τῇ μετὰ τοῦ ἀγεννήτου θεοῦ*

περιφορᾷ...τὴν δὲ τοῦ Ἰησοῦ λέγουσι ψ. ἐννόμως ἠσκημένην ἐν Ἰουδαϊκοῖς ἔθεσι, καταφρονῆσαι αὐτῶν, καὶ διὰ τοῦτο δυνάμεις ἐπιτετελεκέναι, δι' ὧν κατήργησε τὰ ἐπὶ κολάσει πάθη προσόντα τοῖς ἀνθρώποις. τὴν οὖν ὁμοίως ἐκείνῃ τῇ τοῦ Χριστοῦ ψ. δυναμένην καταφρονῆσαι τῶν κοσμοποιῶν ἀρχόντων, ὁμοίως λαμβάνειν δύναμιν πρὸς τὸ πρᾶξαι τὰ ὅμοια Iren.*haer.*1.25.1(M.7.680A,B).

B. denials of Christ's human soul outside Apollinarian controversy; **1.** Eusebius: *Marcell.*2.4(p.57.8; M.24.821A) cit. s. σάρξ; ἐνοικῶν δ' ἐν τῇ σαρκὶ ὁ λόγος...εἰ μὲν τοῦ πατρὸς ἐκτὸς ἦν, ζῶν καὶ ὑφεστὼς καὶ τὴν σάρκα κινῶν ψυχῆς δίκην id.*e.th.*1.20(p.87.26; M.24.877A); *ib.*(p.88.5; 877B); where he speaks of Christ's ψ. he only reproduces scriptural passages, e.g.*d.e.*3.2(p.105.27ff.; M.22.181Dff.); *ib.*10.1(p.449.27ff.; 724Bff.); cf. θεὸς...ἅτε ψ. ἀψύχῳ σώματι, τῇ τῶν σωμάτων ἀλόγῳ φύσει τὸν αὐτοῦ λόγον ἐμβαλών *l.C.*12(p.231.30; M.20.1389C); **2.** Lucian of Antioch and Arians Λουκιανὸς γὰρ καὶ πάντες Λουκιανισταὶ ἀρνοῦνται τὸν υἱὸν τοῦ θεοῦ ψ. εἰληφέναι Epiph.*anc.*33 (p.42.20; M.43.77A); discussion of views, *ib.*35,36(p.44.26ff.; 80Dff.); teaching opposed, Eust.*fr.*56(p.91; M.18.689D) cit. s. ὁμογενής; ἡ ψ. τὴν συγγενῆ ψ. [sc. of penitent thief] ὁδηγοῦσα *ib.*(p.91; 692A); **3.** Pseudo-Ignatius ἐάν τις...νομίζῃ τὸν κύριον, οὐχὶ θεὸν μονογενῆ... ἀλλ' ἐκ ψ. καὶ σώματος αὐτὸν εἶναι νομίζῃ, ὁ τοιοῦτος ὅφις ἐστίν ‡Ign. *Philad.*6; ‡Ign.*Phil.*5; cf. τινὲς...ἀσεβοῦσι, ψιλὸν ἄνθρωπον εἶναι φανταζόμενοι τὸν κύριον, ἐκ ψ. καὶ σώματος αὐτὸν εἶναι νομίζοντες *Const. App.*6.26.2.

C. in Apollinarian controversy; **1.** Apollinarius' denial of a human soul in Christ ἔζησεν τὸ σῶμα θεότητος ἁγιασμῷ καὶ οὐκ ἀνθρωπίνης ψ. κατασκευῇ Apoll.*corp.et div.*(p.190.19; M.*PL.*8. 875A); ἤρκει καὶ μόνον τὸ αὐτοῦ θέλημα διὰ τοῦ ἐν τῇ σαρκὶ σκηνώσαντος λόγου πρὸς τὸ ταύτην ζωοποιεῖν καὶ κινεῖν, ἀναπληρούσης τῆς θείας ἐνεργείας τὸν τῆς ψ. τόπον καὶ τοῦ ἀνθρωπίνου νοός id.*fr.*2 (p.204.8)ap.Anast.S.*monoph.*(M.89.1181D); εἰπὼν γὰρ ὅτι ὁ λόγος σὰρξ ἐγένετο, οὐ προσέθηκε καὶ ψ. ἀδύνατον γὰρ δύο νοερὰ καὶ θελητικὰ ἐν τῷ ἅμα κατοικεῖν...οὐκοῦν οὐ ψ. ἀνθρωπίνης ἐπελάβετο ὁ λόγος, ἀλλὰ μόνου σπέρματος Ἀβραάμ· τὸν γὰρ τοῦ σώματος Ἰησοῦ ναὸν προδιέγραψεν ὁ ἄψυχος καὶ ἄνους καὶ ἀθελὴς τοῦ Σαλομῶντος ναός *ib.* (p.204.11ff.; 1184A); v. νοῦς; **2.** orthodox refutation; **a.** salvation of whole man requires a human soul in Saviour οὐδὲ γὰρ οἷόν τε ἦν, τοῦ κυρίου δι' ἡμᾶς ἀνθρώπου γενομένου, ἀνόητον εἶναι τὸ σῶμα αὐτοῦ, οὐδὲ σώματος μόνου, ἀλλὰ καὶ ψ. ἐν αὐτῷ τῷ λόγῳ σωτηρία γέγονεν Ath.*tom.*7(M.26.804B) but cf. infra f; ὅπου κεκράτητο ἡ ψ. ἡ ἀνθρωπίνη ἐν θανάτῳ, ἐκεῖ ἐπιδείκνυται ὁ Χριστὸς τὴν ἀνθρωπίνην ψ. ἰδίαν οὖσαν, ἵνα καὶ παρῇ ὡς ἄνθρωπος ὁ ἀκράτητος ἐν θανάτῳ, ὡς θεός· ἵνα...ὅπου ἐβασίλευσεν ὁ θάνατος ἐν μορφῇ ψ. ἀνθρωπίνης, παρὼν ὁ ἀθάνατος ἐπιδείξηται τὴν ἀθανασίαν ‡Ath.*Apoll.*1.17(M.28. 1124C); πῶς ἡ κράτησις τοῦ θανάτου τελείαν ἐλάμβανε τὴν λύσιν, εἰ τὸ κατὰ φρόνησιν ἁμαρτῆσαν, τὴν ψ. Χριστὸς ἀναμάρτητον οὐ συνεστήσατο ἐν ἑαυτῷ; ἔτι οὖν βασιλεύει ὁ θάνατος τοῦ ἔσωθεν ἀνθρώπου· τίνος γὰρ ἄλλου καὶ ἐβασίλευσέ ποτε, οὐχὶ ψ. τῆς ἐν φρονήσει ἁμαρτησάσης...ὑπὲρ ἧς τὴν ἰδίαν ψ. τέθεικεν ὁ Χριστὸς λύτρον ἀντιδιδούς; *ib.*1.19(1125C,D); τῷ σώματι καὶ τῇ ψ. ἑαυτὸν ἐπιμερίσας, διὰ μὲν τῆς ψ. ἀνοίγει τῷ ληστῇ τὸν παράδεισον Gr.Nyss.*Apoll.*17(M. 45.1156A); ὁ μονογενὴς θεός, αὐτὸς ἀνίστησι τὸν ἀνακραθέντα ἄνθρωπον αὐτῷ, καὶ χωρίσας τοῦ σώματος τὴν ψ., καὶ ἑνώσας πάλιν ἀμφότερα, καὶ οὕτως ἡ κοινὴ γίνεται σωτηρία τῆς φύσεως *ib.*(1156C); **b.** full humanity of Christ requires a human soul ὁ γὰρ ἐκ ψ. νοερᾶς καὶ σώματος συνεστηκώς, ἄνθρωπος λέγεται· ᾧ δὲ μὴ συνεπινοεῖται τὰ δύο, πῶς ἡ τοῦ ἀνθρώπου κλῆσις ἐφαρμοσθήσεται; *ib.*2(M.45.1128B); ὁ ἀνθρωπίνην σάρκα, καὶ ταύτην ἔμψυχον, προσοικίζων τῷ λόγῳ, οὐδὲν ἕτερον, ἢ ὅλον συνάπτει τὸν ἄνθρωπον· οὐδὲν γὰρ ἄλλο παρὰ τὴν νοερὰν φύσιν τῆς ἀνθρωπίνης ψ. ἐστιν ἰδίωμα... ὁ τοίνυν λέγων ἄνθρωπον εἶναι τὸν προσειλημμένον, ἔμψυχον δὲ τοῦτον διδούς, οὐδὲν ἕτερον ἢ καὶ νοητὴν αὐτῷ προεμαρτύρησε δύναμιν, ὅπερ ἴδιον τῆς ἀνθρωπίνης ἐστὶ ψ. *ib.*7(1137B); **c.** proof from Christ's human emotions εἰ δὲ ἐπ' ἀληθείας εἴρηται, ἀλλοτρία δὲ καθόλου ἡ ψ. τοῦ κυρίου ἐγεγόνει τῆς ἰδίας νοήσεως, θεὸν τὸν λόγον ἔχουσα νοῦν, τετράφθαι τὸ ἄτρεπτον εἰς λύπην...καὶ ταραχήν, τὸ ἐννοεῖν, ἀσεβές ἐστι...ἀλλὰ δείκνυσι τὸν νοῦν ὁ κύριος εἰρηκώς· ἡ ψ. μου τετάρακται. εἰ δὴ ψ. ἰδίας νόησιν ὁ κύριος ἐπιδείκνυται, εἰς συμπάθειαν τῆς ἡμετέρας ψ., ἵνα οὕτω καὶ αὐτοῦ νοήσωμεν εἶναι τὸ πάθος, καὶ αὐτὸν ἀπαθῆ ὁμολογῶμεν. ὥσπερ γὰρ τῷ αἵματι τῆς σαρκὸς αὐτοῦ ἐλυτρώσατο ἡμᾶς, οὕτω καὶ τῇ νοήσει τῆς ψ. αὐτοῦ τὴν νίκην ὑπὲρ ἡμῶν ἐπιδείκνυται ‡Ath.*Apoll.*1.16(M.28.1121B,C); **d.** from death and descent into Hades ὁ κύριος...παραδοὺς τὸ πνεῦμα, τὸ ἔσωθεν τοῦ ἰδίου σώματος, τουτέστι τὴν ψ. ἐσήμανε· περὶ ἧς καὶ εἴρηκεν, ὅτι τίθημι ὑπὲρ τῶν προβάτων τῶν ἐμῶν. ὥστε τὴν ἔκπνευσιν οὐκ ἄν τις εἴποι θεότητος μετάστασιν, ἀλλὰ ψ. ἀποχώρησιν. εἰ γὰρ κατὰ μετάστασιν θεότητος ὁ θάνατος γέγονε καὶ ἡ τοῦ σώματος νέκρωσις, ἴδιον ἄρα θάνατον ἀπέθανε, καὶ οὐ τὸν ἡμέτερον. καὶ πῶς εἰς ᾅδου κατῆλθεν ἀπαρακαλύπτῳ τῇ θεότητι; ποῦ οὖν ἡ ψ., ἣν ἐπηγγείλατο ὁ κύριος τιθέναι ὑπὲρ τῶν προβάτων...εἰ δὲ ψ. ἀποχώρησις γέγονε, διὰ τοῦτο εἴρηται, ὅτι τὸν ἡμέτερον ἀπεδέξατο θάνατον *ib.*1.18(1125B,C); **e.** refutation of Apollinarian idea that ψ. belongs to the 'outer man' τί οὖν περὶ τῆς ψ. ἐρεῖτε, ὅτι καὶ τὸ σῶμα καὶ ἡ ψ. ὁ ἔξωθέν ἐστιν ἄνθρωπος, ὡς ἂν εἴποι τις, τὸ αἷμα καὶ τὴν σάρκα; ἀλλ' ὥσπερ τὸ σῶμα καὶ τὸ αἷμα οὐ διαφεύγουσι τὴν ψηλάφησιν...δείξατε ἡμῖν καὶ τὴν ψ. μὴ διαφεύγουσαν ταῦτα...ἤ, εἰ μὴ δύνασθε δεῖξαι,...οὔτε ὁρᾶται ψ., οὔτε ἀποκτείνεται ὑπὸ ἀνθρώπου...οὐ μόνον ἐφ' ἡμῖν τούτων δεικνυμένων, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ θανάτῳ τοῦ Χριστοῦ ἐδείκνυτο· τὸ μέν τοι [sc. σῶμα], μέχρι τάφου φθάσαν· ἡ δέ [sc. ψ.], μέχρι ᾅδου διαβᾶσα *ib.*1.13(1116D–1117A); **f.** rejection of thesis that Christ had only an animal, but not an intellectual, soul τὴν νοερὰν τοῦ ἀνθρώπου φύσιν, ἥτις νοεῖται ψ.,... ἄφευκτον ταύτην τῆς ἁμαρτίας διοριζόμενοι· κἂν ὅτι μάλιστα καὶ ψ. σαρκικὴν γεγράφατε, πόθεν μαθόντες οὐ συνεπίσταμαι...πῶς εἰ σαρκικὴ ἡ ψ. καθ' ὑμᾶς, οὐ συνθήσκει τῷ σώματι *ib.*2.8(1144C,D).

D. in Monothelite controversy; **1.** in gen. ὅρα...τὸ...πεπλανημένον τῶν αἱρετικῶν· πάντα τὰ συγγενῆ ὄντα τῶν ἀλόγων ἀνελλιπῶς ὁμολογοῦσιν ἐν Χριστῷ...τὰ δὲ τῆς νοερᾶς καὶ ἀθανάτου ψ. ἰδιώματα... ταῦτα ὡς πονηρὰ ὄντα ὁμολογεῖν ἐν Χριστῷ...οὐκ ἀνέχονται Anast.S. *serm.imag.*3(M.89.1168A); **2.** comparison with soul of Adam ἐπιδημήσας οὖν ὁ τοῦ θεοῦ λόγος ἐπὶ τὸ ἀνακαινίσαι τὸν Ἀδάμ, τοιαύτην ἑαυτῷ ψ. ἐδημιούργησεν, οἵαν ἁπαρχῆς ἐξ ἑαυτοῦ διὰ τοῦ ἐμφυσήματος τῷ Ἀδὰμ μετέδωκεν *ib.*(1169D); ἡ μὲν γὰρ τοῦ Ἀδὰμ ψ. ἐκ θεοῦ τὴν ὕπαρξιν διὰ τοῦ ἐμφυσήματος ἔσχεν· ἡ δὲ τοῦ Ἐμμανουὴλ ψ. ἔνθεον, καὶ σύνθεον, καὶ ὁμόθεον τὴν οὐσίωσιν ἔσχεν *ib.*(1172A); **3.** proof of orth. position from descent into Hades τίς τὰς ἀπ' αἰῶνος δεσμίους ψ. τῶν κεκοιμημένων ἀνθρώπων ἐπεσκέψατο; πρόδηλον, ὅτι ἡ...Χριστοῦ τοῦ θεοῦ ψ. τὰς ὁμοουσίους αὐτῆς ψ. τὰς λογικὰς ἐπεσκέψατο *ib.*(1172D); αὕτη [sc. the soul of Christ] βοήσασα...ἐξέλθετε, ὡς τόπον ἀναπληροῦσα τελείου ἀνθρώπου τοῦ ἐκ ψ. συνισταμένου καὶ σώματος...ἡ νοερὰ τὰς νοερὰς ἐπιβλέψασα, ψ. τὰς ψ. ... πῶς γὰρ ἂν καὶ ἐδέξαντο τὸ τῆς ἁγίας ψ. κήρυγμα, εἰ μὴ διὰ τῆς νοερᾶς αὐτῶν λογικῆς θελήσεως; *ib.*(1173A); *ib.*(1173D); **4.** from Christ's obedience, *ib.*(1173C) cit. s. ἀθελής.

ψυχικός, A. *of the soul, spiritual*; **1.** in gen. ἐν νόσῳ ψ. ὑπάρχοντα Just.*dial.*30.1(M.6.537C); Clem.*str.*6.12(p.481.30; M.9.320C); *ib.*7.16 (p.67.3; 532A); Or.*fr.25 in Jer.*(p.210.18; M.13.592C); τῶν ψ. ... κακῶν *ib.*36(p.217.4; 600D); ὑπὸ ψ. μοιχείας καὶ θάνατος γίνεται *Hom.Clem.* 3.28; Chrys.*hom.27.2 in Mt.*(7.327D); ἵνα...ἡμᾶς ἐλευθερώσῃ ψ. ἁρπαστημάτων Cyr.*Lc.*4:38(M.72.552C); *ib.*6:41(601D); τὰς ψ. ... ἕξεις Dion.Ar.*e.h.*2.1(M.3.392A); *ib.*3.3.5(432A); opp. σωματικός, Clem. *str.*7.7(p.28.26; M.9.453D); φυσικός, id.*paed.*3.2(p.243.11; M.8.573A); Didym.*Trin.*2.27(M.39.765A); κοσμικός, Ath.*exp.Ps.*118:170(M.27. 508B); **2.** ref. senses of soul τοῖς ψ. ... ὄμμασι Or.*fr.94 in Jo.*(p.557. 30); ὀφθαλμοὶ...οἱ δὲ ψ. εἰς μῆκος ἀποτείνονται Adam.*dial.*2.11(p.78. 22; M.11.1777A); Sophr.H.*ep.syn.*(M.87.3197A); **3.** ὁ ψ. *the spiritual man* ἔλαιον ὁ ἐπιχεόμενος λόγος τοῦ ψ., τοῦ τὴν ἀγαθὴν πρᾶξιν ἐργαζομένου Or.*comm.ser.in Mt.*63(p.147.16; M.17.304C); **4.** ref. spiritual life ἐν ταῖς διδασκαλίαις αὐτῶν εὑρηκὼς...πολλὴν ψ. λυσιτέλειαν Thdr.Stud.*test.*(M.99.1816C); **5.** ref. spiritual sense of scripture, Or. *princ.*4.2.5(p.314.13; M.11.368A); **6.** ref. Christ's resurrection body ψ. ὃν γέγονε πνευματικόν, καὶ ἐκ γῆς γενόμενον, τὰς οὐρανίους διέβη πύλας Ath.*ep.Epict.*9(p.15.10; M.26.1065B).

B. *natural, carnal, material-minded*, opp. spiritual, **1.** in gen. οἱ ψ. opp. τοῖς πνεύματι θεοῦ φρουρουμένοις, Tat.*orat.*15(p.16.31; M.6. 840A); acc. Thales, of demons, opp. God as νοῦς, Athenag.*leg.*23.2 (M.6.941B); Clem.*paed.*1.6(p.108.24; M.8.288A) cit. s. πνευματικός; cf.id.*str.*2.3(p.118.17; M.8.941B); Or.*Jo.*13.61(59; p.293.25ff.; M.14. 516D); combined with ἐπίγειος and δαιμονιώδης, id.*fr.46 in Jo.* (p.521.19); id.*hom.12.1 in Jer.*(p.85.22; M.13.377A); ἐκκλησία...ἀναγεννῶσα τοὺς ψ. εἰς πνευματικούς Meth.*symp.*8.6(p.88.11; M.18.148B); Ath.*ep.Serap.*1.32(M.26.605B); ψ. πάθη id.*inc.*50.4(M.25.185C); in discussion of 'Second Adam' Christology, ‡Ath.*Apoll.*1.8(M.26. 1105B) cit. s. πνευματικός; τὸ δὲ τοὺς δοκοῦντας εἶναι πιστοὺς, τούτους εὑρίσκεσθαι ψ., τοῦτό ἐστιν τὸ θρήνων ἄξιον Chrys.*hom.63.3 in Jo.*(8.379D); ἐγκόσμιον...καὶ δαιμονιώδη καὶ ψ. σοφίαν Cyr.*Ps.*9:23 (M.69.780A); ψ. πάθη Diad.*perf.*81(p.104.24); γνώμη [sc. self-will] ἐν τοῖς ψ. κρατεῖ Thdt.*qu.53 in 4 Reg.*(1.547); **2.** of the body ἡ τοῦ ψ. σώματος ἰδιότης, ἀεὶ διά τινος ῥοῆς καὶ κινήσεως ἀπὸ τοῦ ἐν ᾧ ἐστιν ἀλλοιοῦσθαι Gr.Nyss.*anim.et res.*(M.46.156B); **3.** of sin ψ. τι ἁμάρτημα CNic.(325)*can.*2; **4.** ref. state of the unbaptized ἅπερ οὐκ ἐφυλαξάμεθα ψ. ὑπάρχοντες, τὰ ὅπλα τῆς δικαιοσύνης λαβόντες ἐν τῇ δυνάμει τηρήσωμεν τοῦ θεοῦ Diad.*perf.*78(p.100.3); **5.** ref. scriptural passages alluding to natural experiences of incarnate Logos, ‡Ath.

*dial.Trin.*4.8(M.28.1261D); **6.** dist. from σαρκικός and πνευματικός: ὁ ψ. ἄνθρωπος, οὐδέπω καλός· ὁ σαρκικὸς δέ, καὶ λίαν πάθους φιλός· ὁ πνευματικὸς δέ, οὐ μακρὰν τοῦ πνεύματος Gr.Naz.*carm.*1.2.34.242(M.37.963); γνώρισμα τοῦ μὲν σαρκικοῦ, τὸ κακῶς μόνον εἰδέναι ποιεῖν. τοῦ δὲ ψ., τὸ μήτε ποιεῖν βούλεσθαί ποτε μήτε πάσχειν κακῶς. τοῦ δὲ πνευματικοῦ, τὸ ποιεῖν μόνον καλῶς βούλεσθαι, καὶ ὑπὲρ ἀρετῆς εἰ συμβαίνει πάσχειν Max.*ep.*9(M.91.448A); cf.*cat.1Cor.*suppl.(p.461.25); **7.** as name of derision for orthodox, used by Montanists and Gnostics, Clem.*str.*4.13(p.289.12ff.; M.8.1300C); **8.** exeg.; **a.** 1Cor. 2:14 ἐκεῖ ψ. εἰσάγεταί τις καὶ πνευματικὸς ἄνθρωπος, ὁ μὲν πνευματικὸς τῶν σωζομένων, ὁ δὲ ψ. τῶν ἀπολλυμένων Meth.*res.*1.58(p.321.26f.); ψ. ἐστιν ὁ τὸ πᾶν τοῖς λογισμοῖς τοῖς ψυχροῖς διδούς, καὶ μὴ νομίζων ἄνωθέν τινος δεῖσθαι βοηθείας, ὅπερ ἐστὶν ἀνοίας Chrys.*hom.*7.4 *in 1Cor.*(10.56B) ∞ Jo.D.*1Cor.*2:14(M.95.588B), cf. derivation of ψυχή from ψυχρός, v. ψυχή; ψ. δὲ λέγει τὸν στοιχοῦντα τοῖς οἰκείοις λογισμοῖς ἢ τὸν νοσοῦντα τοῖς τῆς ψυχῆς λογισμοῖς καὶ μὴ ἐρρωμένον περὶ τὴν γνῶσιν τῆς ἀληθείας...ὁ ψ. οὐ δύναται δεκτικὸς εἶναι τῆς ἀληθείας, ἀλλ' οὕτως κεκάκωται τὴν ψυχὴν ὡς μωρίαν ἡγεῖσθαι τὴν οἰκονομίαν τοῦ θεοῦ...ὁ ψ. ἄνθρωπος τεχνικοὺς ἐπιζητῶν λογισμοὺς ἐπὶ τοῦ σταυροῦ ὡς μῶρον...ἀπωθεῖται τὸ κήρυγμα Sever.*1Cor.*2:14f.(p.234.38ff.); ψ. ἐστιν ὁ κατὰ σάρκα ζῶν καὶ μήπω τὸν νοῦν φωτισθεὶς διὰ τοῦ πνεύματος, ἀλλὰ μόνην τὴν ἔμφυτον καὶ ἀνθρωπίνην σύνεσιν ἔχων, ἣν ταῖς ἁπάντων ψυχαῖς ἐμβάλλει ὁ δημιουργός Cyr.*1Cor.*2:14(p.257.11; M.74.865B); ψ. καλεῖ τὸν μόνοις τοῖς οἰκείοις ἀρκούμενον λογισμοῖς, καὶ τὴν τοῦ πνεύματος διδασκαλίαν μὴ προσιέμενον, οὔτε μὴ ἐπιγνῶναι δυνάμενον Thdt.*1Cor.*2:14(3.178); τοῦτο μὲν εἰπὼν ψ., ὡς τῇ τῆς ψυχῆς κινούμενον παρουσίᾳ Proc.G.*Gen.*2:7(M.87.156B); **b.** 1Cor. 15:44,46 ἐπειδὴ δὲ ἡ τοῖς πάθεσιν ἐμμένουσα ψυχή, εἰκότως καὶ τὸ τῆς τοιαύτης ψυχῆς σῶμα ψ. καλεῖται...ἐπειδὴ προκόπτουσα ἡ ψυχὴ ἐπὶ τὸ πνευματικὸν ἀναβαίνει, πρῶτον εἶπεν εἶναι τὸ ψ. σῶμα, ἔπειτα τὸ πνευματικόν... διὸ οὐ προσέχομεν τοῖς λέγουσιν ὅτι τοιοῦτον ἀνίσταται τὸ σῶμα οἷον εἶχεν ὁ Ἀδὰμ ψ. Didym.*1Cor.*15:44–46(p.10.21ff.); σῶμα ψ. λέγει τὸ τῇ ἁμαρτίᾳ τῆς ψυχῆς θανατωθὲν Sever.*1Cor.*15:44(p.275.27); ὥσπερ γὰρ εἴπερ ἔλοιτό τις τὸ ἀπὸ γῆς ἡμῶν σῶμα ψ. ἀποκαλεῖν, περιθείη ἄν τις εἰκότως οὐ τὸ ψυχῆς εἶδος αὐτῷ, περιτρέψει δὲ μᾶλλον τοῦ λόγου τὴν δύναμιν εἰς τὸ φρόνημα τὸ ψ. ἤγουν τὸ σαρκικόν, καθάπερ ἀμέλει καὶ σοφίαν νοοῦμεν ψ. καὶ ἐπίγειον τὴν καθ' ἡμᾶς...οὕτω κἂν εἰ λέγοιτο σῶμα ψ., οὐκ ἂν οἶμαι τῷ αὐτῷ τὸ ψυχῆς εἶδος περιτιθείς, τὴν ἐπὶ τῷ πεπλανῆσθαι διαφύγοι γραφήν, ἐπεὶ κατὰ τίνα τρόπον ζῶντές τε ἔτι καὶ ἐν αὐτοῖς δὴ τούτοις τοῖς ἀπὸ γῆς ὄντες σώμασι, ψ. λέγονταί τινες καὶ πνευματικοί;...ὅτι τοίνυν ὁ ψ. οὐ φύσεως ἡμῖν διαφορᾶς ὑπεμφήνειεν ἄν, ζωῆς δὲ μᾶλλον ἠθῶν τε καὶ τρόπων ποιότητα, καθ' ἣν ὁ μέν τίς ἐστι τῷ γεωδεστέρῳ...φρονήματι κάτοχος, ὁ δὲ τῇ τοῦ πνεύματος ἐλευθερίᾳ περιφανής, ἀποδείκνυσι σαφῶς ἀπό τε Ἀδὰμ τοῦ πρώτου καὶ τοῦ δευτέρου Cyr.*1Cor.*15:44(pp.312.16–314.5; M.74.908C–909B); ἐπειδὴ ἔφη σπείρεσθαι μὲν εἰς γῆν τὸ σῶμα ψ., ἀποφαίνει λευκῶς ὡς ἔστιν οὐκ ἀπαράδεκτον τῇ τοῦ ἀνθρώπου φύσει τὸ ἐκ φρονήματος ψ. μεταφοιτᾶν εἰς πνευματικόν, καὶ ὅτι πρεσβύτερον τοῦ πνευματικοῦ τὸ ψ. εἴη ἄν *ib.*15:46(p.314.19ff.; 909D); ψ.... τὸ ὑπὸ τῆς ψυχῆς κυβερνώμενον· πνευματικὸν δέ, ὑπὸ τοῦ πνεύματος οἰκονομούμενον Thdt.*1Cor.* 15:44(3.278); **9.** Valent., v. ὑλικός, πνευματικός, Χριστός; **a.** opp. ὑλικός and πνευματικός, Iren.*haer.*1.5.1(M.7.492A); χοϊκός, Clem.*exc. Thdot.*51(p.123.17; M.9.684A); ἀγγελικός and χοϊκός, Hipp.*haer.*5.6 (p.78.16ff.; M.16.3126B); σαρκικός and πνευματικός, *ib.*5.8(p.97.15; 3151B); ἔσω ἄνθρωπος πνευματικὸς ἐν τῷ ψ. *ib.*7.27(p.206.26; 3319A); νοερός and χοϊκός, *ib.*10.9(p.268.17; 3419B); πνευματικός, Or.*Cels.*5.61 (p.64.22; M.11.1277B); distinction of ὁμοουσίους...διαβόλῳ...ἀνθρώπους, ψ., and πνευματικούς, Heracleon ap.Or.*Jo.*20.20(18; p.352.35; M.14.617A); οἱ ψ. πρὸς χρόνον πιστεύοντες *ib.*20.33(p.371.18; 649B); ἀπὸ τῶν ὑλικῶν εἰς τὸν ψ. τόπον *ib.*10.33(19; p.206.27; 365C); οἱ ψ., being ἔξω τοῦ πληρώματος, compared with vendors in Temple, *ib.* (p.207.1; 365C); οὐ πρὸς τοὺς φύσει τοῦ διαβόλου υἱούς, τοὺς χοϊκούς, ἀλλὰ πρὸς τοὺς ψ., θέσει υἱοὺς διαβόλου γινομένους *ib.*20.24(20; p.359. 14; 628D); **b.** Christol. ὡς εἰκὼν πατρὸς πατὴρ γίνεται καὶ προβάλλει πρῶτον τὸν ψ. Χριστὸν υἱοῦ εἰκόνα...εἶτα ἀγγέλους ἀρχαγγέλων ἐκ τῆς ψ. καὶ φωτεινῆς οὐσίας Clem.*exc.Thdot.*47(p.121.22ff.; M.9.681A); *ib.* 59(p.126.21ff.; 688B); τὸ δὲ πνευματικόν, ὃ ἀνείληφεν, καὶ τὸ ψ. οὕτως ἐμφαίνει· 'τὸ δὲ παιδίον ηὔξανεν καὶ προέκοπτεν ἐν σοφίᾳ.' σοφίας μὲν γὰρ τὸ πνευματικὸν δεῖται, μεγέθους δὲ τὸ ψ. *ib.*61(p.127.6ff.; 688B,C); κάθηται ὁ ψ. Χριστὸς ἐν δεξιᾷ τοῦ δημιουργοῦ *ib.*62(p.128.1; 689A); cf. *ib.*3(p.105.15; 653A); οἱ μὲν ἀπὸ τῆς Ἰταλίας, ὧν ἐστιν Ἡρακλέων καὶ Πτολεμαῖος, ψ. φασι τὸ σῶμα τοῦ Ἰησοῦ γεγονέναι, καὶ διὰ τοῦτο ἐπὶ τοῦ βαπτίσματος τὸ πνεῦμα ὡς περιστερὰ κατελήλυθε,...καὶ ἐγγέγονε τῷ ψ., καὶ ἐγήγερκεν αὐτὸν ἐκ νεκρῶν Hipp.*haer.*6.35(p.165.6ff.; M.16. 3250A); cf.Tim.CP *haer.*(M.86.17B); ἐνανθρωπῆσαι δὲ τὸν Ἰησοῦν... σῶμα ἐκ τῆς ψ. οὐσίας ἀνειληφότα Thdt.*haer.*5.11(4.420); ψ. Χριστός *ib.*1.8(300); **c.** ἡ ψ. εἰκών in man, claimed by Valentinians to be saved, Clem.*str.*4.13(p.288.23; M.9.1300A); **d.** of demiurge ἔστι δὲ πυρώδης, φησίν, ἡ ψ. οὐσία, καλεῖται δὲ καὶ τόπος μεσότητος ὑπ' αὐτοῦ καὶ ἑβδομὰς καὶ παλαιὸς τῶν ἡμερῶν. καὶ ὅσα τοιαῦτα λέγουσι περὶ τούτου, ταῦτα εἶναι τοῦ ψ., ὃν φησιν εἶναι τοῦ κόσμου δημιουργόν Hipp.*haer.*6.32(p.161.6ff.; M.16.3243B).

ψυχικῶς, 1. *spiritually*, opp. σωματικῶς, Epiph.*haer.*42.11(p.134. 3; M.41.741A); ref. Adam ἐν ᾗ ἡμέρᾳ ἔφαγεν ἀπὸ τοῦ ξύλου, ἐν αὐτῇ ἐθανατώθη ψ. ‡Felix III Papa *ep.Petr.*1(p.20.24; H.2.820B); ψ. ἐθανάτωσαν τοὺς ἐξαγγέλλοντας, ἄλλο ἀντ' ἄλλου διδάξαντες Sophr.H.*conf.* (M.87.3368A); **2.** *carnally, materially*, ref. Nicodemus ὁ Χριστὸς σαφέστερον ἀποκαλύπτει τῆς γεννήσεως τὸν τρόπον...τῷ ψ. ἐρωτῶντι Chrys.*hom.*25.1 *in Jo.*(8.143C).

ψυχίον, τό, *butterfly* or *moth*, Meth.*symp.*9.1(p.113.24; v.l. φύκια M.18.177A).

***ψυχοανακάλυπτος,** *soul-revealing* παρρησία...ψ.... ἁμαρτία ‡Chrys. *ador.*2(11.824F).

***ψυχοβλαβής,** *soul-destroying*, Nil.*epp.*2.286(M.79.341D); ‡Jo.D. *hom.*6.10(M.96.676B); masc. as subst., Chrys.*hom.*56.3 *in Gen.*(4. 542D).

***ψυχοβλαβῶς,** *in a way which harms the soul*, Didym.*Trin.*2.8 (M.39.616D).

ψυχοβόρος, *soul-devouring*, Synes.*hymn.*3.96(p.10; M.66.1595); *ib.* 4.244(p.33; 1607).

***ψυχοδιάβατος,** *piercing the soul*, Tim.Ant.*Sym.*(M.86.248A).

***ψυχοδότης, ὁ,** *giver of the soul* or *life*; of Christ, Didym.*Trin.* 3.16(M.39.869C); Synes.*hymn.*4.186(p.31; M.66.1606).

***ψυχοκερδής,** *gaining souls*, Geo.Pis.*hex.*473(M.92.1472).

***ψυχοκλέπτης, ὁ,** *stealer of souls*, Geo.Pis.*hex.*761(M.92.1492).

ψυχοκλόνος, *confusing the soul*, Sophr.H.*carm.*21.109(M.87. 3829A).

***ψυχόκομπος,** *distending the soul*, Geo.Pis.*hex.*775(M.92.1494).

***ψυχοκράτης,** *supporting the soul*, Geo.Pis.*hex.*1416(M.92.1542).

***ψυχοκτονία, ἡ,** *slaughter of souls*, ‡Caes.Naz.*dial.*3.140(M.38. 1048).

***ψυχοκτόνος,** *slaying the soul, deadly*, Cyr.*hom.div.*19(M.77.1109A); Dor.*doct.*proem.1(M.88.1613D); τοῦ ψ. πολεμίου τὴν δύναμιν βυθισθῆναι *Rit.Bapt.*(p.398).

***ψυχολατρεία, ἡ,** *worship in which the soul takes part*, Eust. *engast.*2(p.18.2; M.18.616C).

***ψυχόλεθρος,** *destroying the soul, deadly*, ‡Chrys.*hom.jej.*5(9.800E); Geo.Pis.*hex.*1817(M.92.1574A); Thphn.*chron.*p.423(M.108.1000D).

***ψυχολέτειρα, ἡ,** *destroyer of the soul*, Geo.Pis.*carm.vit.*6.

ψυχομαχ-έω, *fight for one's life*, met. on one's death-bed τινὰς μὲν δικαίους ~οῦντας...τινὰς δὲ ἁμαρτωλοὺς εἰρηνικῶς...ἀποθνήσκοντας ‡Ath.*qu.Ant.*105(M.28.661D); Anast.S.*qu.et resp.*96(M.89.741B).

***ψυχονοσέω,** *be sick in soul*, Jo.Clim.*past.*13(M.88.1196A).

ψυχοπομπός, ὁ, *conductor* or *guide of souls*, as adj. ψ. γοήτων Synes.*insomn.*14(p.176.2; M.66.1309A).

